Hic iterum mihi hæret aqua dubitanti, utrum ſub *Tarentini* nomine lateat *Archytas Tarentinus*, (*Varro Pythagoreum* vocat) quem *Agriculturæ* ſtudio aliquid contuliſſe, auctor eſt *Columella* Lib. I. an *Heraclides Tarentinus*, Medicus Empiricus, *Manteæ Herophilei*, qui Medicinam rationalem amplexus eſt, diſcipulus: De quo plurima apud *Galenum* reperire licet; qui *Heraclidem Antonio Muſa*, *Auguſti* Archiatro, ſuperiorem facit, & de ejus tranſitu ad *Sectam Empiricam* agit, in *Libro* ſexto de *Compoſitione* Medicamentorum ſecundum partes. Illius etiam meminerunt *Athenæus*, & *Diogenes Laërtius*: *Hic* ſub finem Lib. 5. ubi inter illuſtres ejus nominis Viros nonus eſt Ἡρακλείδης Ταραντῖνος, ἰατρὸς, ἐμπειρικός. *Iſte* autem Libro ſecundo Pag. 64. Περιγραφὴν Συμποσίων ab *Heraclide Tarentino* conſcriptam laudat. Medicis annumeratur a *Cornelio Celſo* Lib. I. & Botanicis Scriptoribus ab *Epiphanio*, & *Dioſcoride*, in Procemio Libri primi. Ab *Hierocle* etiam laudatur Ταραντῖνος in Procemio *Hippiatricorum* Pag. 4. Ταραντῖνος δὲ ἱστορεῖ τὸν τοῦ Διὸς νεὼν κατασκευάζοντας Ἀθηναίους Ἐννεακρούνου πλησίον εἰσελαθῆναι ψηφίσασθαι τὰ ἐκ τῆς Ἀττικῆς εἰς τὸ ἄστυ ζεύγη σύμπαντα. Hoc eſt, Interp. Ruellio Sueſſionenſi: *Tarentinus author eſt, cum Ædem Jovis Athenienſes* [in arce] *proxime Enneacrunum conderent, decreto quodam edixiſſe, ut omnia jugalia Attici agri jumenta in oppidum* (urbem) *agerentur.* Quid reſtat, niſi ut in *Lambecii* ſententiam deſcendamus, qui omnia iſta Excerpta, quæ in *Geopp.* noſtris *Tarentini* nomine præfixo leguntur, *Heraclidi* huic *Tarentino* aſſerit Lib. 2. Pag. 550. *Quod reliquum eſt* (inquit), *minime mihi dubium videtur, quin per Tarentinum, cujus varia fragmenta Imp.* Conſtantini *Geoponicis inſerta ſunt, haud alius, quam* Heraclides *ille* Tarentinus, *de quo hactenus egi, intelligendus ſit.*

THEOMNESTUS.

Unus ex *Hippiatricis* Scriptoribus; & Quidam eodem nomine inſignitus a *Plinio* laudatur in Indice *Libri* 33. Doctiſſ. *Pearſonius* aſſerit, *Noſtrum* inter Equites *Cæſarianos* in armis

armis verſatum: quibus vero argumentis ſententiam ſuam adſtruere potuiſſet, non indicat.

VARRO.

M. Terentius Varro, *Romanorum* omnium longe doctiſſimus, cujus de *Re Ruſtica* Libri tres, & de Lingua *Latina* opus, ad nos pervenerunt. Scripſit etiam *Antiquitates* in duas partes diviſas, *De rebus admirandis*, auctore *Nonio*, & multa alia.

VINDANIONIUS.

Vindanionius, a *Photio* vocatur *Vindanius*, Scriptor Ruſticus, nomine tantum notus.

ZOROASTRES.

Suidas: Ζωροάστρης, Περσομήδης, σοφὸς παρὰ τοὺς (Cl. *Neocorus* ſupplet ἄλλους) ἐν τῇ ἀστρονομίᾳ. ὃς καὶ πρῶτος ἦρξατο τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωϊκῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ'. περὶ λίθων τιμίων ἕν. ἀστεροσκοπικά. ἀποτελεσματικὰ βιβλία ε'. Senſus eſt; *Zoroaſtres, Perſomedus, cæteros Aſtronomos ſcientia ſuperans, qui etiam fuit primus auctor Magorum nominis apud ipſos recepti. Fuit autem annis* 500. *ante Bellum Trojanum. Circumferuntur ejus Libri quatuor de Natura. De lapillis pretioſis unus. Prædictiones ex inſpectione ſtellarum. Apoteleſmaticorum libri quinque.* Hæc *Suidas.* Quis autem ſub *Zoroaſtris* nomine in *Geoponicis* noſtris deliteat, haud ita liquet; fidem certe oppignerare auſim, *Perſomedum* iſtum non eſſe.

Notæ MSS. & Collationum.

Norv.	Fragmentum MS. penes *Epiſcopum Norvicenſem.*
V. Voſſ.	Codex *Iſaaci Voſſii.*
F.	Codex longiori forma, quam *Folio* vocant.
C. Cott. Cotton.	Codex vetuſtior mutilus Domini *Joannis Cottoni Brucei* Baronetti.
B. 1. Bar.	Codex inter Libros *Baroccianos Oxonii* repoſitus.
L. Long. Longol.	Codex recentior in *Bibliotheca Bodleiana Oxon.* Olim *Chriſtophori Longolii.*
B. 2. Bod.	Codex alter recentior in *Archivis Bodleianis.*
Emman.	Codex MS. *Hippiatricῶν* vetuſtior, majori ex parte in membrana exaratus, in Bibliotheca *Coll. Emmanuelis Cantabrigiæ.*
Caſ. Caſaub.	Annotationes & Correctiones ab *Iſ. Caſaubono* relatæ in marginem Libri *Geopon.* impreſſi, penes *Epiſcopum Norvicenſem.*
Eton.	Collationes Cod. MS. penes Executores *D^ris^ Stokes*, quondam *Etonenſis*, inſcriptæ margini Libri Impreſſi in *Biblioth. Cottoniana.*
Pal. Palatt.	Collationes Codicum duorum MSS. in *Bibliotheca Palatina*, quæ inſcriptæ ſunt oræ Cod. Impreſſi in *Biblioth. Bodl. Oxon.* Linc. D. 138.
Saracen.	Collationes Cod. MS. *D^ni^ Saraceni, Jani Antonii Saraceni* fratris, inſcriptæ Libro Impreſſo in *Bibliotheca Cottoniana.*
Gale.	Emendationes paucul æ a *D^re^ Gale*, nuper Decano *Eboracenſi*, eidem Libro inſcriptæ.

ΓΕΩΠΟΝΙΚΩΝ ΠΡΟΟΙΜΙΟΝ.

GEOPONICORUM PROOEMIUM.

MULTIS quidem & aliis Regibus bonis Magnifica hæc urbs exornata eſt, Horumque egregia facta & virtutes, velut quædam pretioſa Cimelia, in ſinum ſuum abdidit. Te vero ullum aliquem meliorem unquam habuiſſe haudquaquam confiteri poterit, neque majora ulla aliqua quam regni tui egregia facta oſtenderit. Tu enim aliorum Principum ſtudia parva exiſtimans, adverſus ſolum illum primum Chriſtianorum regem, Conſtantinum dico, hujus urbis conditorem & conſervatorem, certamen inſtituiſti, quem etiam multo ſpatio in medio relicto, & optimis factis, & trophæis, & victoriis, ac reliquis præclare ac fortiter geſtis antevertiſti. Et quæ quidem aut ſubditis benefaciendo, aut hoſtes profligando perpetraſti, longum eſſet recenſere, multumque tempus & elaboratiſſimam orationem requirerent, imo etiam quæ circa hæc in communi vita utilia, & omnibus in poſterum hominibus convenientia elaboras. Primum enim Philoſophiam & Rhetoricam jam deperditas, & ad immenſam oblivionis profunditatem demerſas, mirabili artificio ac prudentia retraxiſti, forti dextera tua illis porrecta. Deinde vero etiam alias omnes ſcientias ac artes renovaſti. Poſtremum autem gnarus in tria hæc Politiam eſſe diviſam, Militiam inquam, Sacerdotium, & Agri-

ΠΟΛΛΟΙΣ μὲν καὶ ἄλλοις Βασιλεῦσι χρηστοῖς ἡ Μεγαλόπολις αὕτη ἐκαλλωπίσατο, καὶ τὰ τούτων κατορθώματα, καὶ τὰς ἀρετὰς ὥσπερ τινὰ πολυτάλαντα κειμήλια ἐκολπώσατο. Σοῦ δὲ οὐκ ἄν ποτε βελτίονα σχεῖν ἀνομολογήσειεν· οὐδὲ μείζονα τῶν σῆς βασιλείας κατορθώματα δείξειε. Σὺ γὰρ (1) ὡς μικρὰ τὰ τῶν ἄλλων Βασιλέων σπουδάσματα λογισάμενος, πρὸς μόνον ἐκεῖνον ἡμιλλήθης τὸν πρῶτον Χριστιανῶν βασιλέα, Κωνσταντῖνόν φημι τὸν ταύτης οἰκιστήν τε καὶ πολιοῦχον, ὃν καὶ πολλῷ τῷ μέσῳ παρήλασας, ἔργοις καλλίστοις, καὶ τροπαίοις, καὶ νίκαις, καὶ τοῖς λοιποῖς ἀριστεύμασιν. Ὅσα μὲν οὖν ἢ (2) τοῖς ὑπηκόοις εὐεργετῶν, ἢ τοὺς ἐναντίους ἀποσοβῶν διαπέπραξαι, μακρὸν ἂν εἴη διεξελθεῖν, καὶ χρόνου πολλοῦ καὶ λόγου πλείστου δεόμενον. ἀλλ᾽ οἷα περὶ τὰ βιωφελῆ ταῦτα, καὶ πᾶσιν ἑξῆς τοῖς ἐς βίον ἐληλυθόσιν ἁρμόζοντα ἐκπονεῖς. Πρῶτα μὲν γὰρ Φιλοσοφίαν τε καὶ Ῥητορικὴν ἤδη παρεῤῥυηκυίας, καὶ πρὸς ἀχανῆ βυθὸν (3) τῆς λήθης καταδεδυκυίας, εὐμηχάνως καὶ συνετῶς ἀνειλκύσω, τὴν κραταιάν σου χεῖρα ταύταις προσεπιδούς. Ἔπειτα δὲ καὶ πᾶσαν ἄλλην ἐπιστήμην τε καὶ τέχνην πρὸς καινισμὸν ἐπανήγαγες. Μετὰ ταῦτα τοίνυν εἰδὼς εἰς τρία ταῦτα τὴν Πολιτείαν διῃρημένην, Στρατείαν τέ φημι καὶ Ἱερωσύνην, καὶ Γεωργίαν,

(1) *MSS.* Norv. Voſſ. Barocc. *&* Caſaub. *non agnoſcunt* ὡς. (2) *MSS.* Norv. Voſſ. *&* Bar. *habent* τοὺς ὑπηκόους. (3) *MSS.* V. Bar. *&* Caſaub. *inſerunt* τόν.

σοὐκ ἐλαχίστην σπουδὴν περὶ τοῦτο τὸ μέρος εἰσήνεγκας, ὃ μάλιστα τὴν ἀνθρωπίνην ζωὴν συγκρατεῖν ἐξεπίσταται. Ὅθεν τὰ διαφόροις τῶν Παλαιῶν μετὰ πάσης ἐπιμελείας καὶ πείρας ἐξευρεθέντα, περὶ (4) τῆς Γεωργίας καὶ Φυτηκομίας, καιροῦ τε καὶ (5) τόπου καὶ τρόπου τοῦ ἑκάστοις ἁρμόζοντος· ἔτι γε μὴν (6) Ὑδροφαντικῆς, οἰκημάτων τε κατασκευῆς, καὶ ἐν οἷς προσήκει ταῦτα ποιεῖσθαι, ὅποι τε νεύοντα, καὶ ὅπως, καὶ ἕτερα πολλὰ καὶ μεγάλα, μεγέθει φύσεως καὶ βάθει φρενῶν εἰς ἓν συλλεξάμενος, κοινωφελὲς ἔργον τοῖς πᾶσι προτέθεικας. Αὐτίκα γὰρ ὁ τοῖσδέ σου τοῖς σπουδάσμασι προσεντυχὼν, τὰ τὴν αὐτοῦ συνιστῶντα ζωὴν ἀκριβῶς κατοπτεύσειε, καὶ τὰ χρειώδη, καὶ ἀναγκαῖα, καὶ ἐξ ὧν ὁ ἀνθρώπινος βίος συνέστηκε, καὶ ἐν οἷς τὴν ἅπασαν ἔχει σπουδὴν μετὰ παντὸς κόσμου καὶ τάξεως ἐπισκέψαιτο. Οὐ μόνον δὲ τὰ ἀναγκαῖα, ἀλλὰ καὶ αὐτὰ τὰ περιττὰ, καὶ εἰς τέρψιν μόνην ὀφθαλμῶν καὶ ὀσφρήσεως συντελοῦντα θεάσαιτο. Σὺ γὰρ φιλόκαλος ὢν, μᾶλλον δὲ εἰ χρὴ τἀληθὲς εἰπεῖν, φιλάνθρωπος, παντὶ τρόπῳ, καὶ πάσῃ σπουδῇ συνάγεις τὰ χρήσιμα, τοῖς ὑπηκόοις τὸ συνοῖσον ἀεὶ προνοούμενος. Ἀλλ' εὐτυχοίης, ὦ δικαιότατε (7) δέσποτα Κωνσταντῖνε, τὸ τερπνὸν τῆς (a) πορφύρας Ἀπάνθισμα, καὶ κατευοδοῖο παρὰ Θεοῦ, καὶ τῶν ἐχθρῶν κρατήσαις διὰ παντὸς, ἡμῖν τοῖς ὑπὸ τὴν σὴν ἐξουσίαν ἀεὶ τὰ βέλτιστα προμηθούμενος.

culturam, non minimam curam circa hanc partē poſtremam adhibuiſti, quæ humanam vitam maxime conſervare cognoſcitur. Unde ſane ea quæ a diverſis Veteribus multa diligentia ac experientia inventa ſunt; & de Agricultura, & Plantarum cura, temporeque ac modo, itemque loco ſingulis congruente; amplius autem & de Aquæ inveſtigatione, ædificiorumque conſtructione, & in quibus locis hæc facere oporteat, & ad quam cœli partem vergentia, & quomodo, & alia multa pariter ac magna, ingenii tui excellentis magnitudine, & animi altitudine in unum colligens, opus communis utilitatis publice omnibus propoſuiſti. Etenim mox ubi quis in hos tuos commentarios inciderit, ea quæ ſuam ipſius vitam conſtituunt exacte conſpiciat, & commoda & neceſſaria, & omnino ea ex quibus humana vita conſtat, & in quibus omne ſtudium ſuum ponit, cum omni ornatu ac ordine contempletur. Neque vero ſolum neceſſaria, ſed & ſuperflua, & ad oculorum ac olfactus voluptatem ſolam conferentia videat. Quum enim ſis honeſtatis amator, aut potius ſi verum dicere oportet, hominum amator, omni modo omnique ſtudio ea quæ utilia ſunt coacervas, ſubditis tuis ſemper id quod conducibile futurum eſt proſpiciendo. Opto itaque ſis felix ô juſtiſſime Conſtantine, jucundum purpuræ Honeſtamentum & decus, & felicem largiatur ſucceſſum Deus, inimicorumque tuorum victor evadas perpetuo, Nobis tibi ſubditis ſemper optima providens.

(4) *Ita* Barocc. & Caſaub. (5) *MSS.* V. & Bar. Τρόπου καὶ τόπου τοῦ——. (6) *Ita rectius MSS.* V. Bar. & Caſaub. *ut infra ſcribitur Lib.* 2. *Cap.* 6. (7) *MSS.* V. & Bar. *non agnoſcunt* Δέσποτα.

(a) *Vid.* Prolegomena *noſtra ſub initium.*

ARGU-

ARGUMENTUM LIB. I.

QUÆ a veteribus diverſis Scriptoribus tum de agricultura, tum de plantarum, & ſativorum cura, aliiſque multis utilibus relata ſunt, ea in unum collecta in hunc librum digeſſi. Collectus eſt autem ex ſcriptis Florentini, Vindanionii, Tarentini, Anatolii, Berytii, Diophanis, Leontii, Democriti, & ex Africani paradoxis, & Pamphili, Apuleii, Varronis, Zoroaſtris, Frontonis, Paxami, Damogerontis, Didymi, Sotionis, & Quintiliorum. Neceſſarium igitur ac conſequens eſſe duxi, ea quæ ordine prima ſunt, & quæ commodum eſt præſcire agriculturæ ſtudioſos, toti operi præponere. Ea igitur quæ ad aeris ſereni ac tempeſtuoſi cognitionem pertinent, & de ortu & occaſu apparentium ſtellarum, & de effectibus ex ambiente contingentibus, in hoc primo libro conſcripſi.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Α'.

ΤΑ διαφόροις τῶν παλαιῶν, περί τε γεωργίας καὶ ἐπιμελείας φυτῶν καὶ σπορίμων, καὶ ἑτέρων πολλῶν χρησίμων εἰρημένα, συλλέξας εἰς ἕν, τουτὶ τὸ βιβλίον συντέθεικα. συνείλεκται δὲ ἐκ τῶν Φλωρεντίνου, καὶ Οὐϊνδανιωνίου, καὶ Ταραντίνου, καὶ Ἀνατολίου, καὶ Βηρυτίου, καὶ Διοφάνους, καὶ Λεοντίου, καὶ Δημοκρίτου, καὶ Ἀφρικανοῦ παραδόξων, καὶ Παμφίλου, καὶ Ἀπουληΐου, καὶ Βάρρωνος, καὶ Ζωροάστρου, καὶ Φρόντωνος, καὶ Παξάμου, καὶ Δαμογέροντος, καὶ Διδύμου καὶ Σωτίωνος, καὶ τῶν Κυντιλίων. † (1) Τὰ δὲ ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ. † Ἀναγκαῖον οὖν ἅμα καὶ ἀκόλουθον ἡγησάμην, τὰ πρῶτα τῇ τάξει τυγχάνοντα, καὶ ἅπερ χρήσιμόν ἐστι προειδέναι τοὺς γεωργίας ἀντιποιουμένους, προτάξαι τοῦ παντὸς συγγράμματος. Τὰ περὶ προγνώσεως εὐδιεινῶν, καὶ χειμερινῶν ἀέρων, καὶ περὶ ἐπιτολῆς καὶ δύσεως φανερῶν ἀστέρων, καὶ περὶ ἀποτελεσμάτων ἐκ τοῦ περιέχοντος συμβαινόντων, ἐν τῇδε τῇ πρώτῃ βίβλῳ συνέγραψα.

(1) *MSS.* Norv. V. Fol. & Caſaub. *delent* Τὰ δὲ... βίβλῳ. *Inverſ. omitt.*

CAP. I.

De anno, & ſolſtitiorum ipſius partitione. Florentini.

VIllicum agro præfectum neceſſarium eſt, & temporum occaſiones, & ſolſtitiorum mutationes noſſe. Ita enim ad convenientem unicuique tempori actionem operarios inſtigans, agrum plurimum juverit. Plerique igitur & imprimis Varro Romanus principium veris dixit, quum ut plurimum Favo-

ΚΕΦ. Α.

(1) Περὶ ἐνιαυτοῦ, καὶ τῆς τῶν τροπῶν αὐτοῦ διαιρέσεως. Φλωρεντίνου.

ΤΟΝ ἐφεστῶτα τῇ τοῦ ἀγροῦ οἰκονομίᾳ, ἀναγκαῖόν ἐστι καὶ τοὺς καιροὺς, καὶ τὰς τῶν τροπῶν μεταβολὰς γινώσκειν. οὕτω γὰρ ἂν πρὸς τὴν ἁρμόζουσαν ἑκάστῳ καιρῷ ἐργασίαν τοὺς ἀγροίκους ἐφοδιάζων, πλεῖστα τὸν ἀγρὸν ὠφελήσειεν. οἱ τοίνυν πλεῖστοι, καὶ πρό γε πάντων Βάρρων ὁ Ῥωμαῖος

(1) *Ita MSS.* V. F. Bar. Longol. Bodl. & Caſaub.

ἀρχὴν ἔαρος εἶπεν, ὅταν ὡς ἐπὶ τὸ πλεῖστον ὁ Ζέφυρος ἄρχηται πνεῖν, ὅπερ ἐστὶ τῇ πρὸ ἑπτὰ εἰδῶν Φεβρουαρίων, ἡλίου ἐν Ὑδροχόῳ ὄντος, καὶ τριῶν ἢ πέντε μοιρῶν γινομένου, τουτέστι, τρεῖς ἢ πέντε ἡμέρας ἐν τῷ ζωδίῳ ἔχοντος. συμπληροῦσθαι δὲ τὸ ἔαρ εἰς νόννας Μαΐας. θέρος δὲ ἄρχεσθαι ἀπὸ τῆς πρὸ ὀκτὼ εἰδῶν Μαΐων, τοῦ ἡλίου ἐν Ταύρῳ ὄντος· πληροῦσθαι δὲ εἰς τὴν πρὸ ἑπτὰ εἰδῶν Αὐγούστων. ἔτι δὲ μετόπωρον ἄρχεσθαι, ἀπὸ τῆς πρὸ ἓξ εἰδῶν Αὐγούστων, ἡλίου ὄντος ἐν Λέοντι· πληροῦσθαι δὲ εἰς τὴν πρὸ πέντε εἰδῶν Νοεμβρίων. χειμῶνα δὲ ἄρχεσθαι ἀπὸ τῆς πρὸ τεσσάρων εἰδῶν Νοεμβρίων, ἡλίου ὄντος ἐν Σκορπίῳ· πληροῦσθαι δὲ εἰς τὴν πρὸ ὀκτὼ εἰδῶν Φεβρουαρίων. τῶν δὲ τροπῶν ἡ μὲν (2) θερινή ἐστι, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἰουλίων, κἂν τινες αὐτὴν πρὸ ἓξ νόννων εἶναι βούλωνται. καὶ τῶν ἰσημεριῶν, ἡ μὲν Ἐαρινή ἐστι, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἀπριλλίων· τινὲς δὲ τῇ πρὸ ἐννέα. ἡ δὲ Μετοπωρινὴ, τῇ πρὸ ὀκτὼ καλανδῶν Ὀκτωβρίων, ἤτοι πρὸ ἕξ. Πλειάδων δὲ ἐπιτολὴ τότε ἄρχεται γίνεσθαι, ἀπὸ τῆς πρὸ τεσσάρων εἰδῶν Ἰουνίων. δύσις δὲ, ἀπὸ τῆς πρὸ τεσσάρων νόννων Νοεμβρίων. ἡ δὲ τῶν Βρουμάων ἑορτή ἐστι, τῇ πρὸ ὀκτὼ καλανδῶν Δεκεμβρίων.

nius ſpirare incipit, hoc eſt ad ſeptimum Idus Februarii, ſole in Aquario exiſtente, triumque aut quinque partium facto, hoc eſt tres aut quinque dies in animalculo habente. Compleri autem ad nonas Maias. Æſtatem vero incipere ad octavum Idus Maii, ſole in Tauro exiſtente, Compleri autem ad ſeptimum Idus Auguſti. Autumnum inſuper inchoare ad ſeptimum Idus Auguſti, ſole leonem tenente, Compleri ad quintum Idus Novembris. Hyemem autem incipere ad quartum Idus Novembris, ſole Scorpium occupante, Compleri eandem ad octavum Idus Februarii. At vero Solſtitium hyemale ad octavum calendas Januarii eſt. Æſtivum vero ad octavum calendas Julias, quanquam aliqui ipſum ad ſextum nonas eſſe velint. Porro Æquinoctium vernum ad octavum calendas Aprilis eſt. Quidam ad nonum volunt. Autumnale vero ad octavum calendas Octobris, ſive ad ſextum. Pleiadum ortus fieri incipit ad quartum Idus Junias. Occaſus ad quartum nonas Novembris. Brumæ feſtum ad octavum calendas Decembris eſt.

(2) *Nulla hic mentio* τροπῆς χειμερινῆς, *niſi quod in* V. *&* Bar. *legatur* ἡ μὲν χειμερινή ἐστι--- *quod indicat locum eſſe mutilum: Supplend. ex* Interpr. Τῶν δὲ τροπῶν ἡ μὲν χειμερινή ἐστι, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἰανουαρίων. Ἡ δὲ Θερινή ἐστι, τῇ πρὸ ὀκτὼ καλανδῶν Ἰουλίων,——.

ΚΕΦ. Β.

Προγνωστικὰ εὐδιεινοῦ ἀέρος. Ἀράτου.

(a) ΤΡιταίη καὶ τεταρταία οὖσα ἡ σελήνη, καὶ λεπτὴ καὶ καθαρὰ φαινομένη, εὐδίαν δηλοῖ. καὶ πανσέ-

CAP. II.

Prænotiones ſereni aeris. Arati.

LUna tertia & quarta die tenuis & pura apparens, ſerenitatem ſignificat. Plena etiam exiſtens, ſi pura

(a) Τριταία ἡ Σελήνη.] Aratus *in* Διοσημ. *pag.* 96. *Edit. Oxon.* Λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα Εὔδιός κ' εἴη. λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς Πνευματίη.

appa-

apparuerit, ſerenitatem portendit. Quin & ſemiplena pura apparens, ſerenitatem annunciat. At vero rubicundior exiſtens ventum ſignificat. Si qua pars ejus denigrata apparuerit, pluviam indicat. Sol quoque purus exoriens, ſerenitatem ſignificat, & modica nebula ante exortum ipſius apparente, ſerenitas erit, & ipſo occidente, ſi nubes circa ipſum diſtractæ extiterint, pluvia non eſt timenda. Occidens autem citra nebulas purus, etiam ſequentem diem ſerenam promittit. Si vero citra nebulam Sol emerſerit, nebulæ autem poſtea prope ipſum ſteterint rubicundiores, neque nocte, neque ſequenti die pluet. Nebulæ rubicundiores divulſæ circa occaſum, pluviæ timorem eximunt. Noctua continenter canens per noctem, & cornix leniter in die crocitans, & corvi plures gregatim veluti gaudentes & crocitantes, ſerenitatē ſignificant.

λήνος δὲ οὖσα, ἐὰν καθαρὰ φανῇ, εὐδίαν σημαίνει. καὶ ἐὰν διχότομος οὖσα καθαρὰ φανῇ, εὐδίαν προμηνύει. ἐρυθροτέρα δὲ οὖσα, ἄνεμον σημαίνει. (b) ἐάν τι μελαινόμενον αὐτῆς φανῇ, ὑετὸν δηλοῖ. καὶ ὁ ἥλιος καθαρὸς ἀνατέλλων, εὐδίαν σημαίνει. καὶ ὀλίγου νέφους περὶ τὸ ἀνατεῖλαι αὐτὸν φαινομένου, εὐδία ἔσται, καὶ δύνοντος δὲ αὐτοῦ, ἐὰν νέφη περιεσπασμένα περὶ αὐτὸν ὦσιν, ἀνομβρίαν σημαίνουσι. δυόμενος δὲ δίχα νεφῶν καθαρὸς, καὶ τὴν ἐπιοῦσαν ἡμέραν εὐδίαν σημαίνει. (c) ἐὰν δὲ δίχα νέφους ὁ ἥλιος ἀναδύνῃ, τὰ δὲ νέφη ὕστερον πλησίον ἐπιστῇ ἐρυθρότερα, οὔτε τῇ νυκτὶ, οὔτε τῇ ἐπιούσῃ ἡμέρᾳ ὕσει. νέφη ἐρυθρότερα διεσπασμένα περὶ δυσμὰς, ἀνομβρίαν δηλοῦσι. καὶ γλαὺξ ᾄδουσα συνεχῶς ἐν νυκτὶ, καὶ κορώνη πρᾳέως ἐν ἡμέρᾳ κρώζουσα, καὶ κόρακες πλείονες ἀγεληδὸν ὥσπερ χαίροντες καὶ κρώζοντες, ἀνομβρίαν δηλοῦσι.

(b) Ἐάν τι μελαινόμενον] *Ita etiam* Maro *Georgicῶν* I. "Luna revertentes cum primum colligit ignes, "Si nigrum obſcuro comprenderit aera cornu, "Maximus Agricolis pelagoque parabitur imber.

(c) Ἐὰν δὲ δίχα νέφους] Arat. *in* Διοσημ. p. 108. Εἰ δ' ὁ μὲν (ἥλιος) ἀνέφελος βάπτοι ῥόου ἑσπερίοιο, Καὶ δὲ κατερχομένου νεφέλαι καὶ οἰχομένοιο Πλησίον ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ Αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο.

CAP. III.

Prænotiones tempeſtuoſi aeris, & ex quibus ſignis pluvias expectare oportet. Ejuſdem.

LUna tertia ac quarta die obtuſa habens cornua & tenebricoſa, pluviam ſignificat. Circulus autem

ΚΕΦ. Γ.

Προγνωστικὰ χειμερινοῦ ἀέρος, καὶ ἐκ ποίων τεκμηρίων ὄμβρους χρὴ προσδοκᾶν. Τοῦ αὐτοῦ.

ΤΡιταία καὶ τεταρταία οὖσα ἡ σελήνη, (a) ἀμβλείας ἔχουσα τὰς κεραίας καὶ ἀχλυώδεις, ὄμβρον

(a) Ἀμβλείας ἔχουσα τὰς κεραίας,] Idem, *p.* 97. ——Παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις, Τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα, Ἠὲ νότῳ ἀμβλύνετ' ἢ ὕδατος ἐγγὺς ἐόντος. Paulo infra. Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ, Πάντῃ ἐρευθόμενος μάλα κεν τότε χείμερος εἴη· Μείζονι δ' ἂν χειμῶνι πυρωτέρα φοινίσσοιτο. Eadem tradit *Virgilius*, Georg. I. "At ſi virgineum ſuffuderit ore ruborem, "Ventus erit: vento ſemper rubet aurea Phœbe.

προσημαίνει. καὶ ἐρυθρὸς δὲ ὁ κύκλος αὐτῆς φαινόμενος, ἢ πυρώδης, χειμῶνα σημαίνει. πανσελήνου δὲ οὔσης, ἄν τι περὶ αὐτὴν μελαινόμενον ὀφθῇ, ὄμβρον δηλοῖ. ἐὰν δὲ περὶ πᾶσαν τὴν σελήνην ἅλωνες δύο ἢ τρεῖς ὦσι, μέγιστον χειμῶνα ἔσεσθαι δηλοῦσι, καὶ μάλιστα εἰ (1) μελαινότεραι ὑπάρχουσι. καὶ ὁ ἥλιος δὲ (2) ἐρυθρὸς ἀνατέλλων καὶ μελαινόμενος, ὄμβρους δηλοῖ. καὶ ἀνατέλλοντος δὲ τοῦ ἡλίου, ἐὰν παρὰ τὰς ἀκτῖνας σκοτεινὸν νέφος φανῇ, ὄμβρον δηλοῖ. δυόμενος δὲ ὁ ἥλιος, ἐὰν κατὰ τὸ ἀριστερὸν μέρος νέφος μέλαν ἔχῃ πλησίον, εὐθέως ὄμβρον χρὴ προσδοκᾶν. βρονταὶ δὲ καὶ ἀστραπαὶ ὅθεν ἐὰν γίνωνται, ἐκεῖθεν τὸν χειμῶνα δηλοῦσιν.

(3) Ἐὰν ποτὲ μὲν ἐκ νότου, ποτὲ δὲ ἐκ Βορρᾶ ἐξακούωνται αἱ βρονταὶ, καὶ αἱ ἀστραπαὶ γίνωνται, ἄνεμος ἐπενεχθήσεται. ἔτι δὲ καὶ αἱ ὄρνεις αἱ λιμναῖαι καὶ αἱ θαλάττιαι, ἐπὶ ὕδατος συνεχῶς λουόμεναι, χειμῶνα δηλοῦσιν.

Ἶρις δὲ διπλῆ φαινεῖται, ὄμβρον δηλοῖ. (4) ἔτι δὲ καὶ (b) εἰς χύτραν ἢ χαλκεῖον σπινθῆρες γινόμενοι, ὄμβρους δηλοῦσι. (c) καὶ κορώνη ἐπ᾽ αἰγιαλοῦ τὴν κεφαλὴν διαβρέχουσα, ἢ πᾶσα νηχομένη, καὶ νυκτὸς σφοδρότερον κρώζουσα, ὄμβρους προμηνύει. καὶ κατοικίδιαι ὄρνιθες πυκνῶς κονιώμεναι καὶ κράζουσαι, καὶ κόρακες καὶ κολοιοὶ ἀθρόως ἐπιφαινόμενοι καὶ κρώζοντες, καὶ χελιδόνες λίμναις, ἢ δεξαμεναῖς, ἢ ποταμοῖς

ejus rubens aut igneus apparens, tempeſtatem indicat. Plena luna, ſi quid circum ipſam denigratum videatur, pluviam oſtendit. Si vero circum totam lunam areæ duæ ſive tres extiterint, maximam tempeſtatem futuram ſignificant, præſertim ubi illæ nigriores fuerint. Sol rubens in exortu & nigreſcens, pluvias deſignat. Sole exoriente ſi circa radios tenebricoſa nebula apparuerit, pluviam ſignificat. Occidens vero ſol ſi juxta ſiniſtram partem nebulam nigram habet propinquam, pluviam ſtatim ſperare oportet. Tonitrua & fulgura ex qua parte fiunt, inde tempeſtatem portendunt. Si modo ex auſtrali parte, modo ex boreali tonitrua exaudiantur, & fulgura appareant, ventus ingruet. Aviculæ etiam paluſtres & marinæ ſi in aqua aſſiduo ſe lavent, tempeſtatem annunciant. Iris dupla apparens, pluviam præſagit. Scintillæ ex ollis aut vaſis æreis micantes, pluviam deſignant. Cornix in litore caput madefaciens, aut tota natans, & noctu vehementius crocitans, pluvias annunciat. Gallinæ domeſticæ frequenter pulvere ſe opplentes & clamantes, & corvi & graculi gregatim apparentes & crocitantes, & hirundines circa paludes, aut piſcinas, aut fluvios cum clamore volantes, imbrem indicant. Muſcæ etiam plurimum pungentes, & anſeres cum clangore cibum appetentes, & araneæ citra ventum deorſum latæ, & lucernarum flammæ nigreſcentes, & ovium greges laſcivi-

(1) *MS.* F. μελαινόμεναι, Bar. *&* Bod. μελανότεραι. (2) *Suppleo ex Codd. MSS.* (3) *Ita MSS.* F. Long. *&* Bodl. *habent.*
(4) *Ad fidem MSS.* F. Long. *&* Bodl.

(b) Εἰς χύτραν ἢ χαλκεῖον] *Ita etiam* Aratus, Μηδ᾽ οὔ γ᾽ ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω, Σπινθῆρες ὅτ᾽ ἔωσι περιπλέονες, λελαθέσθαι.

(c) Καὶ κορώνη] Idem *p.* 120. Ἤπου καὶ λακέρυζα παρ᾽ ἠϊόνι προὐχούσῃ Χείματος ἐρχομένου χέρσῳ ὑπέτυψε κορώνη. Ἤπου καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ᾽ ἄκρους Ὤμους ἐκ κεφαλῆς· ἢ καὶ μάλα πᾶσα κολυμβᾷ, Ἢ πολλὴ στρέφεται παρ᾽ ὕδωρ παχέα κρώζουσα.

entes

entes, tempeſtatem futuram ſignificant. Boves ad meridiem ſpectantes: aut ungulas circumlingentes, cum mugitibus in bubile progredientes, pluvias deſignant. Similiter & lupus animatior prope domos accurrens, & canes terram effodientes, & ulula mane ululatum edens, & aviculæ ad partes maritimas fugientes, tempeſtatem portendunt. Grues citius venientes, tempeſtatem ſtatim futuram oſtendunt. Mures ſtridentes tempeſtatem ſignificant. Porro ubi plura ſigna ſimul concurrunt, firmior ſpes erit. Maxime vero quartas tum augeſcentis, tum decreſcentis lunæ obſervare oportet, Hæ enim aeris motum mutant.

περιπετόμεναι μετὰ βοῆς, ὄμβρον σημαίνουσι. καὶ μυῖαι ἐπὶ πλέον δάκνουσαι, καὶ χῆνες μετὰ κλαγγῆς ἐπειγόμεναι πρὸς τροφὴν, καὶ ἀράχνια μὴ ὄντος ἀνέμου καταφερόμενα, καὶ λύχνου φλόγες μελαινόμεναι, καὶ ποίμνια σκιρτῶντα, χειμῶνα ἐσόμενον δηλοῦσι. καὶ βόες πρὸς μεσημβρίαν ὁρῶσαι, ἢ τὰς χηλὰς (5) περιλιχμώμεναι, καὶ μετὰ μυκηθμῶν ἐπὶ τὴν βουστασίαν ἐρχόμεναι, ὄμβρον δηλοῦσι. καὶ λύκος ὁμοίως πλησίον τῶν οἰκημάτων θρασυνόμενος, καὶ κύνες ὀρύσσοντες τὴν γῆν, (6) καὶ ὀλολυγὼν τρύζουσα ἑωθινὸν, χειμῶνα δηλοῦσι, καὶ τὰ ὄρνεα εἰς τὰ πρὸς πέλαγος μέρη φεύγοντα, χειμῶνα προδηλοῦσι. (d) γέρανοι θᾶττον ἐρχόμεναι, χειμῶνα εὐθέως ἔσεσθαι δηλοῦσι. καὶ μύες τετριγότες, χειμῶνα σημαίνουσιν. ὅταν δὲ ἅμα πλείω σημεῖα ἐπὶ τὸ αὐτὸ συντρέχῃ, βεβαιότερα τὰ ἐλπιζόμενα. μάλιστα δὲ παραφυλάττειν χρὴ αὐξούσης καὶ φθινούσης τῆς σελήνης τὰς τετράδας, τὴν τοῦ ἀέρος κίνησιν τρεπούσας.

(5) *MSS.* V.F. Bar. Long. & Bodl. περιλειχόμεναι. (6) *Ita lego ex cod.* Bar. & *conjectura; hanc lect. adſtruit iſtud* Arateum, Ἠ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγών. Ciceronis *verſio*, " Et matutinis Acredula vocibus inſtat. Feſtus Avienus *Uluiam vocat.*

(d) Γέρανοι θᾶττον ἐρχόμεναι] Idem, *p.* 130. Καὶ δ' ἂν που γέρανοι, μαλακῆς προπάροιθε γαλήνης Ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι· Οὐδὲ παλιρρόθιοι κεν ὑπεύδιοι φορέοιντο.

CAP. IV.

Prænotiones longioris hyemis. Ejuſdem.

ILices & quercus multum fructum ferentes, diuturniorem hyemem fore ſignificant, Et Capræ & oves initæ, rurſuſque iniri expetentes, longiorem hyemem portendunt. Si animalium greges terram effoderint, & capita ad boream extenderint, vehementem hyemem prænunciant.

ΚΕΦ. Δ.

Προγνωστικὰ μακροτέρου χειμῶνος. Τοῦ Αὐτοῦ.

(a) ΠΡῖνοι καὶ δρύες τὸν καρπὸν πολὺν φέρουσαι, ἐπὶ πλεῖον ἔσεσθαι τὸν χειμῶνα δηλοῦσι. καὶ αἶγες καὶ οἶες ὀχευθεῖσαι, καὶ πάλιν ὀχεύεσθαι βουλόμεναι, μακρότερον σημαίνουσι χειμῶνα. καὶ ἐὰν τὰ βοσκήματα τὴν γῆν κατορύττῃ, καὶ τὰς κεφαλὰς πρὸς Βορρᾶν τείνῃ, χειμῶνα μέγαν προαγορεύουσι.

(a) Πρῖνοι] Idem, *p.* 134. Πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι, Χειμῶνός κε λέγοιεν ἐπὶ πλέον ἰσχύσοντος.

ΚΕΦ. Ε. Προγνωστικὰ, πότερον πρώϊμον ἢ ὄψιμον ἔσται τὸ ἔτος. Διδύμου.

Κάλλιον προγινώσκειν πότερον πρώϊμον τὸ ἔτος, ἢ ὄψιμον γενήσεται. πλείονι γὰρ τῷ σπόρῳ ἄμεινον χρῆσθαι, ὀψίμου τοῦ φαινομένου ἐνιαυτοῦ, διὰ τὸ τινὰ τῶν σπερμάτων ἐν τῷ μεταξὺ φθείρεσθαι. ἐὰν οὖν μετὰ τὸν τρυγητὸν ὄμβρος γένηται πρὸ δύσεως Πλειάδων, (1) πρώϊμον τὸ ἔτος ἔσται. ἐὰν δὲ ἅμα τῷ δύεσθαι τὰς Πλειάδας ὄμβρος γένηται, μέσον. ἐὰν δὲ μετὰ τὴν δύσιν τῶν Πλειάδων ὄμβρος ἄρξηται, ὄψιμον τὸ ἔτος. Δημόκριτος δὲ καὶ Ἀπουλήϊός φασι, τοιοῦτον χρὴ προσδοκᾷν ἔσεσθαι τὸν χειμῶνα, ὁποία ἔσται ἡ ἡμέρα τῆς ἑορτῆς, ἣν οἱ Ῥωμαῖοι (a) Βροῦμα καλοῦσι, τουτέστιν ἡ (2) τετάρτη καὶ εἰκοστὴ τοῦ Δίου μηνὸς, ἤτοι Νοεμβρίου. Ἕτεροι δέ τινες βούλονται ἐκ παρατηρήσεώς τινος, καθ' ὁμοιότητα τῆς τετάρτης καὶ εἰκάδος τοῦ εἰρημένου Δίου, ἤτοι Νοεμβρίου μηνὸς, καθ' ἣν τὰ Βρούμαλια γίνεται, ἔσεσθαι τὸν ἐφεξῆς Δεκέμβριον μῆνα. καθ' ὁμοιότητα δὲ τῆς πέμπτης καὶ εἰκάδος τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς, τὸν Ἰα-

CAP. V. *Prænotiones, an præcox aut ſerotinus futurus eſt annus. Didymi.*

PRæſtat prænoſſe utrum præcox aut ſerotinus erit annus. Etenim ſemine uberiore uti melius eſt ſerotino anno apparente, propterea quod quædam ex ſeminibus in medio tempore corrumpantur. Si igitur poſt vindemiam imber contingat ante Pleiadum occaſum, præcox annus erit. Si vero ſimul cum occaſu Pleiadum imber ſit, medius. Si vero poſt Pleiadum occaſum pluvia cœperit, ſerotinus erit annus. Democritus autem & Apuleius ajunt talem futuram expectare oportere hyemem, qualis erit dies ejus feſti, quod Romani Brumalia appellant, hoc eſt quarta & vigeſima menſis Novembris, qui Græcis aliquibus Dios vocatur. Alii quidam ex obſervatione quadam aſſerunt, juxta ſimilitudinem quartæ & vigeſimæ prædicti menſis Novembris, in qua Brumalia ſunt, futurum eſſe ſequentem Decembrem menſem. Juxta ſimilitudinem vero quintæ & vigeſimæ ejuſdem Novembris, Januarium menſem fore. Juxta ſimilitudinem

(1) *Quæ præceſſerunt,* ἤτοι, *&c. delenda eſſe ſuadent MSS.* V. F. Bar. Long. Bod. *&* Saracen. *Videntur fuiſſe gloſſa.*

(a) Βροῦμα] *Brumalium originem, ſed falſiſſimam & nugis refertam, ex* Suida *hauſtam tradit* Cœl. Rhodiginus Lib. XXVII. Cap. 24. *Brumalia (inquit) fuerunt Dionyſii ſive Bacchi, qui etiam Bromius ſive Brumus dictus eſt. Romanis probroſum cenſebatur alienis veſci, proinde ferebant ſinguli quod eſſent ac biberent, quo non dicerentur* ἀλλοτριοφάγοι. *Hinc tollendæ ignominiæ cauſa Romulus quod cum fratre a Laurentia foret educatus, Brumalia inſtituit, quibus convivio excipiebatur Senatus, cum neceſſarium diceret, a Rege ſuo ali Senatum hyeme, multis obſtrepentibus bellis, Vid.* Lil. Greg. Gyraldum, Roſinum, *&* Suidam.

(2) *MSS.* V. F. Bar. Long. *&* Bod. ἡ τετάρτη (rectius καὶ) εἰκὰς *ut inferius. In Diſſertatione* Doctiſſ. Armachani *de* Maced. *&* Aſianorum *Anno Solari,* Δῖος *Octobris locum occupat.*

autem

autem ſextæ & vigeſimæ ejuſdem Novembris, Februarium. Verum hoc aliquando quidem contingere ſolet, aliquando vero nequaquam. Quin & illud quidam ex obſervatione tradunt, quod a ſeptima menſis Martii die, uſque ad nonam ejuſdem menſis, aer frigidior fieri ſoleat. In illis enim diebus quadraginta Martyres in Paganorum manus traditi, ſupplicio affecti fidei ſuæ teſtimonium præbuerunt.

νουάριον μῆνα. καθ' ὁμοιότητα δὲ τῆς ἕκτης καὶ εἰκάδος τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς, τὸν Φεβρουάριον μῆνα. τοῦτο δὲ ποτὲ μὲν συμβαίνειν εἴωθε, ποτὲ δὲ οὐδαμῶς. κἀκεῖνο δὲ ἐκ παρατηρήσεώς τινές φασιν, ὅτι ἀπὸ τῆς ἑβδόμης τοῦ Μαρτίου μηνὸς, ἕως τῆς (3) θ'. τοῦ αὐτοῦ μηνὸς, εἴωθεν ἐπὶ τὸ ψυχρότερον τρέπεσθαι ὁ ἀήρ. κατ' ἐκείνας γὰρ τὰς ἡμέρας, καὶ οἱ (4) μ'. (b) Μάρτυρες, τοῖς Παγανοῖς παραδοθέντες, (5) ἤθλησαν.

(3) *Ita legendum ſuadent* Adonis *Martyrolog. &* Sim. Metaphraſtes; *quo etiam die* Card. Baronius 40 *Mart. Paſſionem celebrandam ſtatuit.* (4) *Repoſui* μ'. *ex MSS. &* Baronio; *Antea* μύριοι.

(b) Καὶ οἱ τεσσαράκοντα Μάρτυρες] *Quadraginta iſti Martyres, ſub* Licinio Imper. 7*mo. Idus Martias* Sebaſte *in* Armenia *paſſi ſunt, circiter annum Chriſti* 316. *corporibus balnei frigore torpentibus: ideo aerem tunc ſolito frigidiorem eſſe autumat. Eorum poſtea reliquias a nepte* S. Baſilii *acceptas,* Gaudentius *Epiſcopus* Brixianus, Ambroſii *æqualis, ad Eccleſiam ſuam tranſtulit; laudes autem orationibus complexi ſunt* S. Baſilius *&* Greg. Nyſſenus.

(5) *MSS. omnes præter* Norvic. ἐμαρτύρησαν. Ἀθλέω *metaphoricè Martyrium patior.*

CAP. VI.

De menſe ſecundum lunam. Diophanis.

Quidam cenſent nihil decreſcente luna, ſed augeſcente plantandum eſſe. Alii a quarta ipſius die uſque ad decimam octavam plantare ſuadent. Quidã ſolis antelunaribus diebus; hoc eſt, ſolis tribus diebus a nativitate ipſius, plantare permittunt. Alii a decima uſque ad vigeſimam aliquid plantare devitant, ne lumen ipſius cum plantis defodiatur. Exacta autẽ doctrina prædictarum obſervationum & præſtantior hæc eſt, ut videlicet ſub terra exiſtente luna plantatio fiat. Ligna vero cædantur eadem ſuper terram exiſtente.

ΚΕΦ. ΣΤ.

Περὶ μηνὸς τοῦ κατὰ σελήνην. Διοφάνους.

Τινὲς δοκιμάζουσι μηδὲν, φθινούσης τῆς σελήνης, ἀλλὰ αὐξανομένης, φυτεύειν. ἄλλοι δὲ ἀπὸ τετάρτης αὐτῆς, ἕως ὀκτωκαιδεκάτης προσήκειν φυτεύειν συμβουλεύουσι. Τινὲς ταῖς προσελήνοις μόναις, τουτέστι ταῖς πρώταις τρισὶν ἡμέραις γεννηθείσης αὐτῆς φυτεύειν συγχωροῦσιν. ἄλλοι παραιτοῦνται ἀπὸ δεκάτης ἕως εἰκοστῆς φυτεύειν τι, ὅπως μὴ τὸ φῶς αὐτῆς συγκαταχωσθῇ τοῖς φυτοῖς. ἡ δὲ ἀκριβὴς διδασκαλία τῶν προειρημένων παρατηρήσεων καὶ καλλίων, αὕτη· (1) ὑπὸ γῆν οὔσης τῆς σελήνης, φυτεύειν. τέμνειν δὲ ξύλα, ὑπὲρ γῆν οὔσης αὐτῆς.

(1) *MSS.* F. Long. *&* Bod. Τὸ φυτεύειν μὲν προσήκειν, ὑπὸ γῆν οὔσης τῆς σελήνης.

ΚΕΦ. Ζ.

Ὅτι ἀναγκαῖόν ἐστιν εἰδέναι, πότε ἡ σελήνη γίνεται ὑπὲρ γῆν, καὶ πότε ὑπὸ γῆν.

Ἐπειδὴ πολλὰ (1) ἔργα τῆς γεωργίας, ποτὲ ὑπεργείου, ποτὲ ὑπογείου τῆς σελήνης οὔσης, προβαίνειν ἀναγκαῖόν ἐστι, δεῖν ᾠήθην ἀπὸ τῆς νουμηνίας τῆς σελήνης ἕως τῆς τριακοστῆς, καθ' ἑκάστην ἡμέραν σημᾶναι, (2) ἀπὸ ποίας ὥρας ἡμερινῆς ὑπόγειος ἢ ὑπέργειος γίνεται ἡ σελήνη. τῇ νουμηνίᾳ ἄρχεται ὑπὸ γῆν εἶναι ἡ σελήνη, (3) ἀπὸ ἡμισείας ὥρας νυκτερινῆς, ἕως ἡμισείας ὥρας ἡμερινῆς. τῇ δευτέρᾳ, ἀπὸ μιᾶς καὶ ἡμισείας ὥρας νυκτερινῆς, ἕως μιᾶς καὶ ἡμισείας ὥρας ἡμερινῆς. τῇ τρίτῃ, ἀπὸ δύο ὡρῶν καὶ τεταρτημορίου ὥρας νυκτερινῆς, ἕως δευτέρας καὶ τεταρτημορίου ὥρας ἡμερινῆς. τῇ τετάρτῃ, ἀπὸ τρίτης καὶ τριτημορίου ὥρας νυκτερινῆς, ἕως τρίτης καὶ τριτημορίου ὥρας ἡμερινῆς. τῇ πέμπτῃ, ἀπὸ τρίτης ὥρας καὶ ἑκκαίδεκα μορίων ὥρας νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ ἕκτῃ, ἀπὸ ὥρας τετάρτης νυκτερινῆς καὶ ἐννέα μορίων, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ ἑβδόμῃ, ἀπὸ ὥρας πέμπτης νυκτερινῆς καὶ ἓξ μορίων καὶ ἡμίσεως, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ ὀγδόῃ, ἀπὸ ὥρας ἕκτης καὶ τεσσάρων μορίων ὥρας νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ ἐννάτῃ, ἀπὸ ἑβδόμης ὥρας καὶ ἕνδεκα ἥμισυ μορίων ὥρας νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. (4) τῇ δεκάτῃ, ἀπὸ ὥρας

CAP. VII.

Quod neceſſarium ſit ſcire, quando luna ſuper terram, & quando infra terram eſt.

QUandoquidem multa agriculturæ opera, quandoque quidem ſuper terram, quandoque ſub terra luna exiſtente, procedere neceſſarium eſt, operæ pretium viſum eſt mihi a novilunij die uſque ad trigeſimam, juxta ſingulos dies indicare, a qua hora nocturna & diurna ſub terra aut ſuper terram luna exiſtat. In novilunio igitur luna ſub terra eſſe incipit, a dimidia hora nocturna, uſque ad dimidiam horam diurnam. Secunda die ab una & dimidia hora nocturna, uſque ad unam & dimidiam horam diurnam. Tertia a duabus horis & quarta parte horæ nocturnæ, uſque ad ſecundam & quartam partem horæ diurnæ. Quarta a tertia & tertia parte horæ nocturnæ, uſque ad tertiam & tertiam partem horæ diurnæ. Quinta ab hora tertia & ſexdecim partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Sexta die ab hora quarta & novem partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Septima ab hora quinta & ſex cum dimidia partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Octava ab hora ſexta & quatuor partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Nona ab hora ſeptima, & undecim cum dimidia partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Decima die ab hora octava & octo partibus

(1) *Titulo capitis* F. Long. *&* Bod. *addunt* Ζωροάστρου. (2) *MSS.* F. L. *&* B. *habent* ἀπὸ ποίας ὥρας νυκτερινῆς, καὶ ἀπὸ ποίας ὥρας ἡμερινῆς. (3) *MSS.* V. F. Bar. Long. *&* Bod. *per totum cap.* ἀπὸ ἡμίσεως ὥρας. (4) *Ingens ab hora decima ad finem Cap. inter MSS. & Cod. Impreſſ. diſcrepantia, quem tamen ſequendum duxi.*

horæ nocturnæ, uſq; ad eaſdē diurnas. Undecima ab hora nona nocturna, uſq; ad eandem diurnam. Duodecima ab hora decima & partibus ſexdecim horæ nocturnæ, uſq; ad eaſdē diurnas. Tertia decima ab hora undecima & tribus partibus horæ nocturnæ, uſque ad eaſdem diurnas. Quarta decima ab hora undecima & tribus partibus horæ nocturnæ, uſq; ad eaſdem diurnas. Quinta & decima ab exortu ſolis uſq; ad occaſum pulcherrima, quando ſane interdiu opera facere præſtabilius eſt. Sexta & decima ab hora diurna dimidia, uſque ad eandem nocturnam. Septima decima ab hora prima & ſeptendecim partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Octava decima ab hora ſecunda, & quatuor cum dimidia partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Nona decima ab hora tertia & tribus partibus horæ diurnæ, uſque ad eaſdem horæ nocturnas. Vigeſima ab hora tertia, & ſexdecim partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima prima die ab hora quarta & novem partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima ſecunda ab hora quinta & ſex cum dimidia partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima tertia ab hora ſexta & quatuor partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima quarta ab hora ſeptima, & undecim cum dimidia partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima quinta ab hora ſeptima & undecim partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima ſexta ab hora octava, & ſex cum dimidia partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Vigeſima ſeptima ab hora nona, & novem cum dimidia partibus horæ diurnæ, uſque ad eaſ-

ὀγδόης καὶ ὀκτὼ μοιρίων ὥρας νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ ἑνδεκάτῃ ἀπὸ ὥρας ἐννάτης νυκτερινῆς ἕως τῆς αὐτῆς ἡμερινῆς. τῇ δωδεκάτῃ, ἀπὸ ὥρας δεκάτης νυκτερινῆς, καὶ δέκα ἓξ μοιρίων, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ τρισκαιδεκάτῃ, ἀπὸ ὥρας ἑνδεκάτης καὶ τριῶν μοιρίων νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ τεσσαρεσκαιδεκάτῃ, ἀπὸ ὥρας ἑνδεκάτης καὶ τριῶν μοιρίων νυκτερινῆς, ἕως τῶν αὐτῶν ἡμερινῆς. τῇ πεντεκαιδεκάτῃ, ἀπὸ ἀνατολῆς ἡλίου μέχρι δύσεως καλλίστη, ἐπειδὴ ἡμέρας (5) κάλλιον τὰ ἔργα ποιήσομεν. τῇ ἑκκαιδεκάτῃ, ἀπὸ ἡμισείας ὥρας ἡμερινῆς, ἕως τῆς αὐτῆς νυκτερινῆς. τῇ ἑπτακαιδεκάτῃ, ἀπὸ ὥρας πρώτης καὶ δεκαεπτὰ μοιρίων ἡμερινῆς, μέχρι καὶ τῶν αὐτῶν νυκτερινῆς. τῇ ὀκτωκαιδεκάτῃ, ἀπὸ ὥρας δευτέρας καὶ τεσσάρων μοιρίων καὶ ἡμίσεως ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ ἐννεακαιδεκάτῃ, ἀπὸ ὥρας τρίτης καὶ τριῶν μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ, ἀπὸ ὥρας τρίτης καὶ δεκαὲξ μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ πρώτῃ, ἀπὸ ὥρας τετάρτης καὶ ἐννέα μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ δευτέρᾳ, ἀπὸ ὥρας πέμπτης καὶ ἓξ μοιρίων καὶ ἡμίσεως ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ τρίτῃ, ἀπὸ ὥρας ἕκτης καὶ τεσσάρων μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ τετάρτῃ, ἀπὸ ὥρας ἑβδόμης καὶ ἕνδεκα καὶ ἥμισυ μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ πέμπτῃ, ἀπὸ ὥρας ἑβδόμης καὶ ἕνδεκα μοιρίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ ἕκτῃ, ἀπὸ ὥρας ὀγδόης καὶ ἓξ μοιρίων καὶ ἡμίσεως ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ ἑ-

(5) *MS.* Norv. κάλλιον τὸ ἔργον. V. F. *&* Bar. τὰ ἔργα κάλλιον.

δόμῃ

δόμῃ, ἀπὸ ὥρας ἐννάτης καὶ ἐννέα καὶ ἥμισυ μορίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ ὀγδόῃ, ἀπὸ ὥρας δεκάτης καὶ δεκαὲξ μορίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ εἰκοστῇ καὶ ἐννάτῃ, ἀπὸ ὥρας (6) ἑνδεκάτης καὶ τριῶν μορίων ἡμερινῆς, ἕως τῶν αὐτῶν νυκτερινῆς. τῇ τριακοστῇ, ἀπὸ ὥρων δύσεως ἡλίου, ἕως ἀνατολῆς ἡλίου.

dem nocturnas. Vigeſima octava ab hora decima & ſexdecim partibus horæ diurnæ uſque ad eaſdem nocturnas. Vigeſima nona ab hora undecima & tribus partibus horæ diurnæ, uſque ad eaſdem nocturnas. Trigeſima a ſolis occaſu uſque ad ejuſdem exortum.

(6) *Repoſui, ut ordo ſenſus poſtulat, ex* Codd. F. Bod. *&* Long.

ΚΕΦ. Η.

Περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, καὶ τῆς προγνώσεως τῶν ἐξ αὐτῆς συμβαινόντων. [(1) Διοφάνους.]

Ἡ τοῦ κυνὸς ἐπιτολὴ γίνεται, διαφαυούσης εἰκοστῆς τοῦ Ἰουλίου μηνός. χρὴ δὲ παρατηρεῖν ἐν ποίῳ οἴκῳ οὔσης τῆς σελήνης ἡ τούτου γίνεται ἀνατολή. ἐν Λέοντι οὔσης τῆς σελήνης, ἐὰν ἀνατολὴ γένηται τοῦ κυνὸς, σίτου φορὰ πολλὴ, καὶ ἐλαίου, καὶ οἴνου ἔσται, καὶ τῶν ἄλλων πάντων εὐωνία. θόρυβος δὲ καὶ σφαγαὶ, καὶ βασιλέως ἐπιφάνεια, καὶ ἁπαλία τοῦ ἀέρος, καὶ ἐπιδρομὴ ἔθνους ἐφ' ἕτερον ἔθνος, καὶ ἔσονται σεισμοὶ καὶ κλύδωνες. ἐν Παρθένῳ δὲ οὔσης αὐτῆς, πολυομβρίαι, εὐφρασίαι καὶ τικτουσῶν φθορὰ, σωμάτων καὶ τετραπόδων εὐωνία. ἐν Ζυγῷ οὔσης αὐτῆς, βασιλέως κίνησις, καὶ τετραπόδων ὄνησις, καὶ ἐν τοῖς ὄχλοις θόρυβος, ἐλαίου σπάνις, σίτου φθορὰ, οἴνου δὲ καὶ ἀκροδρύων εὐφορία. ἐν Σκορπίῳ οὔσης αὐτῆς, ἱερέων θόρυβοι, καὶ μελιττῶν φθορὰ, καὶ λοιμικὴ κατάστασις. ἐν Τοξότῃ οὔσης αὐτῆς, εὐετηρία καὶ πολυομβρία,

CAP. VIII.

De caniculæ ortu, & prænotione eorum quæ ex ipſa contingunt.

CAniculæ ortus fit illuceſcente vigeſima Julii menſis. Obſervandum eſt autem in qua domo exiſtente luna, exoriatur. Etenim ſi in Leone exiſtente luna canicula oriatur, frumenti fertilitas magna, olei item ac vini erit, aliarum quoque rerum omnium pretium vile. Orietur tumultus & cædes, apparebit rex, & aeris teneritas, continget incurſus gentis in aliam gentem, & erunt terræmotus ac inundationes. In Virgine vero ſi luna fuerit, multitudo imbrium cadet, magna gaudia erunt, parientium mors, ſervorum ac quadrupedum vilitas erit. In Libra eadem exiſtente, continget regis motus, & quadrupedum commodus fructus, in populo tumultus, olei raritas, frumenti corruptela, vini vero & fructuum arborum foris lignoſum putamen habentium abundantia. In Scorpio ſi eadem fuerit, ſacerdotum tumultus, apum pernicies & conſtitutio peſtilentialis erit. In Sagittario eadem exiſtente, fertilis annus & pluvioſus, frumenti abundantia, lætitia inter homines; pecorum

(1) *MSS.* Norv. V. Caſaub. *& Interp.* delent Διοφ. F. Long. *&* Bod. affigunt, Τοῦ Αὐτοῦ.

autem

autem interitus, & volucrium multa copia erit. Si vero, quum in Capricorno luna fuerit, eadem oriatur, exercituum motus, & pluviarum copia, & frumenti vinique ac olei multa fertilitas, omniumque pretium vile. In Aquario eadem exiſtente, morietur rex, frumentum corrumpetur, locuſtæ abundabunt, pluviæ raræ erunt, peſtis graſſabitur. In Piſcibus eadem exiſtente ſi canicula oriatur, multæ pluviæ erunt, volucres peribunt, vinum & frumentum abundabunt, hominum vero corpora morbi invadent. Si vero in Ariete eadem exiſtente Canicula oriatur, animalium gregatim paſcentium multus interitus erit, & pluviarum ubertas, & frumenti copia exigua, olei fertilitas. Si autem in Tauro, pluviæ multæ, & grandines, & rubigo, & plagæ multæ. Si vero in Geminis, frumenti & vini, omniſque fructus multa fertilitas erit, rex deficiet, homines interibunt, & exercitus movebuntur. In Cancro eadem exiſtente, ſiccitates & fames erunt.

καὶ σίτου εὐθηνία, καὶ εὐφροσύνη ἐν τοῖς ἀνθρώποις· θρεμμάτων δὲ φθορά· τῶν δὲ πτηνῶν πολλὴ φορά. ἐν Αἰγοκέρωτι οὔσης αὐτῆς, ἡ ἐπιτολὴ εἰ γένοιτο, στρατοπέδων κίνησις, καὶ πολυομβρία, σίτου καὶ οἴνου καὶ ἐλαίου πολλὴ φορά, καὶ πάντων εὐωνία. ἐὰν ἐν Ὑδροχόῳ οὔσης αὐτῆς ἡ ἐπιτολὴ γένηται, βασιλέως λύσις, σίτου φθορά, καὶ ἀκρίδων ἔφοδος, καὶ σπάνις ὄμβρων, καὶ λοιμοί. ἐν Ἰχθύσιν οὔσης αὐτῆς, ἐὰν γένηται ἡ ἐπιτολὴ, πολυομβρία ἔσται, καὶ τῶν πτηνῶν φθορά, καὶ οἴνου καὶ σίτου εὐφορία, νόσος (2) δὲ περὶ τοὺς ἀνθρώπους. ἐν Κριῷ οὔσης αὐτῆς, ἐὰν γένηται ἐπιτολὴ τοῦ κυνὸς, τῶν ζώων (3) νεμομένων ἔσται πολλὴ φθορά, καὶ πολυομβρία, καὶ σίτου ἐλαχίστου φορά, καὶ ἐλαίου εὐφορία. ἐὰν δὲ ἐν Ταύρῳ, (4) πολυομβρίαι, καὶ χάλαζαι, καὶ ἐρυσίβαι, καὶ τιμωρίαι. ἐὰν δὲ ἐν Διδύμοις, σίτου καὶ οἴνου πολλὴ φορά, καὶ παντὸς καρποῦ, καὶ βασιλέως ἔκλειψις, καὶ ἀνθρώπων φθορά, καὶ στρατοπέδων κίνησις. ἐὰν δὲ ἐν Καρκίνῳ, ξηρασίαι, καὶ λιμός.

(2) *Supplevi ex MSS. &* Caſaub. (3) Caſaub. *&* Interp. συννεμομένων. (4) *Præcedentia,* οὔσης, *&c. delenda ſuadebat MSS. conſenſus.*

CAP. IX.

Ortus & Occaſus apparentium ſtellarum. Quintiliorum.

QUandoquidem neceſſe eſt agricolas noſſe apparentium ſtellarum ortus & occaſus, hoc modo de his conſcripſi, ut etiam omnino rudes literarum ex auditu facile intelligere queant, tum ortus tum occaſus ipſarum tempora. Calendis Januarii menſis Delphinus oritur. Vigeſima ſexta Februarii Arcturus veſpertinus oritur. Calendis Aprilis Pleiades ad ſummam noctem oc-

ΚΕΦ. Θ.

Ἐπιτολὴ καὶ δύσις φανερῶν ἀστέρων. Τῶν Κυντιλίων.

Ἐπειδὴ ἀναγκαῖόν ἐστιν εἰδέναι τοὺς γεωργοὺς φανερῶν ἀστέρων τὰς ἐπιτολὰς, καὶ τὰς δύσεις, οὕτω τὰ περὶ τούτων συνέγραψα, ὥστε καὶ τοὺς παντελῶς ἀγραμμάτους ἀκούοντας ῥᾳδίως νοεῖν τοὺς καιροὺς τῆς τούτων ἐπιτολῆς τε καὶ δύσεως. τῇ νουμηνίᾳ τοῦ Ἰανουαρίου μηνὸς, Δελφὶς ἐπιτέλλει. τῇ κϛʹ. τοῦ Φεβρουαρίου, Ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει. τῇ νουμηνίᾳ τοῦ Ἀπριλίου, πλειάδες ἀκρό-

ἀκρόνυχοι κρύπτονται. (1) τῇ κγ΄. Ἀπριλλίου, πλειάδες ἅμα ἡλίου ἀνατολῇ ἐπιτέλλουσι. τῇ κθ΄. τοῦ Ἀπριλλίου, ὠρίων ἑσπέριος κρύπτεται. τῇ λ΄. τοῦ Ἀπριλλίου, ὑάδες ἅμα ἡλίου ἀνατολῇ ἀνατέλλουσι. τῇ ζ΄. τοῦ Μαΐου, πλειάδες ἑωθιναὶ φαίνονται. (2) τῇ ιθ΄. τοῦ Μαΐου, ὑάδες ἑωθιναὶ φαίνονται. τῇ ἑβδόμῃ τοῦ Ἰουνίου, ἀρκτοῦρος ἑῷος δύνει. τῇ κγ΄. τοῦ Ἰουνίου, ὠρίων ἄρχεται ἐπιτέλλειν. τῇ δεκάτῃ τοῦ Ἰουλίου, ὠρίων ἑῷος ἐπιτέλλει. τῇ ιγ΄. τοῦ Ἰουλίου, προκύων ἑῷος ἐπιτέλλει. τῇ κδ΄. κύων ἑῷος ἐπιτέλλει. τῇ κϛ΄. τοῦ Ἰουλίου, Ἐτησίαι ἄρχονται πνέειν. τῇ λ΄. τοῦ Ἰουλίου, ὁ λαμπρὸς ἀστὴρ ὁ ἐν τῷ στήθει τοῦ λέοντος, ἐπιτέλλει. τῇ κε΄. τοῦ Αὐγούστου, ὀϊστὸς δύνει. τῇ ιε΄. τοῦ Σεπτεμβρίου, ἀρκτοῦρος ἐπιτέλλει. τῇ τετάρτῃ τοῦ Ὀκτωβρίου, στέφανος ἑῷος ἐπιτέλλει. τῇ κδ΄. (3) τούτου, πλειάδες ἅμα ἡλίου ἀνατολῇ δύνουσι. (4) τῇ πρώτῃ τοῦ Νοεμβρίου, πλειάδες ἑῷαι δύνουσι, καὶ ὠρίων ἄρχεται δύνειν. τῇ κβ΄. τοῦ Νοεμβρίου, κύων ἑῷος δύνει.

cultantur. Vigeſima tertia Aprilis pleiades ſimul cum ſolis ortu exoriuntur. Vigeſima nona Aprilis Orion veſpertinus occultatur. Trigeſima Aprilis ſuculæ ſimul cum ſolis exortu oriuntur. Septima Maii pleiades matutinæ apparent. Decima nona Maii ſuculæ matutinæ oriuntur. Septima Junii arcturus matutinus occidit. Vigeſima tertia Junii orion oriri incipit. Decima Julii orion matutino oritur. Decima tertia Julii procyon matutinus oritur. Vigeſima quarta canicula mane oritur. Vigeſima ſexta Julii Eteſiæ ſpirare incipiunt. Trigeſima Julii ſplendida ſtella in pectore leonis oritur. Vigeſima quinta Auguſti ſagitta occidit. Decima quinta Septembris arcturus oritur. Quarta Octobris corona mane oritur. Vigeſima quarta Octobris pleiades ſimul cum ſolis exortu occidunt. Calendis Novembris pleiades mane occidunt, & orion occidere incipit. Vigeſima ſecunda Novembris, canis mane occidit.

(1) *Præcedentem* περικοπὴν, τῇ ιϛ΄. Ἀπριλλίου, &c. *MSS. non agnoſcentibus, omiſi.* (2) *Hæc revocavi ex Codd. MSS.* (3) *In MSS.* τοῦ Ὀκτωβρίου. (4) F. Long. & Bod. τῇ ια΄.

ΚΕΦ. Ι.

Σημείωσις τῶν ἀποτελουμένων ἐκ τῆς βροντῆς καθ' ἕκαστον ἔτος, μετὰ τὴν κυνὸς ἐπιτολήν. Ζωροάστρου.

Ἐκείνην χρὴ πρώτην βροντὴν ἡγεῖσθαι καθ' ἕκαστον ἐνιαυτὸν, τὴν μετὰ τὴν ἐπιτολὴν τοῦ κυνὸς γινομένην, δεῖ οὖν παρατηρεῖσθαι ἐν ποίῳ οἴκῳ τοῦ ζωδιακοῦ κύκλου τῆς σελήνης οὔσης, ἡ βροντὴ ἡ πρώτη γίνεται. ἐὰν ἐν Κριῷ τῆς σελήνης οὔσης βροντὴ γένηται, σημαίνει πτοηθῆναί τινας κατὰ χώραν, καὶ γενέσθαι ἀγω-

CAP. X.

Significatio effectuum ex primo tonitru ſingulis annis, poſt canis ortum. Zoroaſtris.

PRimum tonitru cenſendum eſt ſingulis annis, quod poſt canis ortum contingit. Quare obſervandum eſt, in qua domo circuli zodiaci luna exiſtat, quum primum tonitru auditur. Etenim ſi luna in Ariete exiſtente tonuerit, conſternatos & dubiæ rationis quoſdam in regione futuros ſignificat, & futuros timores hominum

numque fugam, poſtea vero quietum ſtatum. In Tauro vero luna exiſtente ſi tonuerit, frumenti & hordei corruptionem portendit, & locuſtarum inſultum. In regia autem aula gaudium. His vero qui ad orientem habitant anguſtiam & famem. In Geminis ſi tonuerit, turbas & morbum indicat, frumenti corruptelam, & Arabum ſtragem. In Cancro, hordei corruptionem, & ſiccitatem, & boum mortem, circa Martium vero & Aprilem pluviarum copiam. In Leone, frumenti ac hordei corruptionem in montana regione, & pruritus & impetigines. In Virgine, regis interitum, & alienigenam regionis regem futurum, navigantibus periculum, circa ſata rubiginem. In Libra, bella, & plagarum multitudinem, & fructuum corruptionem. In Scorpio fames erit, volatilia autem multiplicabuntur. In Sagittario, commotionem ſignificat in regione, in montana regione frumenti fertilitatem, in campeſtri corruptionem. In Capricorno, pluvias fore ſignificat in dies quinquaginta, & regum dolum, ac vituperium, & indecoram loquacitatem, & alieni regis apparitionem ab oriente, qui univerſo terrarum orbi dominabitur. fructuum abundantia erit, & virorum præcellentium mors, ovium vero generatio. In Aquario, bella violenta in regione maritima; fructuum aliorum corruptionem, leguminum autem perniciem. In Piſcibus frumenti corruptionem modicam, & mortem viri potentis.

νίαν καὶ φυγὴν ἀνθρώπων, ὕστερον δὲ κατάστασιν. Ἐν Ταύρῳ τῆς σελήνης οὔσης ἐὰν βροντήσῃ, φθορὰν σίτου καὶ κριθῆς σημαίνει, καὶ ἀκρίδων ἔφοδον. Ἐν δὲ βασιλικῇ αὐλῇ χαράν· τοῖς δὲ πρὸς ἀνατολὰς θλῖψιν καὶ λιμόν. Ἐν Διδύμοις ἐὰν βροντήσῃ, ταραχὴν καὶ νόσον δηλοῖ, καὶ σίτου φθορὰν, καὶ Ἀράβων ἀπώλειαν. Ἐν Καρκίνῳ, (1) κριθῆς φθορὰν, καὶ ἀνομβρίαν, καὶ βοῶν θάνατον δηλοῖ. περὶ δὲ Μάρτιον καὶ Ἀπρίλλιον πολυομβρίαν. Ἐν Λέοντι, σίτου καὶ κριθῆς φθορὰν ἐν τῇ ὀρεινῇ, καὶ κνησμοὺς καὶ λειχῆνας. Ἐν (2) Παρθένῳ, βασιλέως ἀπώλειαν σημαίνει, καὶ ἄλλον βασιλεύσειν τῆς χώρας, τοῖς ναυτιλλομένοις κίνδυνον, περὶ δὲ τὰ σπέρματα ἐρυσίβην. Ἐν Ζυγῷ, πολέμους, καὶ πληγῶν πλησμονὰς, καὶ καρπῶν φθοράν. Ἐν Σκορπίῳ, λιμὸς ἔσται, τὰ δὲ πετεινὰ πληθυνθήσονται. Ἐν Τοξότῃ σάλον ἐν τῇ χώρᾳ δηλοῖ, ἐν τῇ ὀρεινῇ σίτου εὐφορίαν, καὶ ἐν τῇ πεδιάδι φθοράν. Ἐν Αἰγοκέρωτι, ὄμβρον ἔσεσθαι σημαίνει ἐπὶ ἡμέρας πεντήκοντα, καὶ βασιλέων δόλον, καὶ ψόγον, καὶ καὶ ἀπρεπῆ λαλιὰν, καὶ ἐπιφάνειαν ἄλλου βασιλέως ἀπ᾽ ἀνατολῆς, ὃς ἐπικρατήσει πάσης τῆς Οἰκουμένης. εὐκαρπία δὲ ἔσται, καὶ ἐνδόξων ἀνδρῶν θάνατος, καὶ προβάτων γονή. Ἐν Ὑδροχόῳ πολέμους ἰσχυροὺς ἐν τῇ παράλῳ. καρπῶν δὲ τῶν ἄλλων φθορὰν, ὀσπρίων δὲ ἀπώλειαν. Ἐν Ἰχθύσιν, σίτου φθορὰν δηλοῖ ὀλίγην, καὶ θάνατον ἀνδρὸς δυνατοῦ.

(1) *Delevi* ἐὰν βροντήσῃ *ubicunque occurrebat ad finem capitis; auctoritate omnium MSS.* (2) *Ita MSS.* (3) V. & Bar. ὃς κρατήσει πᾶσαν τὴν Οἰκουμένην.

ΚΕΦ. ΙΑ.

Περὶ τῆς προσηγορίας τῶν ἀνέμων, καὶ πόσοι εἰσί, καὶ πόθεν ἕκαστος πνεῖ. Διονυσίου.

Ἀπὸ τῶν τεσσάρων κλιμάτων, τέσσαρες αὐθεντικοὶ πνέουσιν ἄνεμοι. ὁ Ἀπηλιώτης, καὶ ὁ Ζέφυρος, καὶ ὁ Βορέας, καὶ ὁ Νότος. ὁ μὲν οὖν Ἀπηλιώτης ἀπὸ ἀνατολικοῦ κέντρου φερόμενος, ἔχει παραπνέοντας (1) αὐτὸν, τὸν Εὖρον, καὶ τὸν Καικίαν. ὁ δὲ Ζέφυρος ἀπὸ τοῦ δυτικοῦ κέντρου πνέων, ἔχει μεσάζοντας αὐτὸν, Ἰάπυγα καὶ Λίβα. ὁ δὲ Βορέας ἐκ τοῦ ἀρκτικοῦ κέντρου καταπνέων, ἔχει μεσάζοντας αὐτὸν, Θρασκίαν καὶ τὸν Ἀπαρκτίαν. ὁ δὲ Νότος ἀπὸ τῆς μεσημβρίας φερόμενος, ἔχει μεσάζοντας αὐτὸν, τὸν Λιβόνοτον καὶ Εὐρόνοτον, ὡς εἶναι τοὺς πάντας ἀνέμους ιβʹ. τὸν δὲ Ζέφυρον συνεργὸν εἶναι τῇ γεωργίᾳ μᾶλλον τῶν ἄλλων πάντων ἀνέμων, καὶ ὁ Φλωρεντῖνός φησι, καὶ ἡμεῖς συνομολογοῦμεν. ἀνέμους δὲ προμηνύει θάλασσα κυμαίνουσα, καὶ ἐπὶ τοῖς αἰγιαλοῖς μεγάλα ἠχοῦσα. καὶ τῶν ὀρῶν αἱ ἄκραι καθαραὶ οὖσαι. καὶ ἄκανθαι καὶ ξηρὰ φύλλα ἐναντία ὑπὸ ἀνέμων (2) εἰλούμενα. βρονταὶ καὶ ἀστραπαὶ θέρους ὅθεν φέρονται, ἐκεῖθεν ἄνεμον προσδόκα. ἀστέρες διαπίπτοντες ὅπου τρέπονται, ἐκεῖ χρὴ τὸ πνεῦμα προσδέχεσθαι.

CAP. XI.

De appellationibus ventorum, & quot ſunt, & unde ſinguli ſpirant. Dionyſii.

A Quatuor mundi partibus quatuor venti primarii ſpirant, Subſolanus, Favonius, Boreas, & Auſter. Subſolanus itaque ab Orientali plaga fertur, habetque a lateribus adſpirantes ipſi Eurum & Cæciam. Favonius vero ex occidentali plaga ſpirans, Iapygem habet & Africum, qui ipſum medium conſtituunt. Boreas autem ex ſeptentrionali parte ſpirans, habet Thraſciam & Aquilonem qui ipſum medium conſtituunt. Auſter porro a meridie fertur, habetque medium ipſum facientes Africoauſtrum & Euroauſtrum, Quo fit ut in totum duodecim venti exiſtant. Cæterum Favonium præ aliis omnibus ventis agriculturæ commodum eſſe, etiam Florentinus ait, & nos quoque fatemur. Ventos autem prænunciat mare undis exæſtuans, & in litoribus valide reſonans. Idem indicant montium juga pura exiſtentia. Spinæ item & arida folia in contrarium a ventis volutata. Tonitrua & fulgura in æſtate undecunque ferantur, inde ventum expectare oportet. Quocunque ſtellæ delabentes vergunt, illinc ventum expectandum ſignificant.

(1) MSS. F. Long. & Bod. *inſerunt*, Καὶ μεσάζοντας αὐτόν. (2) *Ita Codd. MSS.*

CAP. XII.

Duodecennium Jovis, & quæ efficit obiens duodecim circuli Zodiaci domos. Zoroaſtris.

CIrculus Zodiacus in duodecim domos ſectus eſt, Tres quidem vernas, Arietem, Taurum, Geminos; Tres etiam Æſtivas, Cancrum, Leonem, Virginem; Tres autumnales, Libram, Scorpium, Sagittarium; Tres hyemales, Capricornum, Aquarium, Piſces. At vero Jovis ſtella in unaquaque domo exiſtens ſubſcripta efficit. Quum ſtella Jovis in Ariete ſteterit, quæ domus Martis eſt, totus annus borealis erit, participans etiam cum Euro vento. Hyems frigida & nivoſa, imbres autem continui erunt, & fluvii magni. Poſt æquinoctium autem vernum, aer in pluvias lenes ac crebras mutatur. Æſtas autem temperata erit & ſalubris, autumnus æſtuoſus. Eruntque in ipſo morbi, & maxime a capite, & diſtillationes, & tuſſes. Ex locis campeſtria magis fructum ferent; Supplicandum eſt autem ne bella oriantur. Democritus dicit vinum bonum & durabile eſſe, annumque opportunum ad ſolam vitium plantationem. Frumentum vero in areis munire oportet propter imbres, fieri etiam volucrium raritatem; & bonum eſſe hortos apparare. Quum vero in Tauro fuerit in domo Veneris, Principium quidem hyemis temperatum erit & pluvioſum, Medium vero nivoſum, Finis frigidus. Maxime vero ſi hyemet a medio hyemis uſque ad æquinocti-

ΚΕΦ. ΙΒ.

Δωδεκαετηρὶς τοῦ Διός, καὶ ὅσα ἀποτελεῖ περιπολῶν τοὺς δώδεκα οἴκους τοῦ Ζῳδιακοῦ κύκλου. Ζωροάστρου.

Ὁ Ζῳδιακὸς Κύκλος τέτμηται εἰς δώδεκα οἴκους, ἐαρινοὺς μὲν τρεῖς, Κριὸν, Ταῦρον, Διδύμους. εἰς δὲ θερινοὺς οἴκους τρεῖς, Καρκίνον, Λέοντα, Παρθένον. εἰς δὲ φθινοπωρινοὺς τρεῖς, Ζυγὸν, Σκορπίον, Τοξότην. Αἰγοκέρωτα δὲ καὶ Ὑδροχόον καὶ Ἰχθύας, χειμερινούς. ἐν ἑκάστῳ οὖν οἴκῳ τοῦ Διὸς ἀστὴρ γινόμενος, ἀποτελεῖ τὰ ὑπογεγραμμένα. Ἐπὰν ἐπιστῇ τῷ Κριῷ ὁ τοῦ Διὸς ἀστὴρ, οἴκῳ ὄντι Ἄρεως, ὅλον μὲν ἔσται βόρειον τὸ ἔτος, ἐπικοινωνοῦν καὶ τῷ Εὔρῳ ἀνέμῳ· ὁ δὲ χειμὼν κατεψυγμένος, καὶ χιονώδης, ὄμβροι δὲ ἔσονται συνεχεῖς, καὶ ποταμοὶ μεγάλοι. μετὰ δὲ τὴν ἐαρινὴν ἰσημερίαν, μεταβάλλει ὁ ἀὴρ εἰς ὕδατα μαλακὰ καὶ πυκνά. τὸ δὲ θέρος εὔκρατον ἔσται καὶ ὑγιεινὸν, τὸ φθινόπωρον καυματῶδες. ἔσονται δὲ ἐν αὐτῷ νοσήματα, καὶ μάλιστα ἀπὸ κεφαλῆς, καὶ κατάρροι, καὶ βῆχες. τῶν δὲ τόπων τὰ πεδινὰ μᾶλλον οἴσει καρπόν· εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ πόλεμοι γένωνται. Ὁ δὲ Δημόκριτος λέγει, τὸν οἶνον χρηστὸν καὶ παραμένον εἶναι, εὔθετον δὲ εἶναι τὸ ἔτος πρὸς μόνην ἀμπέλων φυτείαν. ἀσφαλίζεσθαι δὲ δεῖ τὸν σῖτον ἐν ταῖς ἅλωσι διὰ τοὺς ὄμβρους· γενέσθαι δὲ ὀρνέων σπάνιν, καλὸν δὲ καὶ κήπους κατασκευάζειν. Ὅτε δὲ ἐν Ταύρῳ γένηται ἐν οἴκῳ τῆς Ἀφροδίτης, ὁ χειμὼν ἀρχόμενος μὲν εὔκρατος ἔσται καὶ ἔπομβρος, μεσάζων δὲ νιφετώδης, καὶ λήγων ψυχρός. μάλιστα δ' εἰ χειμάσει ἀπὸ μέσου χειμῶνος ἕως ἰσημερίας ἐαρινῆς, τὸ ἔαρ εὔκρατον ἔσται, καὶ κάθυγρον ἕως κυνὸς ἐπι-

πολλῆς. τὸ θέρος καυματῶδες, τὸ φθινόπωρον παγῶδες, καὶ ἐπίνοσον, μάλιστα τοῖς νέοις. ἔσονται δὲ ὀφθαλμίαι. οἱ πεδινοὶ τόποι μᾶλλον τῶν ὀρεινῶν εὐφορήσουσιν, ὁ οἶνος ἀδικηθήσεται, διὸ χρὴ τὴν ἄμπελον ὀψὲ τρυγᾷν. ἔσται δὲ καὶ τῶν καρπῶν τῶν ξυλικῶν εὐφορία, ὀρνίθων σπάνις. τοῖς δὲ πλέουσι τὸ ἔτος ἀνεπιτήδειον. ἐν τούτῳ τῷ ἔτει περιλαμπὴς ἀνὴρ τελευτήσει. ὁ δὲ Δημόκριτός φησιν, ἐν τούτῳ τῷ ἔτει χάλαζαν πολλὴν γίνεσθαι, καὶ χιόνας. τοὺς δὲ Ἐτησίας μὴ ὁμοίως πνεῖν. εὔχεσθαι δὲ δεῖ, μὴ γενέσθαι σεισμοὺς, καὶ στρατείας κίνησιν. Ὅτε δὲ ἐν Διδύμοις ἐν οἴκῳ Ἑρμοῦ ὁ Ζεὺς γένηται, τὸ ὅλον ἔτος ἕξει πνεῦμα νότιον καὶ λιβυκόν. ὁ δὲ χειμὼν ἀρχόμενος μὲν ἔσται ἀνεμώδης, εὔκρατος δὲ μεσάζων, καὶ λήγων παγώδης καὶ ἀνεμώδης. τὸ ἔαρ εὔκρατον, καὶ λεπτὰ ἔχον ὕδατα, ἔσται δὲ σῖτος πολύς· τὸ θέρος εὔκρατον, διὰ τὸ τοὺς Ἐτησίας ἀνέμους λαμπροὺς ἐπιπνεῦσαι ἐπὶ πολὺν χρόνον. ἐν δὲ ταῖς ἅλωσιν οἱ καρποὶ (1) διαψεύσονται, μάλιστα δὲ ἐν Συρίᾳ. ἔσται δὲ περὶ τὸ φθινόπωρον νόσος, καὶ μάλιστα τοῖς νέοις καὶ μεσήλιξι καὶ γυναιξίν. ἔσονται δὲ καὶ ὀφθαλμίαι, τοῦ φθινοπώρου καυματώδους ὄντος. ἔσται καὶ γυναικῶν θάνατος. τῶν ξυλικῶν ὁ καρπὸς εὐφορήσει. λείψουσι δὲ καὶ αἱ πηγαὶ τῶν ὑδάτων. ἄμεινον δὲ καρποὺς ἀποθέσθαι, διὰ τὴν ἐν τῷ ἐρχομένῳ ἔτει ἐσομένην ἀφορίαν. Δημόκριτος δέ φησι, χαλάζης γίνεσθαι βλάβην. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ λοιμικὰ πάθη γένωνται. Ἐν οἴκῳ δὲ Σελήνης Καρκίνῳ γενομένου τοῦ Διὸς, ὁ χειμὼν τὰ πλεῖστα ἀπὸ τῶν ἀνατολικῶν ἔσται ψυχρός τε καὶ χαλαζώδης καὶ (2) γνοφώδης, ἔχων καὶ ποταμοὺς μεγάλους. περὶ δὲ τροπὰς χειμερινὰς ἀνοχὴ ὑδάτων ἔσται. μετὰ δὲ τὴν ἐαρινὴν

um vernum, Ver temperatum erit & humidum uſque ad caniculæ exortum. Æſtas æſtuoſa, Autumnus glacioſus, & morboſus, maxime juvenibus. Lippitudines accedent. Campeſtres loci magis montanis fertiles erunt. Vinum injuriam patietur, quapropter oportet vitem ſero vindemiare. Erit autem & fructuum lignoſorum feracitas, avicularum raritas. Navigantibus annus ineptus. In hoc anno illuſtris vir morietur. Cæterum Democritus in hoc anno multam grandinem fore dicit, & nives. Eteſias vero non ſimiliter ſpirare. Orandum vero ne terræ motus ſint, & expeditionis militaris motus. Ubi vero in Geminis in Mercurii domo Jupiter fuerit, totus annus ventum auſtrinum & Africum ſentiet. Hyemis initium quidem erit ventoſum, medium vero temperatum, finis glacioſus ac ventoſus. Ver temperatum, tenues habens aquas; frumentum erit multum. Æſtas temperata, propterea quod Eteſiæ venti ad multum tempus vehementes ſpirant. Fructus in area vitiabuntur, præſertim in Syria. Morbi circa autumnum oborientur, in juvenibus maxime, ac iis qui mediæ ætatis ſunt, & mulieribus. Erunt & lippitudines autumno æſtuoſo exiſtente. Morientur etiam mulieres. Fructuum lignoſorum ubertas erit. Aquæ fontium deficient. Præſtat autem fructus reponere, ob futuram ſequentis anni ſterilitatem. Democritus grandinis noxam futuram ait, Supplicandum morbi ne peſtilentes ſint. At ſi in domo Lunæ in Cancro Jupiter fuerit, hyems ut plurimum ab orientis partibus frigida erit & caliginoſa, & magnos habens fluvios. Circa ſolſtitium hybernum

(1) *Interp. videtur legiſſe* διαφθίσονται, *vert.* vitiabuntur. *MSS. ut in textu.* Διαψεύδομαι *active ſumend.* decipio. (2) *Ita Interp. & Codd. MSS.*

aqua-

aquarum remiſſio erit. Poſt æquinoctium vernum aſſiduæ grandines erunt. Aſperi loci magis fructum ferent. Annus autem ſalubris erit excepto autumno. Democritus in autumno puſtulas fervidas circa os erumpere dicit; Quare in vere olera comedere oportet, alvumque ſolvere, præſertim juvenes, & mero uti. Olea ferax erit. Exiſtente porro Jove in Leone domo Solis, hyemis principium frigidum erit & aquoſum cum magnis ventis, ut & arbores concidant: Medium autem temperatum, finis frigidus. Ver pluvioſum, æſtas veri ſimilis eſt: Deficient in ipſa aquæ fontibus, deficient item paſcua brutis. Autumnus æſtuoſus & morboſus ex diſtillatione & tuſſi. Quare modico pane utendum eſt, & vino pluri. Frumentum moderatum erit. Vitis & olea fertiles erunt. Accommodatus annus eſt ad inoculationem, non item ad plantationem. Magnorum manſuetorum animalium interitus erit, ferorum autem ingens ubertas. Vir inſignis morietur. Supplicare oportet ne terræ motus ſint. Tenente deinceps Jove Virginis ſignum & domum Mercurii, Hyems incipiens frigida erit; Media temperata; ſub finem hybernalis: glaciem habens multam, & imbres, & fluvios magnos, ut etiam multi loci undis ſubmergantur. Ver pluvioſum, & arboribus noxium. Deſinente vere grandines in quibuſdam locis erunt. Æſtas pluvioſa & caliginoſa. Et oportet collectionem fructuum Cerealium cito fieri, ne ab imbribus corrumpantur. Autumnus ventoſus & ſaluber. Vitis fertilis erit. Aptus annus ad vitium plantationem. Frumentum facile corrumpetur. Salubris totus erit annus, nulli morbo obnoxius. Supplicandum autem eſt pro

ἰσημερίαν, συνεχεῖς ἔσονται χάλαζαι. οἱ δὲ τραχεῖς τόποι μᾶλλον οἴσουσι καρπόν. ὁ δὲ ἐνιαυτὸς ἔσται ὑγιεινὸς, πλὴν τοῦ φθινοπώρου. Δημόκριτος δέ φησιν ἐν τῷ φθινοπώρῳ, ἐκζέματα γίνεσθαι περὶ τὰ στόματα, διὸ χρὴ πρὸς τὸ ἔαρ λαχάνων ἅπτεσθαι, κοιλίαν τε λύειν, καὶ μάλιστα τοὺς νέους, ἀκράτῳ δὲ χρῆσθαι. ἡ δὲ ἐλαία εὐφορήσει. Γενομένου δὲ τοῦ Διὸς ἐν Λέοντι τῷ οἴκῳ τοῦ Ἡλίου, ὁ χειμὼν ἔσται ἀρχόμενος μὲν ψυχρὸς καὶ ὑδατώδης, μετὰ μεγάλων πνευμάτων, ὡς καὶ δένδρα καταπεσεῖν· μεσάζων δὲ εὔκρατος, καὶ λήγων κατάψυχρος. τὸ ἔαρ ὑπόμβρον, τὸ θέρος ἔαρι ὅμοιον· καὶ λείψουσιν ἐν αὐτῷ αἱ πηγαὶ τῶν ὑδάτων, λείψει δὲ καὶ βοσκὴ τοῖς ἀλόγοις. τὸ φθινόπωρον καυματῶδες καὶ ἐπίνοσον, ἀπὸ κατάρρου καὶ βηχός. διὸ χρὴ ἄρτῳ ὀλίγῳ χρῆσθαι, οἴνῳ δὲ πλείονι. ὁ σῖτος ἔσται σύμμετρος. ἡ ἄμπελος καὶ ἡ ἐλαία εὐφορήσει. εὔθετον τὸ ἔτος πρὸς ἐνοφθαλμισμὸν, οὐ μὴν πρὸς φυτείαν. τῶν μεγάλων βοσκημάτων ἔσται φθορὰ, τῶν δὲ ἀγρίων πολυπλήθεια. ἀνὴρ ἐπίσημος τελευτήσει. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ γίνωνται σεισμοὶ καὶ πόλεμοι. Γενομένου δὲ τοῦ Διὸς ἐν Παρθένῳ, οἴκῳ τοῦ Ἑρμοῦ, ὁ χειμὼν ἀρχόμενος μὲν ἔσται ψυχρὸς, εὔκρατος δὲ μεσάζων, καὶ λήγων χειμεριώδης, πάγους ἔχων πολλοὺς, καὶ ὄμβρους, καὶ ποταμοὺς μεγάλους, ὡς πολλοὺς θαλασσωθῆναι τόπους. τὸ ἔαρ κάτομβρον καὶ τοῖς δένδρεσι χαλεπόν. λήγοντος δὲ τοῦ ἔαρος, χάλαζαι κατὰ τόπους ἔσονται. τὸ θέρος ἐπόμβρον, καὶ γνοφῶδες. καὶ χρὴ τὴν συγκομιδὴν τῶν σιτικῶν καρπῶν συντόμως γενέσθαι, ἵνα μὴ ἀπὸ ὄμβρων φθαρῶσι. τὸ φθινόπωρον ἀνεμῶδες καὶ ὑγιεινόν. ἡ ἄμπελος εὐφορήσει. ἐπιτήδειον τὸ ἔτος πρὸς ἀμπέλων φυτείαν. ὁ σῖτος εὔφθαρτος ἔσται. ὑγιεινὸν ὅλον τὸ ἔτος, μηδεμίαν ἔχον νόσον. εὔχεσθαι δὲ δεῖ περὶ τῶν καρπῶν. Ἐν δὲ τῷ οἴκῳ τῆς Ἀφροδίτης τῷ Ζυγῷ γενομένου τοῦ Διὸς, ὁ χειμὼν ἀρχόμενος

μῶνος μὲν ἔσαι ὑδατώδης, εὔκρατος (3) μεσάζων καὶ ἀνεμώδης, λήγων δὲ κάθυγρος καὶ παχνώδης. τὸ ἔαρ εὔκρατον, ἔχον ἀσθενήματα ἀπὸ κεφαλῆς. τοῦ δὲ θέρους ἡ ἀρχὴ ἔσαι ὁμοία. ταῖς ἐγκύοις γυναιξὶν (4) ἐπικίνδυνον ἔσαι τὸ ἔτος. Δημόκριτος δέ φησιν, ἐν τούτῳ τῷ ἔτει μήτε ποταμοὺς ἔσεσθαι μεγάλους, μήτε χάλαζαν πολλήν· τὸ δὲ φθινόπωρον ἔνυδρον εἶναι. Ὅτε δὲ ἐν οἴκῳ Ἄρεως τῷ Σκορπίῳ γένηται ὁ Ζεὺς, ὁ χειμὼν ἀρχόμενος ἔσαι μετὰ χαλάζης ψυχρὸς, καὶ μεσάζων δὲ θερμὸς, λήγων δὲ πραΰς. τὸ ἔαρ ἔσαι χειμερινὸν, ἕως τροπῶν θερινῶν, ὄμβρων καὶ βροντῶν γινομένων, λείψουσιν αἱ πηγαὶ τῶν ὑδάτων, σῖτος μέσος, ἡ ἄμπελος καὶ ἡ ἐλαία εὐφορήσει, τῶν βοῶν ἔσαι φθορά. Δημόκριτος δέ φησι, ποταμοὺς μεγάλους ἔσεσθαι, καὶ νόσους περὶ τὸ φθινόπωρον. διὸ εὔχεσθαι δεῖ, ἵνα μὴ λοιμικὰ γένηται πάθη. χρὴ, φησὶ, βρώμασι μὲν ὀλίγοις, ποτῷ δὲ πλείονι χρῆσθαι. Ὅταν ἐν τῷ ἰδίῳ οἴκῳ ὁ Ζεὺς γένηται τῷ Τοξότῃ, ἕξει χειμῶνα εὔκρατον καὶ ἔνυδρον, οὔτε θερμὸν, οὔτε ψυχρόν. οἱ ποταμοὶ μεγάλοι ἔσονται. παυομένου δὲ τοῦ χειμῶνος, ψύχη καὶ ἄνεμοι ἔσονται. τὸ ἔαρ νότιον καὶ ἔπομβρον. τὸ δὲ θέρος εὔκρατον, καὶ μᾶλλον χειμερινόν. δεῖ δὲ ἀσφαλίζεσθαι τὰς ἅλωνας διὰ τοὺς ὄμβρους. τὸ φθινόπωρον ἀσφαλὲς, διὰ τὸ τοὺς Ἐτησίας πνέειν. οἱ πρώϊμοι καρποὶ καὶ οἱ ὄψιμοι ἔσονται καλοὶ, οἱ δὲ μέσοι φαῦλοι, εὐφορήσει σῖτον καὶ τὰ πεδινὰ, καὶ τὰ τραχέα. ὁ οἶνος ἔσαι παράμονος ὀψιαίτερον τρυγώμενος. εὐφορήσει πάντα τὰ δένδρα. ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν, καὶ πρὸς τὰ ἄλλα πάντα. τῶν μεγάλων ζώων πολυπλήθεια, κυνῶν δὲ φθορὰ ἔσαι. καὶ θάλασσα χειμέριος, καὶ ἄνεμοι μεγάλοι ὄψιμοι. ἀνὴρ δὲ περίβλεπτος τελευτήσει. Ἐὰν ὁ Ζεὺς ἐν Αἰγοκέρωτι ἐν τῷ οἴκῳ (5) τοῦ Κρόνου γένηται, ὁ χει-

fructibus. In domo deinde Veneris Libra ubi Jupiter ſteterit, principium hyemis aquoſum erit. Medium temperatum & ventoſum, finis humidus & pruinoſus. Ver temperatum, habens infirmitates ex capite. Æſtatis principium veri ſimile erit. Prægnantibus mulieribus periculoſus erit annus. Democritus ait in hoc anno nunquam magnos fluvios futuros, neque grandinem multam. Autumnum vero eſſe aquoſum. Quum in domo Martis Scorpio Jupiter fuerit, hyems incipiens frigida erit cum grandine, media calida, ſub finem vero lenis. Ver erit hyemale, uſque ad ſolſtitium æſtivum. Imbres & tonitrua erunt. Aquæ fontium deficient; frumentum moderatum erit. Vitis & olea fertiles erunt. Boum lues erit. Democritus fluvios magnos futuros ait, & morbos circa autumnum. Quare ſupplicare oportet, ne peſtilentes morbi ſint. Oportet, inquit, cibo quidem pauco, potu vero uberiore uti. Quando in propria domo in Sagittario Jupiter fuerit, hyemem habebit temperatam & aquoſam, neque calidam neque frigidam. Fluvii magni erunt, deſinente autem hyeme, frigora & venti erunt. Ver uvidum & pluvioſum. Æſtas temperata & magis hybernalis, Oportet autem munire areas propter imbres. Autumnus ſecurus propter Eteſiarum flatum. Et præcoces & ſerotini fructus boni erunt, medii vero vitioſi, frumentum & in campeſtribus, & in aſperis locis abunde proveniet. Vinum durabile erit quod ſerius vindemiatur. Omnes arbores fertiles erunt. Annus aptus ad plantationem, & ad alia omnia. Magno-

(3) *Suppl. ex Caſaub. & Interp.* (4) *Ita Codd. MSS. ante* ἐπιτήδειον.
(5) *Ita rectius: Cum ſingula ſigna ſuum habeant Numen. Hanc lect. adſtruunt Interpp.* Lat. & Ital. *in* Barocc. *recentiori manu notatum*, Τοῦ Κρόνου. *Antea* Κριοῦ.

rum

rum animalium ingens multitudo, canum vero lues erit. Mare procelloſum, & venti magni ſerotini. Vir illuſtris morietur. Si Jupiter in Capricorno in domo Saturni fuerit, hyemis initium temperatum erit, medium humidum & frigidum, finis ventoſus. Aquæ vero ſationi, & aliis operibus nocivæ erunt. Capient autem magna incrementa, & aquæ, & frigora, & nives. Æſtas ante caniculæ exortum ſolita & vulgaris, poſtea vero æſtuoſa & morboſa. Spirabunt Eteſiæ vehementer, & terra movebitur. Campeſtria magis fructum ferent. Vinum pruina peribit. Lignoſi fructus abundabunt, parvis animalibus annus accommodatus eſt, magnis vero nocuus, & præſertim bubus. In autumno morbi ſurgent ex capitis dolore, & lippitudinibus, & pruritu. Supplicandum eſt ne fructus glacie & ventis lædantur. Quando Jupiter in Aquario fuerit in domo Saturni, venti erunt multi commodi frumentaceo fructui, & maxime lignoſo; hyemis initium quidem frigidum, finis vero ventoſus. Ver aquoſum, & magis hybernum ac pruinoſum. Æſtas ventoſa, ob Eteſiarum ventorum vehementiam. Erunt & pluviæ in æſtate, ut etiam Cereales fructus inundationem ſenſuri ſint ex parte. Autumno venti orientur aquoſi & fructibus nocivi. Erunt & morbi acuti, ex humida cauſa, juvenibus & iis qui mediæ ætatis ſunt. Erit etiam pruina & uvas in multis locis lædet. Sata vero erunt optima tum præcocia, tum ſerotina. Volucres peribunt, & feræ ſylveſtres. Erunt & naufragia multa, & vir inſignis morietur. Supplicatione avertendi ſunt morbi peſtilentes, & terræ motus, &

μὼν ἀρχόμενος μὲν εὔκρατος ἔσται, μεσάζων δὲ κάθυγρος καὶ κατάψυχρος, λήγων δὲ ἀνεμώδης. τὰ δὲ γινόμενα ὕδατα, ἔσται καὶ τῷ σπόρῳ καὶ τοῖς ἄλλοις ἔργοις βλαβερά. ἀθρόοι δὲ ἔσονται ἐπιδόσεις (6) ὕδασί τε καὶ ψύξεσι καὶ χιόσι. τὸ θέρος πρὸ μὲν ἀνατολῆς τοῦ κυνὸς φαῦλον, μετὰ δὲ ταῦτα καυσῶδες καὶ ἐπίνοσον. πνεύσουσι δὲ καὶ Ἐτησίαι λαμπρῶς, (7) γίνονται καὶ σεισμοί. τὰ δὲ πεδινὰ μᾶλλον οἴσει καρπόν. ὁ οἶνος φθινύσει ὑπὸ πάχνης· τῶν ξυλικῶν καρπῶν εὐθηνία. τοῖς μικροῖς ζώοις εὔθετον τὸ ἔτος, τοῖς δὲ μεγάλοις ἀσύμφορον, μάλιστα δὲ βουσί. τῷ δὲ φθινοπώρῳ ἔσται νοσήματα ἀπὸ κεφαλαλγίας καὶ ὀφθαλμίας καὶ κνησμονῆς. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ ὑπὸ πάγων καὶ ἀνέμων (8) οἱ καρποὶ βλαβῶσιν. Ἡνίκα ὁ Ζεὺς ἐν τῷ Ὑδροχόῳ γένηται τῷ οἴκῳ τοῦ Κρόνου, ἄνεμοι ἔσονται πολλοὶ σύμφοροι τῷ σιτικῷ καρπῷ, καὶ μάλιστα τῷ ξυλικῷ. ἔσται δὲ ὁ χειμὼν ἀρχόμενος μὲν κατάψυχρος, λήγων δὲ ἀνεμώδης. τὸ ἔαρ ἔνυδρον, καὶ μᾶλλον χειμερινὸν καὶ παχνῶδες. τὸ δὲ θέρος εὔπνουν, διὰ τὸ σφοδρὸν τῶν Ἐτησίων ἀνέμων. ἔσονται δὲ καὶ ὄμβροι ἐν τῷ θέρει, ὥστε καὶ ἐπικλυσθῆναι τὸν Δημητριακὸν (9) καρπὸν ἐκ μέρους. τῷ φθινοπώρῳ γίνεται πνεύματα ὑδατώδη, καὶ τοῖς καρποῖς βλαβερά. ἔσονται δὲ καὶ πάθη ὀξέα ἐξ ὑγρᾶς αἰτίας τοῖς νέοις, καὶ τοῖς μεσήλιξιν. ἔσται δὲ πάχνη, καὶ βλάψει τὰς σταφυλὰς ἐν πολλοῖς τόποις. τὰ δὲ σπέρματα ἔσται κάλλιστα, καὶ τὰ πρώϊμα καὶ τὰ ὄψιμα. ἔσται δὲ ὀρνέων φθορά, καὶ θηρίων ἀγρίων. ἔσται καὶ ναυάγια πλεῖστα. ἀνὴρ δὲ πάνυ ἐπίσημος τελευτήσει. εὔχεσθαι δὲ δεῖ, ἵνα μὴ γένηται λοιμικὰ πάθη, καὶ σεισμοὶ καὶ κεραυνοί. Τοῦ Διὸς ἐν τοῖς Ἰχθύσιν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ γινομένου, ὁ χειμὼν ἄρχεται μὲν

(6) *Ex MSS.* (7) *Potius* γενήσονται. (8) *Ita* F. Long. & Bod.
(9) *Ex MSS.* F. Long. & Bod.

ὑδατώδης, μεσάζων δὲ ἀνεμώδης, καὶ λήγων χαλαζώδης καὶ χιονώδης. ἐν τῷ ἔαρι πνέουσιν ἄνεμοι Ζέφυροι λαμπροί. τὸ δὲ θέρος ἔσται καυματῶδες, τὸ φθινόπωρον πυρῶδες, μάλιστα γυναιξὶ καὶ παρθένοις. ἐπιπνέουσι δὲ καὶ πνεύματα μοχθηρὰ, ὥστε τὸν ξυλικὸν καρπὸν ἐπικαυθῆναι. οἱ σπόροι ἔσονται καλοί. τὰς ἅλωνας ἀσφαλίζεσθαι χρὴ διὰ τοὺς ὄμβρους· ταῖς ἐγκύοις γυναιξὶν ἐπικίνδυνον τὸ ἔτος. Δημόκριτος δέ φησι, τὴν ἄμπελον καὶ τὴν ἐλαίαν εὐφορήσειν. εὔχεσθαι δὲ δεῖ, μὴ γίνεσθαι σεισμούς.

fulmina. Jove in Piſcibus in propria domo exiſtente, hyems orditur quidem pluvioſa, medium habet ventoſum, finem vero grandinoſum ac nivoſum. In vere ſpirant venti Favonii vehementes. Æſtas erit æſtuoſa, Autumnus ardens, præſertim mulierculis ac virginibus. Spirant autem & venti nocivi qui lignoſum fructum exurunt. Sationes erunt bonæ. Verum areas munire oportet propter imbres; prægnantibus mulieribus annus periculoſus. Democritus ait & vitem & oleam fertilem futuram. Supplicandum autem ne terra moveatur.

ΚΕΦ. ΙΓ.

Περὶ Ἡλίου καὶ Σελήνης. Πτολεμαίου.

Ὁ Ἥλιος τῇ ξηρότητι τοῦ οἰκείου πυρὸς, ἀνιμᾶται τὴν ὑγρὰν οὐσίαν. ἡ δὲ σελήνη δι᾽ ἑαυτῆς καθυγραίνουσα, κατάλληλον μίξιν καὶ κρᾶσιν ἐργάζεται. Σωτίων δὲ ἀσελήνους ἡμέρας καλεῖ, τὰς ἀπὸ κθ᾽ σελήνης, ἕως β᾽. ἐν αἷς ὑπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου ἡ σελήνη κρύπτεται, καὶ οὐ φαίνεται τοῖς ἀνθρώποις.

CAP. XIII.

De Sole & Luna. Ptolemæi.

SOL proprii ignis ſiccitate humidam ſubſtantiam exhaurit. Luna vero per ſeipſam humectans, convenientem mixturam & temperaturam efficit. Sotion illunes appellat dies, a lunæ vigeſima nona die uſque ad ſecundam, in quibus ſub radios ſolis luna occultatur, & hominibus non apparet.

CAP.

CAP. XIV.

De Grandine.

* * * *

* * *

* *

Aiunt quidam quod ſi quis ſpeculum incumbenti nubi oſtendat, grandinem præterituram. Et rurſus ſi hyænæ, aut crocodili, aut phocæ pellem agro circumducas, eandemque præ foribus domus ſuſpendas, grando non cadet. Si vero & claves multas diverſarum ædium circa agrum funiculis illigaveris, grando præteribit. Et ſi in domibus tauros ſtatuas ligneos, valde juvabis. Et teſtudinem paluſtrem ſi in dexteram manum poſueris ſupinam, modica terra circum eam aggeſta, ut nequeat ſeipſam vertere ac abire; (quod facere non poterit, ſi terra ſub pedibus ipſius con-

ΚΕΦ. ΙΔ.

Περὶ Χαλάζης.

Εὑρὼν λίθον χαλαζίτην, ἔχε. καὶ ὅταν ἴδῃς τὴν χάλαζαν, κρύψον αὐτὸν μετὰ σιδήρου ἀπέναντι, καὶ ἀποστραφήσεται. καὶ ἀετοῦ πτερὸν τὸ δεξιὸν λαβὼν, μέσον τοῦ χωρίου χῶσον, καὶ οὔτε ἡ ἄμπελος, οὔτε τὰ σπέρματα ὑπὸ χαλάζης ἀδικηθήσεται. καὶ, ἀπὸ δέρματος φώκης, ἱμάντος ἀπαρτηθέντος ἐκ μιᾶς τῆς περιφανοῦς ἀμπέλου, οὐ γίνεται βλάβη ἀπὸ χαλάζης, ὡς ἱστορεῖ Φιλόστρατος ἐν τῷ Ἱστορικῷ.

(1) Φασὶ δέ τινες, ὅτι κάτοπτρον ἐὰν ἐπιδείξῃς τῷ ἐπικειμένῳ νέφει, παρελεύσεται ἡ χάλαζα. (a) πάλιν ἐὰν τῷ χωρίῳ περιαγάγῃς ὑαίνης ἢ κροκοδείλου ἢ φώκης δέρμα, καὶ τοῦτο πρὸ τῶν πυλῶν τῆς οἰκήσεως ἀναρτήσῃς, οὐ πεσεῖται χάλαζα. εἰ δὲ καὶ κλειδία πολλὰ διαφόρων οἰκημάτων κύκλῳ τοῦ χωρίου ἐν σχοινίοις ἀπαρτήσεις, παρελεύσεται ἡ χάλαζα. κἂν ταύρους ἀναστήσῃς ἐπὶ τῶν δωμάτων ξυλίνους, ὠφελήσεις σφόδρα. (b) καὶ χελώνην δὲ τὴν ἐν τοῖς ἕλεσιν εὑρισκομένην, ἐὰν εἰς τὴν δεξιὰν χεῖρα θῇς ὑπτίαν, ὀλίγην γῆν περιαμησάμενος αὐτῆς, ὅπως μὴ δυνηθῇ στρέψασα ἑαυτὴν ἀποπορευθῆναι· (οὐ δυνήσεται δὲ, τῆς ὑπὸ τοὺς πόδας γῆς κοιλοτέρας γινομένης, οὐκ ἔχουσα γὰρ ἀντίληψιν, μένει

(1) *Interp.* V. & Bar. *non agnoſcunt initium Cap. ad* Φασὶ δέ τινες … *quam lacunam hoc modo ſupplent* F. Long. & Bod. Γυνὴ ἔμμηνος δειξάτω τὰ αἰδοῖα αὐτῆς χαλάζῃ, καὶ ἀποστρέφει· ὁμοίως δὲ τὴν τοιαύτην θέαν καὶ πᾶν θηρίον φεύγει. καὶ παρθένου ῥάκος τὸ πρῶτον λαβὼν, ἀνὰ μέσον τοῦ χωρίου χῶσον, &c. *Ideo in verſ. omitt.*

(a) Πάλιν ἐὰν] Palladius *Lib.* 1. *Tit.* 35. " *Grandini* (inquit) *creditur obviare, ſiquis Crocodili pellem vel Hyænæ vel marini Vituli per ſpatia poſſeſſionis circumferat, & in villæ aut cortis ſuſpendat ingreſſu, cum malum viderit imminere.*

(b) Καὶ χελώνην] Idem *loco cit.* " *Item ſi paluſtrem teſtudinem dextra manu ſupinam ferens, vineas perambulet, reverſus eodem modo ſic illam ponat in terra, & glebas dorſi ejus objiciat curvatura, ne poſſit inverti, ſed ſupina permaneat. Hoc facto fertur ſpatium ſic defenſum nubes inimica tranſcurrere.*

ἐν τῷ τόπῳ) καὶ εἰς ἄρουραν δὲ καὶ πάντα τόπον οὐκ ἂν πέσοι χάλαζα, τούτου γενομένου. εἰσὶ δέ τινες καὶ οἱ φάσκοντες, ἕκτῃ ὥρᾳ ἡμέρας ἢ νυκτὸς δεῖν γίνεσθαι τὴν περικομιδὴν καὶ κατάθεσιν τῆς χελώνης. Ἀπουλήϊος δὲ ὁ Ῥωμαϊκός φησι, σταφυλὴν πίνακι ζωγραφήσαντα, καθιεροῦν ἐν τῷ ἀμπελῶνι δυνούσης τῆς λύρας, καὶ ἀβλαβῆ διαμένειν τὸν καρπόν. ἄρχεται δὲ δύνειν ἡ λύρα τῇ (2) πρὸ δέκα καλανδῶν Δεκεμβρίων. τελείως δὲ δύνει τῇ πρώτῃ νοννῶν Φεβρουαρίων. * (c) Ταῦτα μὲν εἴρηται τοῖς ἀρχαίοις. Ἐγὼ δὲ ἔνια τῶν εἰρημένων, ἀπρεπῆ λίαν ἡγοῦμαι καὶ φευκτά, καὶ πᾶσι παραινῶ μηδ᾽ ὅλως τούτοις προσέχειν τὸν νοῦν. τούτου γὰρ χάριν αὐτὰ συνέγραψα, ἵνα μὴ δόξω τι παραλιμπάνειν τῶν τοῖς ἀρχαίοις εἰρημένων. * Καὶ ἵππου ποταμίου τῆς δορᾶς ἀποτμήματα, καθ᾽ ἑκάστου τῶν τερμόνων τεθέντα, τὴν τῆς χαλάζης ἵστησιν ἀπειλήν.

cavior fuerit facta, quum enim non reperiat quod inſtar ſuſtentaculi apprehendere queat, manet in loco,) quo facto neque in arvum, neque in ullum aliquem locum grando cadet. Sunt autem qui tradant, hora ſexta diei aut noctis circumgeſtationem teſtudinis & depoſitionem fieri oportere. Apuleius Romanus ait, Uvam in tabella depictam in vinea conſecrandam eſſe occidente Lyra, & fructum manere illæſum. Incipit autem occidere Lyra ad decimum Calendas Decembres. Perfecte quidem occidit prima nonarum Februarii. * Atque hæc quidem a veteribus tradita ſunt. Ego vero quædam ex relatis valde indecora eſſe opinor & vitanda, omneſque moneo talibus nequaquam animum advertere. Verum hæc ideo adſcripſi, ne videar quid omittere eorum quæ veteres prodiderunt. * Quin & equi fluviatilis pellis ſegmenta ad ſingulos terminos poſita, grandinis minas cohibent ac ſiſtunt.

(2) *MSS. Codd.* τῇ πρὸ δεκάτῃ.

(c) Ταῦτα μὲν εἴρηται τοῖς Ἀρχαίοις. Ἐγὼ δὲ---] Caſſianus *lectores monet ne ſe abſurdæ ſuperſtitionis poſtulent, quod tot portenta & ridicula Libro ſuo infercianitur; diligentiæ enim, non credulitatis, indicia eſſe, nequid a Vett. proditum omiſiſſe videatur. Codex optimus* Baroccianus, *hujuſmodi nugas & deliramenta magica* Geopp. *hinc inde interſperſa, non agnoſcit.*

ΚΕΦ. ΙΕ.
Ἄλλο περὶ Χαλάζης.

Λείπει.

* * *

(1) *Hac Lacuna ſuppletur quidem a MSS.* F. Long. & Bod. *ſed verbis tantum depravatis, ut ne minimum ſenſus elici queat.* Ἄλλο περὶ χαλάζης. Ἀφρικανοῦ. Ξύλα δαφνήσας παρθένου κνήμας ἀλλιόενζαν. Τῆς δὲ (*ut Long.*) *vel*——εἰς ἔγγιστον κλῆμα χρὴ εἶναί τε καὶ χῶσαι. Λείπει *in* Barocc.

ΚΕΦ. Ιϛ.
Περὶ Κεραυνοῦ.

Ἱπποποτάμου δέρμα κατόρυξον ἐντὸς τοῦ χωρίου, καὶ οὐ πεσεῖται κεραυνὸς ἐκεῖσε.

CAP. XVI.
De Fulmine.

Hippopotami pellem intra agrum defodito, & eo loco fulmen non cadet.

ARGUMENTUM Lib. II.

HÆC inſunt in hoc libro ſecundo, ſelectarum de agricultura præceptionum. Quæ agris conferunt, de diverſis fructibus, frumento videlicet & hordeo, & reliquis ſarmentoſis appellatis fœtibus, in ſingulis capitibus ſubſcriptis. Convenit autem primum id quod generalius eſt reliquis præponere.

(1) *Supplevi ex MSS.*

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Β'.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, δευτέρᾳ μὲν οὔσῃ τῶν περὶ γεωργίας ἐκλογῶν. περιέχουσι δὲ, ὁπόσα τοῖς ἀγροῖς συμβάλλεται, καὶ περὶ διαφόρων γεννημάτων, (1) σίτου φημὶ, καὶ κριθῶν, καὶ τῶν λοιπῶν φρυγανωδῶν λεγομένων καρπῶν, κατὰ τὰ ὑποτεταγμένα κεφάλαια. Δεῖ τοίνυν ὃ πρῶτόν ἐστι κεφαλαιωδέστερον, τοῦτο προτάξαι.

CAP. I.

Quod plurimum conferat agro domini præſentia.

AGrum multo præſtantiorem facit aſſidua domini præſentia omnes enim ad operum curam impellit, & de deficientibus ſubmonens ea ſuppleri facit: & alios in opere alacres collaudando, alios ſegnes objurgando, ad unum ſcopum diligentiæ & ſedulitatis omnes reſpicere cogit.

ΚΕΦ. Α.

Ὅτι πολὺ τῷ ἀγρῷ ὠφέλιμος ἡ τοῦ δεσπότου παρουσία.

ΠΟΛΛΩ τὸν ἀγρὸν ἀμείνω ποιεῖ δεσπότου συνεχὴς παρουσία. πάντας γὰρ ἐπὶ τὴν τῶν ἔργων προτρέπεται ἐπιμέλειαν, καὶ τὰ ἐλλιπῆ ὑπομιμνήσκων, πληροῦσθαι ποιεῖ. καὶ τοὺς μὲν ἐπὶ ἔργον προθύμους ἐπαινῶν, τοὺς δὲ ῥαθυμοῦντας αἰτιώμενος, ἕνα σκοπὸν πᾶσι σπουδῆς τε καὶ φιλοκαλίας ἀπεργάζεται.

CAP. II.

Quod pueri maxime agriculturæ apti ſunt, & quod ad operum qualitatem operantium corpora eligere convenit, & unicuique operi convenientem adhibere. Varronis.

UNaquæque ætas ſuam habet ad agriculturam aptitudinem; præcipue vero pueri conveniunt per ætatem, enutriti ad opera, & ſubſervientes, & ad ſingula quæ fiunt diligenter animum advertentes: facileque

(1) *Revocavi ex MSS.*

ΚΕΦ. Β.

Ὅτι μάλιστα παῖδες πρὸς τὴν γεωργίαν ἐπιτήδειοι, καὶ ὅτι πρὸς τὴν ποιότητα τῶν ἔργων, τὰ σώματα τῶν ἐργαζομένων ἐπιλέγεσθαι προσήκει, καὶ ἑκάστῳ ἔργῳ τὸν ἁρμόζοντα ἀφορίζειν. (1) Βάρρωνος.

ἝΚάστη μὲν οὖν ἡλικία πρὸς γεωργίαν ἔχει τὴν ἑαυτῆς ἐπιτηδειότητα. ἐξαιρέτως δὲ οἱ παῖδες ἁρμόζουσι τῇ ἡλικίᾳ, ἀνατρεφόμενοι πρὸς ἐργασίαν, καὶ ὑπουργοῦντες, καὶ ἑκάστῳ τῶν γινομένων ἀκριβῶς παρα-

κολουθοῦντες, εὐκόλως τε ἐπικάμπτεσθαι δυνάμενοι πρὸς (2) τὴν ἄγρωστιν ἀνασπᾶν, καὶ τὴν φυλλίδα ἀποτίλλειν, καὶ τὴν φύσιν τῆς γῆς, πείρᾳ τε καὶ ἐργασίᾳ καὶ μελέτῃ παρὰ τῶν πρεσβυτέρων ἐκμανθάνοντες. Τὸν δὲ ἀροτῆρα χρὴ μακρότερον ἔχειν τὸ σῶμα. ὁ γὰρ τοιοῦτος ἰσχυρῶς ἐπικείμενος τῇ ἐχέτλῃ, τὴν ὅλην ὕννιν βαρύνει, ὡς μὴ ἐπιπολῆς εἶναι τὴν αὔλακα, καὶ καταφερόμεναι ἀπὸ ὕψους πληγαὶ, μᾶλλον καθάπτονται τῶν βοῶν. Τοὺς δὲ τὰς ἀμπέλους ἐργαζομένους, οὐχ οὕτως ὑψηλοὺς εἶναι χρὴ, τετραγωνιαίους δέ. ὁ γὰρ τοιοῦτος, πρὸς τὴν ἐργασίαν τῆς ἀμπέλου οὐ μακρόθεν καταφερόμενος, ἀλλὰ πρόσγειος ὢν, ἀπονητὶ (3) ἐργάσεται. Τοὺς βουκόλους ἰσχυροὺς καὶ μακροὺς, καὶ τῇ φωνῇ τραχυτέρους ἐπιστήσομεν, ὅπως μὴ μικροὺς ὄντας, καλύπτωσιν οἱ βόες προϊόντες, δύνωνται δὲ ἐφορᾶν τὰ ἔμπροσθεν. καὶ ἵνα τῇ τραχύτητι τῆς φωνῆς καταπλήσσωσι τοὺς βόας. Τοὺς αἰπόλους ἐλαφροὺς εἶναι δεῖ, καὶ ποδώκεις, ἵνα τῇ ὀξύτητι τῶν αἰγῶν παρακολουθῶσιν.

flectere ſe potentes ad gramen evellendum, & folia decerpenda, ac frondes, & naturam terræ, experientia operaque & induſtria ex ſenioribusediſcentes. At vero aratorem longius corpus habere oportet, talis enim ſtivæ fortiter incumbens, totum vomerem degravat ne in ſuperficie ſulcus ducatur: Sed & plagæ ex alto delatæ magis inceſſunt boves. Cæterum vinitores non tam altos eſſe oportet, verum quadratos. Talis enim ad vitis culturam non e longinquo incumbens, ſed terræ propior exiſtens, ſine labore operabitur. Bubulcos fortes & longos & voce aſperiore præditos præficiemus, ne, ſi parvi exiſtant, boves præcedentes eos occultent, poſſintque ea quæ ante boves ſunt contueri; & ut vocis aſperitate boves perterrefaciant. Caprarios leves eſſe oportet & veloces, celeritatem caprarum ut aſſequi poſſint.

(2) *MSS.* Long. *&* Bod. *habent* πρὸς τὸ τὴν. (3) *MSS.* F. Long. *&* Bod. ἐργάζεται. Bar. *ut in textu.*

ΚΕΦ. Γ.

Ἐν ποίοις τόποις, καὶ κλίμασι χρὴ τὰς οἰκήσεις ποιεῖσθαι, καὶ πρὸς ποῖον ἄστρον ἀποβλεπούσας, καὶ περὶ βαλανείων. Διδύμου.

ΟΙ παραθαλάσσιοι τόποι εἰσὶν ὡς ἐπὶ τὸ πολὺ ὑγιεινότεροι, καὶ οἱ ἐν τοῖς ὄρεσι, καὶ οἱ ἐν τοῖς ἀνακεκλιμένοις τόποις πρὸς βορρᾶν νεύοντες. οἱ δὲ πλησίον ἑλῶν καὶ λιμνῶν, ἢ ἐν κοίλοις τόποις, ἢ πρὸς νότον ἄνεμον, ἢ πρὸς δυσμὰς κεκλιμένοι, νοσώδεις. χρὴ (1) γοῦν τὰς οἰκήσεις οἰκοδομεῖσθαι ἐπὶ ὑψηλοτέ-

(1) *MSS. Codd.* οὖν.

CAP. III.

In qualibus locis, & climatibus domos ædificare oportet, & ad quale ſidus ſpectantes, & de balneis. Didymi.

LOci maritimi ut plurimum ſalubriores ſunt, & montani, & acclives, ad boream vergentes. Qui vero prope paludes & ſtagna, aut in locis concavis, aut ad auſtrum ventum, aut ad occidentem inclinati ſunt, morboſi. Oportet igitur domos in altioribus locis ædificare: Ad ſanitatem enim & ſpeculationem, & regi-

onis

onis colluſtrationem, hic locus aptiſſimus exiſtit. Cæterum tota figura domus ad orientem extruenda eſt, itemque fores. Venti enim ex orientis partibus ſpirantes ſaluberrimi ſunt, & ſolis calor citius irrumpens attenuat & diſſipat omnem aeris craſſitiem ac caliginem. Nec vero humiles domos, neque arctas facere oportet, ſed ſpatioſas, & amplas, ac altas. Quidam etiam ad meridiem domos extruere conſulunt, utpote ſolem diutiſſime habentes. Verum ego domum ad orientem ſpectantem præſtantiorem pronuncio, quod auſter a meridie ſpirans, humidus & inæqualis & morboſiſſimus exiſtat. At vero balnea vice verſa facere oportet, non ad boream & ſeptentrionem ſpectantia, ſed ad occaſum hybernum, aut ad meridiem. Sint autem hæc ampla & purum aerem ſuſcipientia. Etenim ſterquiliniis, & cœno fœtentibus locis, in vicinia non exiſtentibus, purus aer ingreditur. Fornaces in his debent eſſe, intro ſpectantes, inclinati, deorſum tendentes, ut conjecta in ipſos ligna intro cedentia, exitum non habeant, verum flamma intus deliteſcens multam caliditatem cellæ ac ſolio præbeat.

ρων τόπων. εἴς τε γὰρ ὑγίειαν καὶ ἄποψιν καὶ κατασκοπὴν τοῦ χωρίου, οὗτος ὁ τόπος ἐπιτηδειότατός ἐστι. τὸ δὲ πᾶν σχῆμα τῆς οἰκίας, πρὸς ἀνατολὰς ποιητέον, καὶ τὰς θύρας. οἱ γὰρ ἀπὸ τῶν ἀνατολῶν ἄνεμοι πνέοντες ὑγιεινότατοι, ἥ τε τοῦ ἡλίου θερμότης τάχιον εἰσβάλλουσα, λεπτύνει καὶ διασκορπίζει τὸ παχὺ καὶ ἀχλυῶδες τοῦ ἀέρος. δεῖ δὲ τὰς οἰκήσεις μὴ ταπεινάς, μηδὲ (2) πνιγηρὰς ποιεῖν, ἀλλ' ἀνειμένας καὶ πλατείας καὶ ὑψηλάς. Τινὲς δὲ καὶ πρὸς μεσημβρίαν συμβουλεύουσι τὰς οἰκήσεις ποιεῖσθαι, ἅτε δὴ τὸν ἥλιον ἐπὶ πλεῖστον ἐχούσας. ἐγὼ δὲ τὴν πρὸς ἀνατολὴν οἴκησιν ἀμείνονά φημι, διὰ τὸ τὸν νότον ἀπὸ μεσημβρίας πνέοντα, ὑγρὸν καὶ ἀνώμαλον καὶ νοσερώτατον εἶναι. Τὰ δὲ βαλανεῖα τοὐναντίον δεῖ ποιεῖν, οὐ πρὸς βορρᾶν καὶ πρὸς ἄρκτον τὴν ἀπόβλεψιν ἔχοντα, ἀλλὰ πρὸς δύσιν χειμερινήν, ἢ πρὸς μεσημβρίαν. ἔστωσαν δὲ ταῦτα (3) εὔρυα, καὶ τὸν ἀέρα καθαρὸν εἰσδεχόμενα. βορβορώδους γὰρ τόπου καὶ δυσώδους μὴ πλησιάζοντος, καθαρὸς ἀὴρ ἐπεισέρχεται. τούτων δὲ τὰ καμίνια ὀφείλουσιν ἐπίπεδα εἶναι, καὶ ἔνδον βλέποντα, κεκλιμένα, κατωφερῆ, ἵνα τὰ βαλλόμενα ἐν αὐτοῖς ξύλα ἔνδον χωροῦντα, μὴ ἔχῃ ἔξοδον, ἀλλ' ἡ φλὸξ ἐνδομυχοῦσα, πολλὴν τὴν θερμασίαν ἐν τῷ σκεύει ποιῆται.

(2) *Ita MSS. ante* στυγηρός. (3) *Interp. legit* εὐρέα, ampla. *MSS.* F. Long. *&* Bod. εὔρροια. Bar. εὔρροα, facilem fluxum habentia.

CAP. IV.

De aquæ inveſtigatione. Paxami.

ΚΕΦ. Δ.

Ὑδροσκοπικόν. Παξάμου.

UBI vitices quæ & amerinæ ab aliquibus dicuntur, aut conyza, aut othles, aut arundines, aut colym-

ΕΝθα πεφύκασι λύγοι αἱ ὑπό τινων λεγόμεναι ἄγνοι, ἢ κόνυζα, ἢ ὄθλεις, ἢ κάλαμοι, ἢ (1) κολύμ-

(1) *MSS.* V. F. Long. *&* Bod. Κολύμφατος. Bar. *ut in textu. Apud* Heſychium. Κολύμφατος. Φλοιός, λεπίδιον. *In Etymol.* Κολυμφᾶν *pro* κολυμβᾶν Dorice *dicitur: a quo deduci videtur* Κολύμφατος.

matus

βάτος καθ' ἑαυτὴν, ἢ ὁ καλούμενος τρίφυλλος, ἢ ποταμογείτων, ἢ ἔνθα σχοῖνος καθ' ἑαυτὴν φαίνεται, ἐκεῖσε ὄρυσσε. εὐχερεστέρα δὲ δοκιμασία, εἰ εὑρίσκεται ὕδωρ, γίνεται οὕτως. Ἐν ᾧ ἂν βούληταί τις τόπῳ, ὀρυξάτω βόθρον βάθος πηχῶν τριῶν, καὶ ποιησάτω ἀγγεῖον μολιβδοῦν, ὡς ἡμισφαίριον, ἢ (2) κύθραν· καὶ δύνοντος ἡλίου, ἐλαίῳ διαχρισάτω ἓν τῶν εἰρημένων. καὶ λαβὼν ἔριον πεπλυμένον, ξηρὸν, καθαρὸν, ὡς παλαιστιαῖον, δησάτω κατὰ μέσον τοῦ ἐρίου μικρὸν λιθάριον, καὶ προσκολλησάτω ἔσω τοῦ ἀγγείου τὸ ἔριον κηρῷ, ὥστε μὴ ἐκπεσεῖν· εἶτα καταστρεψάτω τὸ ἀγγεῖον κατὰ τοῦ βόθρου, προορώμενος, ὥστε, ἐπειδὰν (3) κατανεύσῃ τὸ ἀγγεῖον, ἐγκρεμασθῆναι τὸ ἔριον μέχρι ἡμίσεως τοῦ ἀγγείου, καὶ περισκεπασάτω ὅλον τὸ ἀγγεῖον ἐπὶ πηχυαῖον ὕψος, καὶ ἐασάτω τὴν νύκτα. ὑπὸ δὲ τὸν ὄρθρον πρὶν τὸν ἥλιον ἀνασχεῖν, ἀφελὼν τὰ ἐπιτεθειμένα, μεταστρεψάτω τὸ ἀγγεῖον, καὶ ἐὰν ὁ τόπος ὕδωρ ἔχῃ, εὑρήσει καὶ ἐν τῷ ἀγγείῳ πομφόλυγας, καὶ τὸ ἔριον πεπληρωμένον ὕδατος. καὶ εἰ μὲν πολλή ἐστιν ἡ νοτὶς, ὥστε καὶ δάκρυον φέρειν, ἐγγύς ἐστι τὸ ὕδωρ. εἰ δὲ νοτὶς ἁπλῶς φανῇ, ἔστι μὲν ὕδωρ, ἀλλὰ βαθύ. ἐὰν δὲ μηδὲν τούτων φανῇ σημεῖον, χρὴ τὸ αὐτὸ ποιεῖν ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ τόπῳ, ἐπινοοῦντα καὶ αὐτὸν, ὡς ἄνθρωπον, τοὺς ἐλπίδας ἔχοντας ὕδατος τόπους.

batus per ſe, aut trifolium, aut potamogeiton naſcuntur, aut ubi juncus per ſe apparet, illic fodito. At vero facilius experimentum ad inveniendam aquam hoc modo fit. In quocunque loco quis velit, foveam altitudine trium cubitorum faciat, paretque vaſculum plumbeum ad ſimilitudinem ſemiſphæræ, aut ollam; & occidente ſole unum ex prædictis oleo perlinat, & accepta lana lota, ſicca, pura, longa palmum, circa medium ejus lapillum parvum illiget, atque ipſam lanam intra vaſculum cera agglutinet, ne elabatur; deinde vas in foveam invertat, animadverſione habita, ut, poſtquam inverſum fuerit vaſculum, lana in ipſo uſque ad medium dependeat, quo facto totum vaſculum ad cubiti altitudinem cooperiat & obruat, & per noctem ſinat. Sub diluculum autem ante ſolis ortum, ablatis ſuperinjectis, vaſculum convertat, & ſiquidem locus aquam habet, inveniet tum in vaſculo bullas, tum lanam aqua plenam. Quod ſi multus eſt humor ut & lachrymæ diſtillent, prope aquam ſperato. Si autem humor ſimpliciter apparuerit, adeſt quidem aqua, ſed in alto latet. Si vero nullum horum ſignorum apparuerit, idem periculum in alio atque alio loco facere oportet, obſervatione, ut hominem decet, facta, ne deſperati loci tententur.

(2) *Apud recentiores Graculos* κύθρα *pro* χύτρα. *Vide* Du Freſne *in* Gloſſ. (3) *Ita legend. ex MSS.* Bar. & Palat. 2do; *ſuffragante* Caſaub. *MSS.* V. & F. καταπνεύσῃ. Bod. & Long. καταπέσῃ.

C A P.

CAP. V.

Alia ratio inveſtigandæ aquæ.

MOntes alti & plures vertices habentes, aquoſi ſunt, & maxime ad boream & ſeptentrionem ſitæ montium partes. Terra etiam nigra & pinguis aut etiam petroſa, maxime ſi petras nigras habuerit & ignei ruboris, aquoſa fuerit. In campis vero ubi terra eſt argilloſa, ſcrupos & pumices habens, & faciem ſiccam & nudam, aqua caret. Similiter & terra figulina, & quæcunque repudiat ac repellit imbres & tempeſtates. Quæcunque vero retinet pluvias, & abſorbet, ſiccior exiſtit. Subſunt aquæ ubi naſcitur gramen, plantago, heliotropium, butomon, rubi, hippuris, calamintha, arundines tenues & molles, callitrichos quæ & adiantos, melilotum, oxylapathum, quinquefolium, ſanguinalis latifolia, juncus, ſolanum, ſtratiotes, tuſſilago, chamæleo. Ubi vero plures fuerint, & denſæ, & virides herbæ, plures etiam erunt aquæ. Cancri aquis commodi fuerint, nam & venas aperiunt, & ſanguiſugas perdunt. Terræ nigræ & altæ, durabiliores aquas habent & aſperiores; Ex his vero valde lutoſæ aquoſiores, atque his adhuc amplius, dulces. Si in aliqua rara terra apparuerint aquæ, apparentibus contentum eſſe oportet, & plures non quærere, ne etiam præſentes perdamus. Ex aquis quædam ex infernis ſcaturiunt, quædam ex obli-

ΚΕΦ. Ε.

(1) Ἄλλο εἰς τὸ αὐτό.

ΤΑ ὑψηλὰ ὄρη καὶ πλείονας ἔχοντα κορυφὰς, ἔνυδρα εἴη, καὶ μάλιστα πρὸς βορρᾶν καὶ ἄρκτον ὑποκείμενα μέρη τῶν ὀρέων, καὶ ἡ μέλαινα δὲ καὶ λιπαρὰ γῆ, ἢ καὶ πετρώδης. ἐὰν δὲ μάλιστα τὰς πέτρας μελαίνας ἔχῃ καὶ πυροειδεῖς, ἔνυδρος εἴη. (2) Ἐν δὲ τοῖς πεδίοις ἔνθα ἐστὶ γῆ ἀργιλλώδης, ψηφίδας καὶ κισσήρεις ἔχουσα, καὶ τὴν ὄψιν αὐχμηρὰν καὶ ψιλὴν, τουτέστι κατάξηρον καὶ γυμνωμένην, ἄνυδρος εἴη. Ὁμοίως δὲ καὶ ἡ κεραμῖτις γῆ, καὶ ὅση ἀποκρούεται καὶ ἀπωθεῖται ὄμβρους καὶ χειμῶνας. ὅση δὲ (3) κατέχεται ὑετὸν, καὶ καταπίνει, ξηροτέρα ἐστίν. ὕδατα δὲ ὑπόκεινται, ἔνθα φύεται ἄγρωστις, ἀρνόγλωσσον, ἡλιοτρόπιον, βούτομον, βάτοι, ἵππουρις, καλαμίνθη, κάλαμοι λεπτοὶ καὶ ἁπαλοὶ, καλλίτριχος ἢ καὶ ἀδίαντος, μελίλωτος, ὀξυλάπαθος, πενταδάκτυλος, πολύγονος ἡ πλατύφυλλος, σχοῖνος, στρύχνος, στρατιώτης, χαμαιλεύκη, χαμαιλέων. πλειόνων δὲ οὐσῶν καὶ δασειῶν, καὶ χλωρῶν, καὶ ἀνθηρῶν βοτανῶν, πλείονα ἔσονται καὶ τὰ ὕδατα. Καρκῖνοι χρήσιμοι τοῖς ὕδασιν εἶεν, τὰς γὰρ φλέβας διανοίγουσι, τὰς δὲ βδέλλας διαφθείρουσι. τὰ δὲ μελάγγεια καὶ (4) βαθύγεια, (5) ἐπιμονιμώτερον ἔχει τὰ ὕδατα καὶ τραχύτερα· τούτων δὲ τὰ λίαν ἔμπηλα, ὑδρηλότερα, καὶ ἔτι μᾶλλον τούτων, τὰ γλυκάζοντα. ἐὰν δὲ ἔν τινι ἀραιᾷ γῇ φαίνοιτο ὕδατα, τοῖς φαινομένοις ἀρκεῖσθαι χρὴ, καὶ μὴ ζητεῖν πλείονα ἵνα μὴ καὶ τοῖς οὖσιν ἀπώλεια γένη-

(1) *Varii hujus Cap. in MSS. Tituli.* V. *habet.* Ἄλλο ὑδροσκοπικόν. F. Ἄλλο. Long. & Bod. Ἄλλως. Bar. Ἕτερον περὶ ὑδροσκοπίας (2) *Totam hanc* περικοπὴν *revocavi ex Cod.* Barocc. (3) *Ita MSS.* F. Bar. Long. & Bod. *exhibent.* (4) *Ex MSS.* F. Long. & Bod. (5) *Potius* ἐπιμονιμώτερον.

ται,

ται. τὰ μὲν τῶν ὑδάτων κάτωθεν ἀναβλύζει, τὰ δὲ ἐκ πλαγίων ἔρχεται, καὶ τὰ μὲν ἀναβλύζοντα μονιμώτερά εἰσι. χρὴ οὖν ὀρύσσειν εἰς βάθος, ἕως οὗ ἡ ῥίζα τοῦ νάματος καταληφθῇ, ὅπως ἡ ῥοὴ διηνεκὴς εἴη καὶ μονίμη. ὅσα δὲ ἐκ πλαγίων (6) φέρεται, ὀλιγοχρονιώτερα τῶν ἄλλων εἰσίν. ἀπὸ γὰρ χειμῶνος καὶ τῶν ἐν ἔαρι ὄμβρων πεφύκασι. Πρὸς δὲ τὸ ἐπιγνῶναι γῆν εἰ ὕδωρ ἔχει, τινὲς καὶ τοῦτο ποιοῦσι. Βόθρον ὀρύξαντες, πλάτος μὲν πῆχυν ἕνα, βάθος δὲ πήχεις τρεῖς, ἐντιθέασι τῷ ὀρύγματι κατὰ μεσημβρίαν σπόγγον ξηρὸν ἐπὶ ὥρας τρεῖς, καὶ καλύπτουσι κόμῃ καλάμων χλωρῶν, ἢ ἄλλῃ τινὶ πόᾳ ἁπαλῇ. κἂν μὲν ἔχῃ ὑγρασίαν, ἔσται ὕδωρ· ξηροῦ δὲ ὄντος, οὐδαμῶς. Ἐφ' ὑψηλοτέρου δὲ τόπου ἀνελθόντα, ἐφορᾶν δεῖ καὶ τὴν ἡλίου πρώτην ἀκτῖνα, πρὶν τὸν ἀέρα λευκᾶναι, καὶ εἰ ὁμιχλῶδές τι εἰς αὐτὸν ἀνελκόμενον, πρὶν ἀραιωθῆναι, φαίνεται, ὕδατος ἔσται προσδοκία. Συντήρει δὲ ἐν τῇ πρώτῃ τοῦ ἡλίου λάμψει κωνώπια, ἀναπετώμενα εἰς (7) ὄρθρον ἄνω, καὶ συστρεφόμενα ὥσπερ δοκίδα· καὶ γὰρ ταῦτα ὕδατος δηλωτικά. Δέον δὲ ἐξ ὑψηλοτέρου τόπου σκοπεῖν· τῷ μὲν θέρει ἐν ταῖς μεσημβρίαις, ὅτε ἀὴρ καθαρὸς, καὶ ἡ γῆ ξηροτάτη εἴη· τότε γὰρ ἐν τοῖς ἐνύδροις (8) ἀτμὸς ἀναδίδοται, καὶ ὡς νέφος μικρὸν ὁρᾶται. χειμῶνος δὲ ἀτμίδα ὁ τοιοῦτος ἀνίησι τόπος, ὁμοίαν ταῖς ἐκ τῶν ποταμῶν καὶ λιμνῶν καὶ φρεάτων ἀναφερομέναις· κἀκεῖναι μὲν πολλαὶ καὶ νεφελώδεις, αὗται δὲ ἰσχναὶ καὶ ἀερώδεις. εἰ δὲ πικρὰ εἴη τὰ ὕδατα, (a) κοράλλιον κόψαντες ἐμβαλοῦμεν. ἢ κριθὴν κόψαντες, καὶ εἰς ῥάκος ἐνδήσαντες, καθήσομεν ἐν τοῖς ὕδασι. τὰς δὲ βδέλλας διαφθείρουσιν ἐγχέλεις, καὶ καρκῖνοι

quis veniunt, & ſcaturientes quidem ex infernis durabiliores ſunt; quapropter in altum effodere oportet, donec origo laticis deprehendatur, quo fluxus continuus ſit & permanens. Quæ vero ex obliquis partibus feruntur, minore tempore quam aliæ permanent; ex hybernis enim tempeſtatibus ac vernis pluviis natæ ſunt. Cæterum ad cognoſcendum an terra aquam habeat, quidam etiam hoc faciunt. Foveam effodiunt latitudine cubiti unius, altitudine cubitorum trium, & in foſſam circa meridiem ſpongiam ſiccam ad horas tres imponunt, & arundinum viridium coma cooperiunt, aut etiam alia aliqua tenera herba. Et ſiquidem humorem traxerit ſpongia, aderit aqua; ubi vero ſicca fuerit, nequaquam. Quin & in altiorem locum aſcendentem, primum ſolis radium, priuſquam aer albeſcat, inſpicere oportet, & ſi quid nebuloſum in ipſum attrahi, antequam rareſcat, appareat, aquam expectare convenit. Obſerva etiam cum primum ſol ſplendeat, culices ſurſum in directum volantes, ſeque ad trabis ſimilitudinem contorquentes; hi enim aquam portendunt. Oportet inſuper ex altiore loco animadvertere, æſtate quidem in meridie, quando aer purus & terra ſicciſſima fuerit, tunc enim in aquoſis locis vapor ſurſum tollitur, & parvæ inſtar nebulæ cernitur: hyeme vero halitum hujuſmodi locus remittit, ſimilem eis qui ex fluminibus & ſtagnis & puteis efferuntur; niſi quod illi multi ſint & nubili, hi tenues & aerii. Aquarum amaritudinem corallio contuſo injecto emendabimus, aut hordeum contuſum & linteolo illigatum in aquas ponamus.

(6) *Ita MSS. ante* φαίνεται. (7) *Interp. legit* εἰς ὀρθὸν *quam lect. in Verſ. retinui.* (8) *MSS. V. ſupplet* τόποις.

(a) *Vide Notas ad* Cap. 1. Lib. 15.

Hiru-

Hirudines perdunt anguillæ, & cancri fluviales, aquis injecti. Signa porro generationis aquarum dulcium juncus, arundo, lotus & rubus.

(9) ποταμιόσιοι τοῖς ὕδασι βληθέντες. ὑδρογονικὰ δὲ σημεῖα γλυκέων ὑδάτων, σχοῖνος, κάλαμος, λωτὸς καὶ βάτος.

(9) *Potius* ποτάμιοι *aut* ποτάμειοι, *ſed MSS. ut in textu.*

CAP. VI.

De aquæ inveſtigatione. Democriti.

DE aquæ inquiſitione, deinceps dicemus. Qui enim in aquis veſtigandis experientiam nacti ſunt, pronunciant campos quidem ut plurimum aquis carere, & majores magis minoribus. Ex montibus vero pleroſque aquoſos eſſe, & imas ipſorum partes humidiores quam ſummas, & denſas ac arboribus tectas magis humidas eſſe quam nudas. Aquæ vero quæ in campis reperiuntur, utplurimum ſalſæ ſunt, quæ vero in montibus & imis ipſarum partibus, dulces: niſi aliquarum ſapor corrumpatur per incumbentium aquarum proprietatem, crudarum videlicet aut ſalſarum, aut nitrum, aut alumen habentium, aut ſulphur, aut aliud quid ejuſmodi. Naturales autem cauſas prædictorum tales afferunt; nempe ſolem ex aquis ſemper id quod tenuiſſimum ac leviſſimum eſt attrahere. Quare quum campos per totam diem ſol occupet, humorem ex ipſis emulgere & in vaporem diſſolvere, unde ſane contingit ut quidam penitus aquis careant; verum in quibus aliquid relinquitur, id omnino ſalſum reperitur, levi ac dulci ex ipſis conſumpto, quemadmodum etiam mari contigit. At vero montium aquas id ipſum non pati, quum non per to-

ΚΕΦ. ϛ.

(1) Εἰς τὸ αὐτό. Δημοκρίτου.

ΠΕρὶ δὲ τῆς ὑδροφαντικῆς, ὑπὸ δέ τινων ὑδρομαστευτικῆς λεγομένης, νῦν ἐροῦμεν. Ἀποφαίνονται γὰρ οἱ περὶ * τῶν ὑδροφαντικῶν τὴν ἐμπειρίαν εἰληφότες, τὰ μὲν πεδία ἄνυδρα ὑπάρχειν ὡς ἐπὶ τὸ πολὺ, καὶ τὰ μείζονα μᾶλλον τῶν ἐλασσόνων. τῶν δὲ ὀρέων ἔνυδρα τὰ πλεῖστα, καὶ τὰς ὑπωρείας καθυγροτέρας τῶν ἀκρωρειῶν ὑπάρχειν, καὶ τὰ δασέα καὶ τὰ κατάδενδρα τῶν ψιλῶν. τὰ δὲ ἐν τοῖς πεδίοις εὑρισκόμενα τῶν ὑδάτων, ἁλμυρὰ ὡς ἐπὶ τὸ πολύ. τὰ δὲ ἐν τοῖς ὄρεσι καὶ ταῖς ὑπωρείαις, γλυκέα. ἐὰν μή τινων ἡ γεῦσις φθείρηται, διὰ τὴν τῶν ἐπικειμένων ὑδάτων ἰδιότητα, ὠμῶν, ἢ ἁλμυρῶν ὑπαρχόντων, ἢ νιτρωδῶν, ἢ στυπτηρίαν ἐχόντων, ἢ θεῖον, ἢ ἄλλο τι τῶν τοιούτων. Φυσικὰς δὲ (2) τοῖς εἰρημένοις αἰτίας τοιάσδε προσάπτουσιν, ἀπὸ τῶν ὑδάτων τὸ λεπτομερέστατον ἀεὶ καὶ ἐλαφρότατον ἕλκειν τὸν ἥλιον. τὰ μὲν οὖν πεδία δι' ὅλης ἐπέχοντα τῆς ἡμέρας τὸν ἥλιον, ἐξαμέλγειν τὸ ὑγρὸν καὶ ἐξατμίζειν, ὅθεν τὰ μὲν τελέως ἄνυδρα ὑπάρχει. ἐν οἷς δὲ καταλείπεταί τινα τῶν ὑδάτων, ἁλμυρὰ εὑρίσκεται πάντως, τοῦ ἐλαφροῦ καὶ γλυκέος ἐξ αὐτῶν ἀναλισκομένου, καθάπερ καὶ τὴν (3) θάλασσαν συμβέβηκε. τὰ δὲ ἐν τοῖς ὄρεσι τῶν ὑδάτων, μὴ τὸ αὐτὸ πά-

(1) *MS. V.* Ἕτερον ὑδροσκοπικόν. F. Long. *&* Bod. Δημοκρίτου ὑδροσκοπικόν. * *Potius* ὑδροφαντικήν. (2) *Ita MSS.* (3) *Suppl.* εἶναι *aut* εὑρίσκεσθαι, *ut ſenſus ſit integer: vel legend.* τῇ θαλάσσῃ.

χει,

χειν, διὰ τὸ μὴ δι' ὅλης τῆς ἡμέρας ἐκπυροῦσθαι τῇ ἀκτῖνι, καὶ κεκλιμένην αὐτοῖς, καὶ μὴ βιαίαν προσπίπτειν. ὅθεν τὰ πρὸς ἄρκτον ἔχοντα τὰς κλίσεις, εὐυδρότερα τῶν πρὸς μεσημβρίαν κεκλιμένων ἀποφαίνονται, καὶ τὰ πρὸς ἀνατολὰς καὶ δυσμὰς, (4) ἴσον μὲν τῶν πρὸς ἄρκτον, πλείονα δὲ τῶν πρὸς μεσημβρίαν κεκλιμένων, καὶ τὰ δασέα τῶν ψιλῶν, διὰ τὸ σκιάζεσθαι. τὰς δὲ ὑπωρείας μᾶλλον (5) καθύδρους εἶναι, διὰ τὸ τὴν φορὰν εἰς τὸ κάτω μέρος τοῖς ὕδασιν εἶναι, καὶ συνάγεσθαι τὰ ἀπὸ τῶν ὑψηλῶν εἰς τὸ ταπεινὸν, καὶ ὑπὸ τὰς ῥίζας τῶν ὀρέων. ὅθεν καὶ τὰς πλείστας πηγὰς καὶ (6) μερὰς, ἐν τοῖς τοιούτοις τόποις ὑπάρχειν, ἐν οἷς ὑπερκείμενά ἐστιν ὄρη μεγάλα, καὶ ὑψηλὰ, καὶ δασέα, ἔχοντα κοίλους καὶ φαραγγώδεις τόπους. ἐν γὰρ τοῖς τοιούτοις, τοὺς κατ' ἔτος συναγομένους ὄμβρους, καὶ διηθουμένους κατὰ γῆς, τὰς πηγὰς αὔξειν. τινὰ δὲ τῶν ὑδάτων, παρὰ ταύτας μὲν τὰς ὑπωρείας, μὴ ἐκφανῆ γίνεσθαι, ποιησάμενα δὲ ἕως τινὸς ὑποφορὰν κατὰ γῆς, οὕτως εἰς τὸ φανερὸν ἐκθλίβεσθαι. τὸ δὲ σύνολον, διὰ τὸν ἀνάγοντα τόπον ἕως θαλάττης, φανέντα ἐξωθεῖσθαι. Τινὰ δὲ καὶ ἐπὶ τὴν θάλατταν, διὰ τῆς γῆς ἐπὶ πολὺν τόπον ἐν ταῖς φλεψὶν ἐνεχθέντα, οὕτως ἀναβλύει, καθάπερ ἐστὶν (a) ἐν

tam diem ſolis radiis exurantur, & inclinatus, & non violenter ipſis irruat; unde etiam eos qui ad ſeptentrionem declinant montes, aquoſiores pronunciant ad meridiem inclinatis, & eos qui ad orientem & occidentem, minus quidem aquoſos quam qui ad ſeptentrionem vergunt, plus autem quam vergentes ad meridiem: & denſos arboribus magis aquoſos quam nudos, quoniam obumbrantur. Cæterum imas montium partes magis aquoſas eſſe, quod aquarum natura ſit ad infernam partem deferri, & quæ in altis locis ſint ad humiles congregentur, & ſub ipſas adeo montium radices. Unde etiam plures fontes & fluenta in talibus locis exiſtere, in quibus magni montes ſuperincumbunt, altique ac denſi, concavos locos & cavernoſos habentes. In talibus enim imbres per annum collectos & per terram colatos, fontes augere. Quaſdam vero aquas circa has imas montium partes non apparere, verum ubi intra terram aliquo tenus ſubductæ curſum perfecerint, tum demum in apertum exprimi ac prodire. In univerſum autem, per locum uſque ad mare ducentem, apparere & expelli. Quædam vero & in mare per terram ad multum loci ſpatium in venis perductæ, ſic tandem erumpunt, qualis eſt aquatio in

(4) *Interp. legit (rectius forſan)* ἧσσον μὲν ...., πλεῖον δὲ, *debita antitheſi. MSS.* V. F. Long. *&* Bod. *ut in textu.* (5) *MSS.* F. Long. *&* Bod. Καθύγρους. (6) *Emend. ex Heſychio & Phavorino, antea* μεριστάς.

(a) Καθάπερ ἐστὶν ἐν Ἀράδῳ ὕδρευμα,] Ὑδρεύματος Ἀραδίου *meminit, & modum deſcribit* Strabo *Geograph.* Lib. XVI. *ubi de* Arado *Inſula ejuſque ſitu & Incolis plura videantur.* Τὴν δ' ὑδρείαν (inquit) τὴν μὲν ἐκ τῶν ὀμβρίων καὶ λακκαίων ὑδάτων ἔχουσι, τὴν δ' ἐκ τῆς περαίας. Ἐν δὲ τοῖς πολέμοις ἐκ τοῦ πόρου μικρὸν πρὸ τῆς πόλεως ὑδρεύονται, πηγὴν ἔχοντες (Caſaub. ἔχοντος) ἀφθόνου ὕδατος· εἰς ἣν περικαταστρέφεται κλίβανος, καθεθεὶς ἀπὸ τοῦ ὑδρευομένου σκάφους, μολυβοῦς, εὐρύστομος, εἰς πυθμένα συνηγμένος στενὸν ἔχοντα τρῆμα μέτριον. Τῷ δὲ πυθμένι περιέσφιγκται αὐλὸς σκύτινος, εἴτε ἄσκωμα δεῖ λέγειν, ὁ δεχόμενος τὸ ἀναθλιβόμενον ἐκ τῆς πηγῆς διὰ τοῦ κλιβάνου ὕδωρ. Τὸ μὲν οὖν ἀναθλιβὲν πρῶτον τὸ τῆς θαλάσσης ἐστί· περιμείναντες δὲ τὴν τοῦ καθαροῦ καὶ

Arado

Arado, & in Heraclea Ponti. Porro aquas quæ ex altis locis deferuntur, fontes noſtri, πηγὰς illi, quaſi fixas vocant, atque id propter ſuperincumbentes locos, adjacente videlicet monte Saoce appellato, & habente non longe a vertice locos aſperos & antroſos, ac capaces plurimæ cœleſtis aquæ. Fontes igitur irriguos, & quibus aliquid influit, πηγὰς eſſe pronunciant propter declaratas cauſas. Eſſe vero præterea etiam in plurimis terræ partibus venas habentes aquam. Quemadmodum enim, inquiunt, in vivis & animatis corporibus totum corpus venis & arteriis continuis interſtinctum eſt, ſic etiam in terra, & locos raros eſſe, aere plenos exiſtentes, & venas aquam habentes, & in

Ἀράδῳ ὕδρευμα, καὶ τὸ ἐν Ἡρακλείᾳ τοῦ Πόντου. Τὰς δὲ ἀφ᾽ ὑψηλῶν τόπων πηγὰς φερομένας λέγουσι, διὰ τοὺς ὑπερκειμένους τόπους, παρακειμένου τοῦ λεγομένου (b) Σαώκους, καὶ ἔχοντος οὐ μακρὰν τῆς κορυφῆς τόπους τραχεῖς καὶ φαραγγώδεις, καὶ δυναμένους τὰ πλεῖστα τῶν οὐρανίων ὑδάτων δέχεσθαι. Τὰς μὲν οὖν ἐπιρρύτους πηγὰς ὑπάρχειν ἀποφαίνονται, διὰ τὰς δεδηλωμένας αἰτίας. εἶναι δὲ καὶ ἐν τοῖς πλείστοις μέρεσι τῆς γῆς φλέβας ἐχούσας ὕδωρ. καθάπερ γὰρ, φασὶ, καὶ ἐπὶ τῶν ἐμψύχων σωμάτων (7) συμβαίνει τὸ ὅλον σῶμα φλεψὶ καὶ ἀρτηρίαις διειλῆφθαι συνεχέσιν, οὕτω καὶ ἐν τῇ γῇ τόπους τε ἀραιοὺς ὑπάρχειν, ἀέρος πλήρεις ὄντας, καὶ φλέβας ὕδωρ ἐ-

ποτίμου ὕδατος ῥέουσιν, ὑπολαμβάνουσιν εἰς ἀγγεῖα παρεσκευασμένα ὅσον ἂν δέῃ, καὶ πορθμεύουσιν εἰς τὴν πόλιν Quorum ſenſus eſt——*Aquantur partim ex imbribus ciſternis exceptis & lacubus, partim ex oppoſita continente. In bello autem e freto paulo ante urbem aquam petunt; abundantem aqua* id habet *fontem; in quem clibanus inverſus e ſcapha aquaria demittitur, plumbeus, lato ore, fundo in anguſtum coacto; fundus mediocre foramen habet, cui fiſtula ex corio (ſive utriculum dicere malumus) aſtricta eſt, quæ aquam e fonte per clibanum eliſam excipit. Aqua quæ primo exhauritur ſalſa eſt: expectantes vero puræ & dulcis aquæ fluxum, vaſis ad id paratis excipiunt, atque in urbem deferunt.* Plinius *etiam Lib. 2. Nat. Hiſt.* " *Dulcis hauſtus in mari plurimis locis, ut ad Chelidonias Inſulas, &* " *Aradum, & in Gaditano Oceano. Talis autem fontis, aut* Ὑδρεύματος, *apud* Heracleam Ponticam *nulla quod adhuc ſciam apud Vett. mentio; niſi forſan innuat* Soonautem *ſive* Acherontem *fluvium terræ ſubterfluum, circa* Heracleam *erumpere ex ſpecu* Acheruſia: *de qua* Pomponius Mela *Lib. 1. Cap. 19.* " *Juxta Heracleam ſpecus eſt Acheruſia, ad* " *Manes (ut aiunt) pervius; atque inde extractum Cerberum exiſtimant. Et* Plinius *Lib. 27. Cap. 2.* " *Ortum [venenum] fabulæ narravere, e* " *ſpumis Cerberi canis, extrahente ab Inferis Hercule, ideoque apud Heracleam Ponticam, ubi monſtratur is ad Inferos aditus, gigni.*

(b) Σαώκους,] Saoces *vel* Saoce *excelſus* Samothraciæ *Mons.* Plin. *Lib. 4. Pag. 461, 2.* " *Tantundem inſula Samothrace, quæ libera, ante Hebrum,* " *ab Imbro triginta duo Mill. a Lemno viginti duo Mill. D a Thraciæ* " *ora triginta octo Mill. circuitu triginta duo Mill. attollitur monte Saoce* " *decem Mill. paſſuum altitudinis, vel importuoſiſſima omnium.* Didymus *etiam in Iliada ν'.* Τῆς Σαμοθράκης· Τὸ μέντοι ἐν αὐτῇ ὄρος, Σαώκη καλεῖται. *& in* Heſychio Samothracia, *a Monte* Saoce, Σαωκὶς *appellari traditur.*

(7) *MSS.* Long. *&* Bod. συμβαίνειν.

χούσας, καὶ ἔν τισι μὲν πάνυ πυκνὰς εἶναι, καὶ δι' ἀλλήλων πεπλεγμένας. ἔν τισι δὲ ἀραιοτέρας, αἷς ἐπιτυγχάνειν ῥαδίως τοὺς τὰ φρέατα ὀρύσσοντας, διὰ τὸ πλῆθος καὶ τὴν πυκνότητα. πηγὰς οὖν ὁμοίως καλεῖσθαι, καὶ τὰς ἀναπτυχθείσας τῶν φλεβῶν, διὰ τὸ παραμονίμους εἶναι μακρόθεν φερομένας, καὶ δι' ἀλλήλων τὸ ὕδωρ δεχομένας. Λιβάδας δὲ καλεῖσθαι τὰ ἀπὸ τῶν ὀμβρίων ὑδάτων ἠθούμενα, καὶ κατὰ γῆς ἐν στεγνοῖς καὶ σκιεροῖς τόποις συνεστηκότα, καθάπερ ἐν ἀγγείοις, (8) μὴ φλεβῶν ἀποῤῥοίας οὔσας· ὅθεν οὐδὲ διαμένειν τὰς λιβάδας, ἀλλὰ πάνυ συντόμως ἐκλείπειν, ἐὰν μὴ σφόδρα μεγάλας αὐτὰς εἶναι (9) συμβῇ. Τὰς δὲ πηγὰς αὔξεσθαί τε καὶ λήγειν κατὰ τὴν τοῦ ἀέρος περίστασιν. αὐχμῶν μὲν γὰρ γινομένων, καὶ τὰς πηγὰς λήγειν· ἐπόμβρου δὲ τοῦ ἔτους ὄντος, ἐπαύξεσθαι. τροφὴν γὰρ λαμβάνειν, ὡς καὶ ἀνωτέρω ἐῤῥήθη, τὰ κατ' αὐτὰς ὕδατα διὰ τῶν οὐρανίων ὑδάτων· διὸ καὶ μάλιστα αὔξεσθαι τὰς πηγὰς περὶ χειμερινὰς τροπὰς, τοῦ μὲν ἡλίου μὴ ὁμοίως ἀκμάζοντος, τῶν δὲ ὄμβρων προστεθέντων, ὑπὸ δὲ τὰς θερινὰς καὶ τοῦ κυνὸς τὴν ἐπιτολὴν τοὐναντίον πάσχειν. διαγινώσκεσθαι δὲ τὰς εὑρισκομένας πηγὰς, καὶ τὰς λιβάδας τοιούτῳ τινὶ τρόπῳ. τὴν μὲν γὰρ εὑρεθεῖσαν πηγὴν ἀπὸ φλεβὸς εὐγενοῦς, πραέως δὲ ἀρξαμένην ῥέειν, ἐπίδοσίν τε κατὰ μικρὸν ποιεῖσθαι, καὶ ἕως τινὸς αὐξηθεῖσαν διαμένειν ὁμοίως, ἢ τὴν αὐτὴν ἔχειν * δι' ὅλου ῥύσιν τῇ ἐξ ἀρχῆς εὑρεθείσῃ, ἂν μήτι ἐλλείπῃ διὰ τὴν τοῦ ἀέρος περίστασιν, ἢ ἐπιθῇ. Τὰς λιβάδας δὲ οὐ φασὶ τὸ ὅμοιον ποιεῖν, ἀλλ' ἐν ἀρχῇ μὲν λάβρον, καὶ πολὺ προΐεσθαι τὸ ῥεῦμα, μετ' οὐ πολὺν δὲ χρόνον λήγειν. ὅθεν οὐκ ἐῶσιν οὖν τῇ τοιαύτῃ ῥύσει πιστεύειν, τοὺς δὲ ζητοῦντας τὰ ὕδατα, πρῶτα

QUidam altam effodiunt foſſam, eoque omne ſtercus tum præſtantius tum deterius deferunt, ac putrefaciunt. Sed & cinerem furnorum, & cœnum, & omnium animalium ſtercus & præ omnibus humanum, &, quod maximum eſt, & per ſe magis juvans omnes plantas, & præſertim vites, lotium humanum affundunt. Imo etiam coriariorum retrimenta ac ſordes ſuperinjiciunt. Multi etiam ſtipulam poſt meſſem evulſam pecori ſubſternunt, quo conculcata,& urinæ computrefacta ſtercus fiat, & cum prædictis omnibus in foſſas demergunt. Quin & ſi cœnoſa aliqua ſordes, ſive etiam ex paleis, ſive ſpinis, aut lignis, aut ſarmentis cinis fuerit, etiam hanc adjiciunt. Sed & algam e mari una cum adhærentibus ſordibus ejectam, aqua dul-

(1) *Hanc vocem non agnoſcunt MSS.* F. Long. *&* B. 2. *ſed* Bar. *retinet.* (2) *Ita reſtitui ex MSS.* B. 1. *&* Pal. 1. *cæteri* βορβόρων *exhibent.* (3) *Ita MSS. ante* σησαπεῖσα. (4) *Reſtit. ex* Bar. *antea* εἰσβρασσόμ.

ci

ci diligenter elotam admiſcent: & poſt omnem prædictorum in foſſis mixturam, aquam dulcem ſuperingerunt, quo citius omnia computreſcant. Poſt hæc vero ſarculis eo uſque movent, donec totum commixtum & unitum ſtercus ſucculentum fiat. Valde autem prodeſt imbrium rivos ex viis ad ſterquilinium derivare: Hæc enim aqua limoſa exiſtens & turbata, ſtercus jam inſitum augebit, & multa putrefactione addita melius reddet.

μένα βρυώδη, ὕδατι γλυκεῖ ἐπιμελῶς ἀποπλύναντες, προσμιγνύουσι. Καὶ μετὰ πᾶσαν τὴν τῶν προειρημένων ἐν ταῖς τάφροις μίξιν, ὕδωρ γλυκὺ ἐπιβάλλουσιν, ἵνα θᾶττον πάντα συσαπῇ. καὶ μετὰ ταῦτα ταῖς ἄμαις ἕως τοσούτου κινοῦσιν, ἕως οὗ πᾶσα συμμιγεῖσα καὶ ἑνωθεῖσα, ἡ κόπρος χυλώδης γένηται. μάλιστα δὲ μέγα ὠφελεῖ, τοὺς ἀπὸ τῶν ὄμβρων ῥύακας ἐκ τῶν ὁδῶν εἰς τὸ κοπροθέσιον εἰ μετοχετεύσαιμεν· τοῦτο γὰρ τὸ ὕδωρ ἰλυῶδες ὂν, καὶ θολερὸν, (5) αὔξει εἰς τὴν ἐγκειμένην κόπρον, καὶ συσήψει πολλῇ (6) καλλοποιήσει.

(5) *Interp. (rectius forſan)* αὐξήσει. (6) *Ita ex MSS.* V. F. L. & B. 2. Bar. καλοποιήσει. *Vel. legend.* κάλλιω ποιήσει.

CAP. XXIII.

Quali tempore quamque terram manſuefacere oporteat. Varronis.

NOn eadem eſt omnis terræ manſuefactio, ſed denſa & radices plures ac frutices habens in altum foditur, familiaribus cuique regioni inſtrumentis, vehementibus ſiccitatibus urgentibus. Friabilior enim tunc fit terra, & radices a ſolis vehementia exuruntur, ut amplius radicem agere nequeant. Sed & profunda terra, & ſolida, & gravis, ſimiliterque pinguis, eodem modo in ſiccitate verſæ, non minus juvantur. Verum tenuis terra a ſole exuſta in cinerem abit, omnemque quam in ſe habet pinguitudinem perdit, utpote quæ ab ardore perflatur. Quare hanc circa æquinoctium autumnale manſuefacere oportet, non ligonibus, neque ſarculis, ſed aratro, & ſtatim inſuper ſtercorare, Huic enim maxime auxiliatur ſtercoris copia. In Arabia tamen tenuem terram novare recuſant, tan-

ΚΕΦ. ΚΓ.

Ποίῳ καιρῷ ἑκάστην γῆν ἐξημεροῦν χρή. Βάρωνος.

ΟΥχ ἡ αὐτὴ πάσης τῆς γῆς ἐξημέρωσις, ἀλλ' ἡ μὲν πυκνὴ, καὶ τὰς ῥίζας ἔχουσα (1) πλείους καὶ θάμνους, εἰς βάθος σκάπτεται ἐπιχωρίοις ἐργαλείοις, σφοδρῶν ὄντων αὐχμῶν. ψαφαρωτέρα γὰρ γίνεται ἡ γῆ, καὶ αἱ ῥίζαι ἀπὸ τῆς σφοδρότητος τοῦ ἡλίου ἐκκαίονται, ὡς μὴ δύνασθαι ῥιζῶσαι. Καὶ ἡ βαθύγειος δὲ γῆ, καὶ ἡ στερεὰ καὶ ἡ βαρεῖα καὶ ἡ λιπαρὰ ὁμοίως ἐν αὐχμῷ (2) στραφεῖσαι, οὐκ ἔλαττον ὠφελοῦνται. ἡ δὲ λεπτόγειος ὑπὸ τοῦ ἡλίου ἐκκαιομένη τεφροῦται, καὶ πᾶν τὸ ἐν αὐτῇ λιπαρὸν ἀπόλλυσιν ὑπὸ τῆς καύσεως διαπνεομένη. διὸ ταύτην περὶ τὴν μετοπωρινὴν ἰσημερίαν ἐξημεροῦν χρὴ, οὐ δικέλλαις, οὐδὲ ἄμαις, ἀλλὰ ἀρότρῳ, καὶ εὐθέως ἐπικοπρίζειν. ταύτῃ γὰρ μάλιστα ἡ (3) πολλὴ κόπρος συνεργεῖ. ἐν μέντοι τῇ Ἀραβίᾳ τὴν λεπτόγειον νεοῦν παραιτοῦνται, ὡς ὀλίγον τὰ

(1) *Revoc. ex MSS.* (2) *Ita MSS. ante* τραφ. (3) *Hanc voc. delent MSS.* F. L. B. 2.

ἰσχυρὸν ἔχουσαν, καὶ ἐκ τοῦ νεασμοῦ ἀραιωθεῖσαν, στερίσκεται τῆς ἰκμάδος. πρὶν οὖν νεάσαι σπείροντες κριθὰς ἐν τῷ Γορδάτῳ οὕτω καλουμένῳ, πολλάκις ηὐφόρησαν, πλειόνων ὄμβρων μάλιστα γενομένων. ὁμοίως δὲ καὶ τῇ λεπτογείῳ, καὶ τὴν πυῤῥὰν, καὶ τὴν ἐρυθρὰν, καὶ ἀμμώδη, καὶ μέλαιναν καὶ τὴν λευκὴν, καὶ τὴν ξηρὰν, καὶ τὴν κούφην, καὶ τὴν λευκάργιλλον, καὶ τὴν ἐν τοῖς γηλόφοις ἐργάσῃ διὰ τοῦ χειμῶνος. τὴν δὲ ἁλμυρὰν ἐν ἀρχῇ χειμῶνος ὑετοῦ προηγουμένου, κινήσας ἀρότροις μικροῖς, ἀχύροις διαπάσεις, κάλλιον μὲν κυαμίνοις· ταῦτα γάρ ἐστι (4) καλλίω τὰ ἄχυρα· δεύτερα δὲ, κριθίνοις καὶ σιτίνοις. τῇ γὰρ τούτων συσσήψει, ἡμερωθεῖσα ἡ ἁλμυρὰ γῆ καὶ γλυκανθεῖσα, οὐκέτι διὰ τοῦ ἀέρος, ὡς εἴωθεν, ἀνίησιν ἁλμυρὰν νοτίδα. εἶτα ἐάσας διὰ παντὸς τοῦ ἐνιαυτοῦ, τῷ φθινοπώρῳ κοπρίσεις αὐτὴν κόπρῳ βοείᾳ καὶ ἱππείᾳ γλυκυτέραις οὔσαις. ἔπειτα σπερεῖς κριθὰς, καὶ ὄσπρια τὰ μὴ βαθύῤῥιζα. τὴν δὲ ἐν τοῖς ὀρεινοῖς καὶ δυσχειμέροις, καὶ πολυσκίοις καὶ προσβορείοις, διὰ τοῦ θέρους καὶ ἐν τοῖς καύμασιν ἐργάζου ὁμοίως τῇ βαθυγείῳ, ἣν δικέλλαις σκάπτεσθαι κάλλιον εἶναι προειρήκαμεν. εἰ δὲ μὴ συντείνοι ἡ διὰ τῶν δικελλῶν ἐργασία, πρὸς τὸ μέγεθος τῆς μελλούσης σπείρεσθαι γῆς, καὶ ἀροῦν αὐτὴν διὰ θέρους δυνατὸν, ἀφ' ἑσπέρας ἀρχομένους διὰ πάσης νυκτὸς μέχρις ἀνατολῆς ἡλίου, ὅπως τὸ νοτερὸν καὶ λιπαρὸν σκιαζόμενον ὑπὸ τῆς βώλου ἐμμένῃ, καὶ οἱ βόες μὴ ὑπὸ τοῦ ἡλίου καιόμενοι νοσοῖεν, καὶ εὐχερῶς ἐργάζοιντο, ὀλίγον τι ἁπαλυνομένης τῆς γῆς ἐκ τῆς νυκτερινῆς ἐργασίας. ἀροῦντα δὲ οὐ δύο, τέσσαρας δὲ βόας ὑποζευγνύναι χρὴ, καὶ ποιεῖν τὴν καλουμένην διζυγίαν· δευτεροῦν δὲ καὶ τριτοῦν, ὕνει τε χρῆ-

quam parum fortem, & quæ ex novatione rarior facta humore privetur. Priuſquam igitur novant ſeminantes hordeum in Gordato loco appellato, ſæpe magnam fertilitatem conſequuti ſunt, præſertim pluribus imbribus delapſis. Similiter autem velut tenuem terram, etiam fulvam, & rubram, & arenoſam, & nigram & albam, & aridam, & levem, & argillæ albæ, & in collibus ſitam, coles per hyemem. Salſam vero in hyemis initio poſt pluviam, parvis aratris motam, paleis conſperges, præſtiterit quidem fabaceis; hæ enim inter paleas principatum tenent; deinde vero hordeaceis & frumentaceis. Etenim ex harum computrefactione ſalſa terra manſuefacta & dulcis effecta, non amplius per aerem ſalſam humiditatem, ut ſolet, emittit. Deinde ſines eam per totum annum, & autumno ſtercorabis ſtercore bubulo & equino, utpote dulcioribus. Poſtea conſeres hordeo, & leguminibus non alte radices agentibus. At vero eam quæ in montanis & tempeſtuoſis, umbroſiſque ac borealibus locis ſita eſt, per æſtatem & in ardoribus cole ut profundam, quam ligonibus fodere melius eſſe prædiximus. Quod ſi operatio per ligones ſeminandæ terræ magnitudini non reſpondeat, etiam arare ipſam per æſtatem poſſumus a veſpere exordio facto per totam noctem, uſque ad exortum ſolis, quo humiditas & pinguitudo obumbrata ſub gleba permaneat, & ne boves a ſole peruſti ægrotent, & facile operentur, terra ipſa ex nocturna cultura paulo teneriore reddita. Cæterum aratorem non duos, ſed quatuor boves conjugare oportet, ac facere jugum geminatum, iterareque ac tertiare, ac vomere graviore uti,

(4) *Ita Caſ. & MSS. prius* καλλιότερα *nullo ſenſu.*

quo

quo hoc modo pinguitudo terræ gravi opere deprimatur, & glebis adobruatur.

-σθαι βαρυτέρα, ἵν' οὕτως τὸ λιπαρὸν τῆς γῆς (5) βαρυεργηθῇ καὶ βωλοστροφηθῇ.

(5) *MS.* Bar. *habet* βαθυεργηθῇ, *quem lect. probat* Ja. Gruterus *& vertit,* alto opere deprimatur; *MSS.* F. L. B. 2. βαρὺ ἐργασθῇ καὶ βωλοστροφηθῇ. *Judicium eſto penes Lectorem.*

CAP. XXIV.

De ſarritione poſt ſationem & herbarum runcatione. Leontini.

OPtimum eſt ſata per homines ſarriri & adobrui, ut omnia probe contegantur; quod ſi fieri non poteſt, per boves ſarriantur. Quando vero jam glebam occultare ac contegere cœperint, ſarriantur, quo & agreſtes herbæ diſſipentur, & nudatæ ab aquis radices adobruantur. Bis quoque ſi ſarritio fiat, geminata erit utilitas. Quando autem ſpicas emiſerint, runcentur. Sic etenim fructus puri & multæ commoditatis perficientur, quum non amet terra herbas peregrinas alere.

ΚΕΦ. ΚΔ.

Περὶ τῆς μετὰ τὸν σπόρον σκαλείας καὶ βοτανισμοῦ. Λεοντίνου.

ΤΑ σπαρέντα τὸ μὲν κάλλιστον διὰ ἀνθρώπων ἐπισκάπτεσθαι, ἵνα πάντα καταχωσθῇ· εἰ δὲ μὴ, κἂν διὰ βοῶν σκαλλέσθω. ὅταν δὲ ἤδη τὴν βῶλον (1) κρύπτειν ἄρχηται, σκαλλέσθω, ἵνα ἥ τε (2) ἀγρία ὕλη ἀφανισθῇ, καὶ ἀπὸ τῶν ὑδάτων γεγυμνωμέναι ῥίζαι προσχωθῶσι. καὶ δὶς δὲ ἐὰν σκάλληται, δὶς ἔσται καλά. ὅταν δὲ ἀποσταχύῃ, βοτανιζέσθω. οὕτως γὰρ οἱ καρποὶ καθαροὶ, καὶ πολυωφελεῖς τελειωθήσονται, (3) σὺν ἐρώσης τῆς γῆς ἐκείνους εὐτρεφῆσαι.

(1) *Ita lego ex* Bar. *vel legend.* κρυβεῖν. (2) *Ante conjunctim & male* ἀγριαύλη. (3) *Vel delend.* σὺν, *vel legend. cum Interp.* ξένους εὐτρεφῆσαι.

CAP. XXV.

Quando metere oporteat. Florentini.

QUum partes quædam ſegetis flaveſcere inceperint, omnes fruges demetito, & maxime hordeum; Verum multo citius legumina metere oportet, facilius enim coquentur & dulciora erunt. Non igitur expe-

ΚΕΦ. ΚΕ.

Πότε χρὴ θερίζειν. Φλωρεντίνου.

ΟΤαν ἄρχηται μέρη τινὰ τοῦ (1) ληΐου ξανθίζειν, πάντα τὰ γεννήματα θέριζε, καὶ μάλιστα τὰς κριθάς· πολὺ δὲ θᾶττον χρὴ θερίζειν τὰ ὄσπρια, (2) εὐεψότερα γὰρ, καὶ ἡδίω ἔσται. οὐ δεῖ οὖν περιμένειν, ἕως

(1) *Ecce ſtupendam Interp. inſcitiam, qui vertit* Solis *quaſi eſſet* ἡλίου.
(2) *Ita in MSS. potius* εὐεψητότερα.

ἂν πάντα ἀκμάσῃ. εἰ γὰρ περιμένοι τις, τὸ πρῶτον ξηρανθὲν ἀπολέσει, πεσεῖται γὰρ θεριζόμενον. μονιμώτερος μὲν οὖν ὁ ξηρότερος, τῷ δὲ πλήθει ἐλάττων. ὁ δὲ ξανθίζων, καὶ εἰς τὸ φαγεῖν ἡδίων, καὶ τὰ ἐκ τούτου ἄχυρα, ἡδίω τοῖς κτήνεσι. σπουδαιότερον δὲ χρὴ ὑπὸ τὸν ὄρθρον ἔτι δεδροσισμένα συνάγειν πάντα τὰ γεννήματα. τὸν δὲ λικμηθέντα σῖτον, ἤτοι κριθὴν, ἐκτέον ἐπὶ τῆς ἅλω μίαν καὶ δευτέραν ἡμέραν, ἢ πάντως νύκτα μίαν, καὶ ἀποκομίζειν χρὴ πρὶν ἥλιον ἀνασχεῖν. ἵνα ἔτι κατεψυγμένος ὁ καρπὸς, εἰς τὸν σιτοβολῶνα ἀποτεθῇ. πολὺ γὰρ τοῦτο πρὸς διαμονὴν συμβάλλεται.

ſtandum eſt donec omnia matura ſint: Si enim quis eouſque cunctetur, quæ primum arefacta ſunt perdet, in metendo enim excident. Durabilior itaque eſt fructus ſiccatus, verum copia minor; qui vero flaveſcit, & in cibo jucundior eſt, & paleæ ex eo pecori gratiores ſunt. Cæterum omnes fruges adhuc roſcidas ſub diluculum ſedulo colligere oportet. At vero ventilatum ac cribratum frumentum, ſive hordeum, unam atque alteram diem, aut omnino unam noctem in area relinquere oportet, & deportare ante ſolis exortum, ut adhuc perfrigeratus fructus in horreum reponatur. Hoc enim multum ad durationem confert.

ΚΕΦ. Κϛ.

Περὶ ἅλωνος κατασκευῆς. Διδύμου.

Τὴν ἅλω ἐφ' ὑψηλοῦ τόπου κατασκευάζειν χρὴ, ἵνα ἑτοίμως τὸν ἄνεμον ὑποδέξηται· καὶ περὶ πάντων παραφυλάττεσθαι δεῖ, μὴ κατὰ ἄνεμον τῶν οἰκημάτων, ἢ τῶν παραδείσων, τάττειν τὴν ἅλω. οἱ γὰρ ἄνεμοι τὴν ἄχνην, (τουτέστι τὰ λεπτὰ τῶν ἀχύρων) ἐπιφέροντες (1) λεληθότως τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων, διακαίουσι τὰς κόρας, ὡς πολλοὺς ἐντεῦθεν ἑνὸς ὀφθαλμοῦ, ἑτέρους δὲ τῶν δύο στερηθῆναι. βλάπτει δὲ τὰ ἄχυρα καὶ τὴν ὀπώραν, καὶ μάλιστα τὰς ἀμπέλους. ὥσπερ γὰρ ἡ κόπρος, οὕτω καὶ τὰ ἄχυρα ταῖς μὲν ῥίζαις συμβάλλεται, τοῖς δὲ κλάδοις καὶ τοῖς φύλλοις βλαβερώτατά εἰσι. βλάπτει δὲ οὐδὲν ἧττον καὶ τὰ λάχανα· προσκαθεζόμενα γὰρ τρυπᾷ τὰ φύλλα, καὶ εὐθέως ταῦτα καίεται τρυπηθέντα. χρὴ δὲ συνεχῶς καταβρέχειν τὴν ἅλω ἀμόργῃ, καὶ ἐπιλεαίνειν τῷ κυλίνδρῳ· οὕτω γὰρ οἱ μύρ-

CAP. XXVI.

De areæ præparatione. Didymi.

AReam in alto loco conſtruere oportet, quo prompte ventum recipiat; præ omnibus vero cavendum eſt ne area ſecundum ventum domorum aut hortorum conſtituatur. Etenim venti tenuiſſima quæque ex paleis citra animadverſionem hominum oculis inferentes pupillas perurunt, ut ex eo multi altero, alii utroque oculo ſint privati. Lædunt autem paleæ etiam fructus autumnales foris non lignoſos, & maxime vites. Quemadmodum enim ſtercus, ſic etiam paleæ, radicibus quidem conferunt, ramulis vero & foliis maxime nocent. Neque vero minus & ipſa olera lædunt; adhærentes enim folia perforant, ſtatimque uruntur perforata. Oportet autem aream aſſidue amurca conſpergere inſuperque cylindro lævigare; ſic enim formicæ

(1) *MSS. F. Long. & Bod.* λεληθότες.

inju-

injuriam non inferent. At vero fruges in area poſitæ, ſectionis ſuæ partem ad meridiem converſam habeant. Erunt enim inde pleniores, faciliuſque tribulis excutientur.

μύρμηκες οὐκ ἀδικήσουσι. τὰ δὲ τιθέμενα ἐπὶ τῷ ἅλῳ γεννήματα, τὴν τομὴν ἐχέτω πρὸς μεσημβρίαν. ἔσται γὰρ (2) πληρέστερα καὶ εὐμαρέστερον ἀλοηθήσεται.

(2) *Ex MSS. V. & Bar. catt.* πληρέστατα.

CAP. XXVII.

De horreo, & de frumenti duratione. Tarentini.

FRumentum probe concluditur in locis ſupra terram, qui lumen ab oriente habent; adſpirent autem loco moderate boreas & favonius, & avertatur ab auſtro & ejuſmodi ventis. Habeat autem frequentes canales per quos & calidus vapor expiret, & aura refrigerans inſpiret. Nec habeat humiditatem aut graveolentiam aliquam, aut halitum injucundum; maxime autem ab equorum & boum ſtabulis aliiſque ejuſmodi, atque omni caliditate procul abſit. Illinantur parietes luto, cui pro paleis pili ſint admixti, deinde argilla alba intus & foris obducantur. Poſt hæc cucumeris ſylveſtris radices & folia ad biduum aqua macerato, & cum aqua calcem arenariam ſubigito, indeque internas partes diligenter oblinito. Quidam etiam ad calcem pecorum urinam admiſcent, ut quæ animalia necet. Sed & teſtaceam calcem quæ pavimento inducitur lotio macerant. Quidam cinerem ſarmentorum quercus eadem de cauſa frumento inſpergunt, alii boum ſtercus aridum, alii abſinthii aut abrotoni arida virgulta imponunt, ampliuſque folia arida ſempervivi. Præſtat autem calcem arenariam amurca ſubigere: Hæc enim & beſtiolas omnes perdit, & fru-

ΚΕΦ. ΚΖ.

Περὶ σιτοβολείου ἤτοι ὡρείου, καὶ διαμονῆς σίτου. Ταραντίνου.

ΚΑλῶς ἀποκλείεται σῖτος ἐν ἀνωγέοις, τὸ φῶς ἀπὸ ἀνατολῆς ἔχουσι· περιπνείσθω δὲ ὁ τόπος μετρίως ἀπὸ βορρᾶ καὶ ζεφύρου, καὶ (1) ἀπεστράφθω νότου καὶ τῶν τοιούτων ἀνέμων. ἐχέτω δὲ πυκνοὺς σωλῆνας, δι' ὧν ἥ τε θερμὴ ἀτμὶς ἐκπνέοι, καὶ αὔρα ψύχουσα εἰσπνέοι. μὴ ἐχέτω δὲ νοτίδα, ἢ δυσωδίαν τινά, ἢ ἀναθυμίασιν ἀηδῆ. μάλιστα δὲ ἱπποστασίων καὶ βουστασίων καὶ τῶν τοιούτων, καὶ πάσης θέρμης πόῤῥω ἔστω. Χριέσθωσαν δὲ οἱ τοῖχοι πηλῷ, μιχθείσης θριξὶν ἀντὶ ἀχύρων, ἔπειτα τῇ λεγομένῃ λευκαργίλλῳ γῇ ἔσωθεν καὶ ἔξωθεν. μετὰ δὲ ταῦτα σικύου ἀγρίου τὰς ῥίζας καὶ τὰ φύλλα ἀποβρέξας εἰς ὕδωρ ἡμέρας δύο, καὶ φυράσας τῷ ὕδατι τὴν καλουμένην ἀμμοκονίαν, ἐπιμελῶς τὰ ἔνδον χρίε. τινὲς δὲ καὶ εἰς τὴν κονίασιν τῶν κτηνῶν οὖρον μιγνύουσιν, ὡς φθοροποιὸν ὑπάρχον τῶν ζώων. καὶ τὴν ὀστρακοκονίαν δὲ τὴν ἐπὶ τοῦ ἐδάφους χεομένην τῷ οὔρῳ βρέχουσι. Τινὲς τέφραν κληματίδων δρυὸς ἐμπάσσουσι τῷ (2) σίτῳ, ἄλλοι δὲ βόλβιτον ξηρόν, τινὲς ἀψινθίου ἢ ἀβροτόνου ξηρὰ κλωνία ἐντιθέασιν, ἔτι γε μὴν καὶ φύλλα ξηρὰ τοῦ ἀειζώου βοτάνης. κάλλιον δὲ τὴν ἀμμοκονίαν ἀμόργῃ βρέχειν. αὕτη γὰρ καὶ πάντα τὰ θηρία διαφ-

(1) *Ita MSS. prius* ἀπεστράφθαι. *antea* ξύλῳ.

(2) *Emend. ope* Caſaub. & MSS.

φθείρει.

φθείρει, καὶ τὸν σῖτον στερεώτερον καὶ πυκνότερον ποιεῖ. διό τινες ἐφ' ἡμισείας τὴν ἀμόργην ἑψήσαντες καταῤῥαίνουσι τοὺς τοίχους, εἶτα ἐάσαντες ξηρανθῆναι, ἀποτίθενται τοὺς καρπούς. Πάντων δὲ κάλλιον γῆν προετοιμάζειν ἐψυγμένην ἀργιλλώδη, ἢ ῥοιῶν φύλλα ξηρὰ καὶ σεσησμένα· καὶ ὅταν ὁ σῖτος ἀποτεθῇ, εἰς ἕκαστον σίτου μέδιμνον ἐμπάσσειν χοίνικα τῆς ἀργιλλώδους γῆς ἢ τῶν φύλλων. χρησιμώτατον δὲ κόνυζαν ἡμίψυχον τῷ ἐδάφει ὑποστρωννύειν τοῦ σίτου, καὶ μετὰ δέκα ἐπιβάλλειν τὴν κόνυζαν, καὶ πάλιν σῖτον ἕως ἂν ἅπας ἀποτεθῇ. ὁ γὰρ οὕτως ἀποτεθεὶς, οὐ μόνον εἰς πολλὰ ἔτη ἄσηπτος διαμένει, ἀλλὰ καὶ ἀποσώζει τὸν αὐτὸν σταθμὸν ἐπὶ τῇ ἀρτοποιΐᾳ. φύσει δὲ ὁ σῖτος παλαιούμενος σφόδρα μελαίνεται, καὶ πικρὸς γίνεται, ὅθεν δεῖται τῆς προειρημένης ἐπιμελείας.

mentum ſolidius ac denſius facit. Quapropter aliqui amurcam ad dimidium decoctam parietibus adſpergunt, atque ubi inaruit fruges reponunt. Omnibus porro præſtat, terram ſiccatam argilloſam, aut mali punicæ folia arida & cribrata, antea præparata habere, & quum frumentum reponitur, ad ſingulos frumenti medimnos, argilloſæ terræ chœnicem, aut foliorum tantundem inſpergere. Utiliſſimum vero conyzam ſemiaridam in pavimentum frumento ſubſternere, & poſt diffuſos decem medimnos rurſus conyzam injicere, & rurſus frumentum ſuperingerere, donec totum reponatur. Quod enim hoc modo repoſitum fuerit, non ſolum in multos annos a putredine immune durat, verum etiam idem pondus ſervabit in panificio. Naturaliter autem frumentum veteraſcens valde nigreſcit & amarum evadit, quare relata cura opus habet.

ΚΕΦ. ΚΗ.

Ὥστε (1) καὶ αὔξησιν λαμβάνειν τὰ ἀποκείμενα ἐν τοῖς (2) ὡρίοις σπέρματα. Ἀφρικανοῦ.

Ὁ Σῖτος (3) ἐπίμετρον ποιήσει οὕτως· νίτρον καὶ ἀφρόνιτρον λειώσας, καὶ ἀναμίξας γῇ λεπτῇ, ἐπίβαλλε τοῖς σωροῖς. φυλάξει δὲ αὐτοὺς καὶ ἀκόπους τὸ τοιοῦτον. (4) [ἔνιοι δὲ τὸ νίτρον καὶ τὸ ἀφρόνιτρον μετὰ ὄξους λειώσουσιν.]

CAP. XXVIII.

Ut augeantur repoſita in horreis ſemina. Africani.

FRumentum ſupra menſuram augmentum ſumet hoc modo; nitrum & ſpumam nitri terito, & tenui terræ admiſceto, & acervis adjicito. Eadem res etiam integrum & illæſum frumentum ſervabit.

(1) *Ex MSS.* (2) *MS.* F. ἀρείοις. Long. & B. 2. ὡρίοις. *Dominus* Barnes *legit* ὀῤῥέοις. (3) *Male ante disjunct.* ἐπὶ μέτρον. (4) *Hac non comparent in MSS.*

CAP. XXIX.

Ne formicæ frumentarios acervos contingant.
Sotionis.

FOrmicæ ſemina non contingent, ſi acervum terra alba circumſcripſeris, aut origanum ſylveſtre circumpoſueris.

ΚΕΦ. ΚΘ.

Ὥστε μύρμηκας μὴ ἅπτεσθαι σωροῦ γεννημάτων.
Σωτίωνος.

ΜΥρμηκες σωροῦ (1) γεννημάτων οὐχ ἅπτονται, ἐὰν τὸν σωρὸν γῇ λευκῇ περιγράψῃς, ἢ ἄγριον ὀρίγανον (2) περιθῇς.

(1) *Reſtitui ex Cod.* Bar. (2) *Ita* Caſ. *&* MSS. *prius* περιθήσων.

CAP. XXX.

De hordei diuturnitate, & quomodo integrum in horreis conſervetur ad multum tempus.
Damogerontis.

HOrdeum incolume ſervabunt lauri fertilis folia ſicca, & omnis cinis, præſertim a lauri ligno, impoſitus. Similiter ſervat hordeum ſempervivum ſiccatum cum calamintha, & una cum gypſo hordeo admixta. Quidam vas aceto plenum & tectum operculo, in medio hordei ponunt. Verum noſſe oportet hordeum veteraſcens amarum fieri.

ΚΕΦ. Λ.

Περὶ διαμονῆς κριθῶν, ὥστε ταύτας ὑγιεῖς ἐν τοῖς ὡρείοις φυλάττεσθαι ἐπὶ πλεῖστον χρόνον.
(1) Δαμογέροντος.

ΤΗροῦσι τὰς κριθὰς ἀβλαβεῖς δάφνης καρποφόρου φύλλα ξηρά, καὶ πᾶσα τέφρα, μάλιστα δὲ ἡ ἀπὸ τῶν ξύλων τῆς δάφνης, ἐντιθεμένη. ὁμοίως δὲ τὰς κριθὰς καὶ ἡ ἀείζωος βοτάνη ξηραινομένη, καὶ μετὰ καλαμίνθης σὺν γύψῳ ἀναμιγνυμένη ταῖς κριθαῖς. ἔνιοι δὲ ὄξους ἀγγεῖον πληρώσαντες, καὶ πωμάσαντες, ἐν μέσῳ τιθέασι τῶν κριθῶν. εἰδέναι δὲ χρή, ὅτι αἱ κριθαὶ παλαιούμεναι, πικραὶ γίνονται.

(1) *Ita MSS.* F.L. *&* B. 2. *antea* Δημηγ.

CAP. XXXI.

De farinæ diuturnitate.
Ejuſdem.

FArina incolumis permanet, tedis pinguibus contuſis & in ipſas injectis. Quidam vero cuminum & ſalem ex æquo terentes, & mazas ſiccas inde facientes, in farinam imponunt.

ΚΕΦ. ΛΑ.

Περὶ διαμονῆς ἀλεύρου.
Τοῦ Αὐτοῦ.

ΤΑ ἄλευρα ἀβλαβῆ διαμένει ἐπὶ χρόνον, (1) δᾳδίων λιπαρῶν συγκοπέντων καὶ ἐμβληθέντων εἰς αὐτά. Τινὲς δὲ κύμινον καὶ ἅλας ἐξ ἴσου τρίψαντες, καὶ μάζας ποιήσαντες ξηράς, ἐντιθέασιν εἰς τὰ ἄλευρα.

(1) *Reſtit. ex MSS. prior Edit.* δαλίων.

ΚΕΦ. ΛΒ.

Περὶ σίτου δοκιμασίας, καὶ πῶς δεῖ τὸ (a) ἑξάγιον τῶν ἄρτων ποιεῖσθαι. Φλωρεντίνου.

ΤΟν ἀφθαρτον σῖτον ἐπιμελῶς καθαρίσας καὶ σήσας, στάθμισον, καὶ εἰ εὕρῃς ἔχοντα τὸ μόδιον (1) λίτρας μ'. τὰς αὐτὰς λίτρας ἀπαίτει τοῦ ἄρτου. ὅσον γὰρ ἀπὸ τῆς τῶν πιτύρων ἀφαιρέσεως μειωθήσεται, τοσοῦτον τὸ ἐν τῇ ἀλέσει καὶ λοιπῇ ἐργασίᾳ καταῤῥανθὲν ὕδωρ (2) ἀποσώσει. Ἡ δὲ τοῦ ἄρτου ὄπτησις τοῦ σταθμοῦ ἀφαιρεῖται τὸ δέκατον καὶ εἰκοστὸν, ὥστε ἐν τῇ ὀπτήσει ἐλαττοῦσθαι ἐν ταῖς δέκα, λίτραν μίαν ἥμισυ. τὸν αὐτὸν δὲ σταθμὸν, διὰ τὴν ὄπτησιν ἀφαιρεῖν χρὴ, ἐπὶ τῶν καθαρῶν, καὶ ἐπὶ τῶν (3) δευτερείων ἄρτων.

CAP. XXXII.

De frumenti probatione, & quomodo æquilibrem panis ad frumentum penſitationem facere oportet. Florentini.

FRumentum integrum diligenter purgatum ac cribratum ad libram expendito, & ſi repereris modium pendere libras quadraginta, eaſdem libras panis exigito. Quantū enim ex furfurum detractione decedet, tantum in molitura & reliquo opificio adſperſa aqua addet. Cæterum ipſa panis coctio decimam & vigeſimam ponderis partem aufert, quare inter coquendum de decem libris una cum dimidia decedet. Idem autem pondus propter coctionem detrahere oportet, tum in puris, tum in ſecundariis panibus.

(a) Du Freſne *in Gloſſ.* Ἑξάγιον. Sextula, ponderis ſpecies. *Apud* Meurſium *in Gloſſario.* Ἑξάγιον. Penſatio. *ubi plura de hac voce.*

(1) *Ita MSS. prius male* μλ'. *nullo ſenſu.* (2) *Interp. legit* ἀποδώσει addet *vel* reddet. Ἀποσώσει *leg.* *ſupra cap.* 27. (3) *Ante* δευτερείων.

ΚΕΦ. ΛΓ.

Πῶς ἐστιν ἄρτον ἡδύτατον καὶ δίχα ζύμης ποιῆσαι. Διδύμου.

ΑΡτον ποιοῦσί τινες ἄνευ ζύμης, νίτρον ἐμβάλλοντες. τὸ γὰρ νίτρον ψαθυρωτέρους ποιεῖ τοὺς ἄρτους, ὥσπερ καὶ τὸ κρέας. Ἄλλοι δὲ ἀρτοποιοῦσι δίχα ζύμης, οὕτως· σταφυλὰς πρὸ μιᾶς ἡμέρας τοῦ ἀρτοποιεῖν (1) βαλόντες εἰς ὕδωρ, τῇ ἑξῆς τὰς ἐπιπλεούσας ἄραντες συμ-

CAP. XXXIII.

Quomodo panis jucundiſſimus etiam citra fermentum fiat. Didymi.

QUidam panem citra fermentum faciunt, nitrum adjicientes. Etenim nitrum panes friabiliores facit, velut etiam carnem. Alii abſque fermento panem ſic faciunt: Uvas pridie quam panem faciant in aquam conjiciunt, & ſequenti die innatantes tollunt ac exprimunt, effluentique

(1) *Ita MSS. in* Bar. *hæc ita leg.* Οὕτω, πρὸ μιᾶς ἡμέρας τοῦ ἀρτοποιεῖν σταφυλὰς εἰς ὕδωρ ἐμβάλλοντες.

humore

humore pro fermento utuntur: & panes faciunt jucundiores & puriores. Si vero in totum annum fermentum habere velis, quum in doliis muſtum ebullierit, ſpumoſum illud quod efſervet cum farina milii commiſceto, diligenterque trita in mazas cogito, quas ad ſolem ſiccatas in humido loco repone, & inde ſufficienti accepta quantitate pro fermento utere. Omnes autem panes abſque fermento facti, efficaciſſimi ſunt ad venerem ſtimulandam. Cæterum Florentinus ait, clibanitem panem, graciliter efformatum, & in ſole ſiccatum facile concoqui: verum in furnis coctum, graviorem concoctionem reddere.

πέζουσι, καὶ τῇ ῥυείσῃ νοτίδι ἀντὶ ζύμης χρῶνται, καὶ ποιοῦσι τοὺς ἄρτους ἡδίους καὶ λαμπροτέρους. εἰ δὲ θέλεις εἰς ἔτος ὅλον εἶναι ζύμην, ὅταν ἐν τοῖς πίθοις τὸ γλεῦκος ἀναζέσῃ, λαβὼν τὸ ἀναζέον ἀφρῶδες, φύρασον μετὰ ἀλεύρου κέγχρου, καὶ τρίψας ἐπιμελῶς, καὶ ποιήσας μάζας, ξήρανον ἡλίῳ, καὶ ἀπόθου ἐν νοτερῷ τόπῳ, καὶ ἐξ αὐτοῦ λάμβανε τὸ ἀρκοῦν, καὶ χρῶ ἀντὶ ζύμης. (2) Πάντες δὲ οἱ ἄρτοι ἄνευ ζύμης γινόμενοι, ἐνεργητικώτατοί εἰσι πρὸς τὰ ἀφροδίσια. ὁ δὲ Φλωρεντῖνός φησι, τὸν κλιβανίτην ἄρτον ἰσχνῶς πεπλασμένον, καὶ ἐν ἡλίῳ ἐξηραμμένον, εὔπεπτον εἶναι· τὸν δὲ ἐν τοῖς ἴπνοις ἠψημένον, βαρυτέραν τὴν πέψιν ποιεῖν.

(2) *Ita MSS. prius* πάντῃ γάρ.

CAP. XXXIV.

De Ptiſana. Didymi.

HOrdeum decorticatum in ſole ſiccato, rurſuſque piſtum ad ſolem ſiccato. Ubi autem reponere ipſum voles, id quod ex ipſo tenue in piſendo deceſſit, ei aſpergito, hoc enim ipſum conſervat. Quod vero ptiſana humidior accepta maxime nutriat, retulit Florentinus.

ΚΕΦ. ΛΔ.

Περὶ πτισανῶν. Διδύμου.

ΤΗν κριθὴν πτίσας, ξήρανον ἐν ἡλίῳ, καὶ αὖθις πτίσας ξήρανον ἐν ἡλίῳ. ἀποτιθέμενος δὲ αὐτὴν, παρέμπαττε αὐτῇ τὸ γινόμενον ἐξ αὐτῆς λεπτὸν ἐν ταῖς πτίσεσι, διατηρήσει γὰρ αὐτήν. ὅτι ἡ πτισάνη ὑγροτέρα λαμβανομένη τροφιμωτάτη ἐστὶν, εἴρηται τῷ Φλωρεντίνῳ.

CAP. XXXV.

De fabis. Ejuſdem.

FAbæ ſemen cave ne ponas circa arboris radicem, ne arbor areſcat. Oportet autē fabas ſerotinas plantare, gaudent enim lutoſa terra. Quo vero commode coquantur, pridie quam conſeras ipſas in aqua nitrata macerato. Cæterum Phyſici aiunt fabas

ΚΕΦ. ΛΕ.

Περὶ κυάμων. Τοῦ Αὐτοῦ.

ΣΠέρμα κυάμου φυλάττου τιθέναι (1) παρὰ ῥίζαν δένδρου, ἵνα μὴ ξηρανθῇ τὸ δένδρον. δεῖ δὲ τοὺς κυάμους ὀψίμους φυτεύειν, χαίρουσι γὰρ τῇ πηλώδει γῇ. ἵνα καλοὶ πρὸς τὴν ἕψησιν ὦσιν, πρὸ μιᾶς ἡμέρας τοῦ σπείρειν, βρέχε αὐτοὺς ὕδατι μετὰ

(1) *MS.* Bar. περὶ.

νίτρου. Οἱ δὲ (a) φυσικοί φασι τοὺς κυάμους (2) ἀμβλύνειν τὰς καρδίας τῶν ἐσθιόντων αὐτούς. διὸ καὶ ἐμποδίζειν ταῖς εὐθυονειρίαις νομίζονται, εἰσὶ γὰρ πνευματώδεις. φασὶ δὲ καὶ τὰς κατοικιδίους ὄρνεις συνεχῶς αὐτοὺς ἐσθιούσας, ἀτόκους γίνεσθαι. τοὺς δὲ κυάμους ὁ (b) Πυθαγόρας φησὶ μὴ χρῆναι ἐσθίειν, διὰ τὸ καὶ ἐν τῷ ἄνθει αὐτῶν εὑρίσκεσθαι πένθιμα γράμματα. (c) φασὶ δὲ τὸν κύαμον ἐκβρωθέντα, ἀναπληροῦσθαι πάλιν τῆς σελήνης αὐξουμένης. τοῦτον δὲ ἐν ἁλμυρῷ ὕδατι μηδέποτε ἑψεῖσθαι, ὅθεν οὐδὲ ἐν θαλαττίῳ. πρῶτος δὲ ἀπέχετο κυάμων Ἀμφιάραος, διὰ τὴν δι' ὀνείρων μαντείαν. Φέρεται δὲ καὶ (d) Ὀρφέως τοιάδε ἔπη.

hebetare corda eorum qui eis veſcuntur. Quare & recta ſomnia impedire eas putant, ſunt enim flatuoſæ. Aiunt & domeſticas gallinas ex aſſiduo ipſarum eſu ſteriles fieri. At vero fabas edere non oportere, Pythagoras ait, propterea quod in flore ipſarum lugubres literæ reperiantur. Tradunt autem fabam eroſam rurſus expleri luna augeſcente. Eandem etiam in ſalſa aqua nunquam coqui, unde neque in marina. Primus a fabis abſtinuit Amphiaraus, vaticinationis per ſomnia gratia. Circumferuntur etiam Orphei verſus hujuſmodi.

(a) Οἱ δὲ φυσικοί φασι] *Eadem tradidit totidem pene verbis* Plinius *Lib.* 18. *Pag.* 472. " *Quin &* (inquit) *priſco ritu fabacia ſuæ religionis Diis* " *in ſacro eſt, prævalens pulmentari cibo & hebetare ſenſus exiſtimata, in-* " *ſomnia quoque facere.* Suidas *in* Pythagora *hujuſce Pythagoreorum ſymboli rationem explicat.* Τῶν δὲ κυάμων ἀπέχεσθαι, διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυχικοῦ, καὶ ἄλλως κοσμιωτέρας ἀπεργάζεσθαι μὴ παραληφθέντας τὰς γαστέρας· καὶ διὰ τοῦτο καὶ τὰς καθ' ὕπνους φαντασίας λείας τε καὶ ἀταράχους ἀποτελεῖν. i. e. *A fabis autem abſtinendum eſſe cenſebat, quod flatuoſæ ſint, & animalis facultatis maxime participes, & alioqui non aſſumptas ventres modeſtiores efficere, & propterea ſomniorum viſa lenia & placida reddere. Vide* Tullium *Lib.* 1. *de Divin.*

(2) *Ita* Caſ. *& MSS. antea* ἀμβρύνειν.

(b) Πυθαγόρας φησὶ] Plinius *ibid.* " *Ob hæc Pythagorica ſententia dam-* " *nata: ut alii tradidere, quoniam mortuorum animæ ſint in ea. Qua* " *de cauſa parentando ubique aſſumitur. Varro & ob hæc Flaminem ea* " *non veſci tradit, & quoniam in flore ejus literæ lugubres reperiantur.* Feſtus Pompeius *etiam de faba.*---" *parentalibus adhibetur ſacrificiis, &* " *in flore ejus literæ apparere videntur. His contraria tradit* Agellius *ex* Ariſtoxeno *muſico, qui in ſcriptis reliquit nullo legumento plus uſum* Pythagoram, *quam fabis, & abſtinentiæ fabulam debito riſu excipit.*

(c) Φασὶ δὲ] *Ita* Plinius.---" *ſola certe frugum etiam exeſa repletur cre-* " *ſcente Luna.*

(d) Ὀρφέως] *Fallitur* Didymus: *Hunc enim verſum ad Empedoclem, non Orpheum, referri debere, abunde liquet ex* Agellio *Lib.* 4. *Cap.* 11. *Qui errorem de non eſitato* κυάμῳ *ex hoc verſu, perperam intellecto, ortum aſſerit; cum* κύαμοι *hoc loco, non legumentum, ſed teſticulos ſignificet, eoſque, more Pythagoreo, ſymbolice ita dictos, quod ſint* αἴτιοι τοῦ κύειν. *Idcircoque in iſto Empedoclis verſu, non ut a fabis edendis, ſed proluvio Venereo abſtineant, homines moneri. Vid.* Diog. Laertium, *Lib.* 8. *Sect.* 24, 34.

O miſeri

O miſeri, a fabis miſeri abſtinete manus. Et,

Par facinus fabis veſci, atque capitibus parentum.

Porro fabæ marina aqua & magudaris cremore reſperſæ, integræ permanebunt.

(3) Δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθε, Καί,

Ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων.

Οἱ δὲ κύαμοι θαλαττίῳ ὕδατι καταῤῥανθέντες, ἄσηπτοι ἔσονται. ὁμοίως καὶ μαγυδάρεως ἀποβρέγματι.

(3) *Ita legend. ex* Agellio *&* Euſtathio. *apud* Athenæum *Lib.* 2. *verſus* 2. *ſcribitur,* Ἶσόν τοι κυάμους τρώγειν. *ad quem locum vide* Caſaub. *pag.* 84.

CAP. XXXVI.

De cicere. Florentini.

SI pridie quam ſeminaturus es cicer aqua tepida maceraveris, majus naſcetur. Quorundam magis exquiſita cura eſt, qui majus cicer eſſe volentes, una cum corticibus præmaceratum, addito in aquam nitro, ſerunt. Quod ſi præcox cicer facere velis, ipſum circa hordei tempus ſeminato. Quo vero maturum nemo comedere poſſit, cucumeris ſylveſtris & abſinthii ſeminibus aqua tritis, per dies quinque ſub diluculum irrorato. Etenim ros per quinque rurſus dies eluit omnem ex ipſo amaritudinem.

ΚΕΦ. ΛϚ.

Περὶ ἐρεβίνθων. Φλωρεντίνου.

ΕΑν πρὸ μιᾶς ἡμέρας τοῦ σπόρου ὕδατι χλιαρῷ βρέξῃς τοὺς ἐρεβίνθους, μείζονες φύονται. τινὲς δὲ περιεργότερον ποιοῦντες, πολλῷ μείζους εἶναι τοὺς ἐρεβίνθους βουλόμενοι, σὺν τοῖς κελύφεσιν αὐτοὺς ὁμοίως προβεβρεγμένους μετὰ νίτρου σπείρουσιν. εἰ δὲ βούλει πρωΐμους αὐτοὺς ποιῆσαι, σπεῖρον αὐτοὺς κατὰ τὸν καιρὸν τῶν κριθῶν. ἵνα δὲ ἀκμάζοντας μηδεὶς δύνηται φαγεῖν, σικύου ἀγρίου καὶ ἀψινθίου (1) σπέρμασι λειωθεῖσι μεθ᾽ ὕδατος, κατὰ πέντε ἡμέρας ὄρθρου ἐπίῤῥαινε. ἡ γὰρ δρόσος ἐκπλύνει τὴν πικρότητα δι᾽ ἡμερῶν (2) πάλιν πέντε.

(1) *Ita legend. cenſeo: in priori Edit. & MSS.* σπέρματι λειωθείσῃ.
(2) *Revocavi ex MSS.*

CAP. XXXVII.

De lente. Ejuſdem.

LEntes bubulo ſtercore arido ante ſementem oblitæ, meliores & citius naſcentur. Lens in vaginis major fit, ſi aqua tepida addito nitro macerata ſeratur. Putredinis expers permanet, aceto laſeris ſuccum ad-

ΚΕΦ. ΛΖ.

Περὶ (1) Φακῆς. Τοῦ Αὐτοῦ.

ΦΑκοὶ βολβίτοις ξηροῖς, τουτέστι βοείᾳ κόπρῳ πρὸ τοῦ σπόρου περιπλασθέντες, καλλίονες καὶ ταχύτερον (2) φυήσονται. μείζων γίνεται ἡ φακὴ ἐν ταῖς θήκαις, προβρεχεῖσα χλιαρῷ ὕδατι μετὰ νίτρου σπειρομένη.

(1) Bar. φακοῦ. (2) *Ita MSS. In Cotton.* φύσονται.

ἄσηπτος

ἄσηπτος δὲ διαμένει, ὄξει ὀπὸν ἔχοντι ἐπιῤῥανθεῖσα. ἡ δὲ (a) Αἰγυπτία φακῆ, εὐθυμίαν παρέχει τοῖς ἐσθίουσι.

mixtum habente conſperſa. Ægyptia lens in cibo accepta lætitiam affert.

(a) Αἰγυπτία φακῆ] Plinius *de lente.* " *Invenio apud authores æqua-*
" *nimitatem fieri veſcentibus ea.*

ΚΕΦ. ΛΗ.

Περὶ κέγχρου. Τοῦ Αὐτοῦ.

Ἡ Κέγχρος χαίρει γῇ ἰλυώδει καὶ νοτερᾷ, καὶ ἀμμώδει ἐὰν ἄρδηται πυκνότερον. ὀλίγον δὲ αὐτῆς σπέρμα, ἅπαν πληροῖ τὸ χωρίον. σκάλλεσθαι δὲ καὶ βοτανίζεσθαι συνεχῶς βούλεται. σπείρεται δὲ ἀπὸ ἰσημερίας, ἥτις ἐστὶ περὶ θ΄. καλανδῶν Ἀπριλλίων. Ἐὰν δὲ συμβῇ πυκνότερον σπαρῆναι, βλάψει. τὸ γὰρ πλέθρον πλέον χειροπληθοῦς οὐκ ἂν δέξηται. ἐν τῷ σκάλλειν οὖν χρὴ παρατίλλεσθαι. οὕτω γὰρ ἐπιμεληθὲν τὸ πλέθρον, ἐνέγκοι μοδίους ἀναμφισβητήτως τεσσαράκοντα.

CAP. XXXVIII.

De milio. Ejuſdem.

MIlium limoſa & humida terrâ gaudet, arenoſa etiam ſi frequentius rigetur. Modicum autem ejus ſemen, totum replet agrum. Verum ſarriri & runcari aſſidue expetit. Seminatur ab æquinoctio, quod eſt ad nonum calendas Apriles. Si vero denſius ſeminetur, nocebit. Jugerum enim amplius quam manus plenæ menſuram non ſuſcipit. Quare in ſarriendo ipſum evellere oportet; hoc enim modo tractatum jugerum certe feret modios quadraginta.

ΚΕΦ. ΛΘ.

Περὶ θέρμων. (1) Τοῦ Αὐτοῦ.

Θέρμους σπείρειν χρὴ πρὸ τῶν ἄλλων, μετὰ ἰσημερίαν μετοπωρινήν, μὴ ἀναμένοντας ὄμβρους. πρὸ δὲ τοῦ ἀνθεῖν εἰσέλαυνε τὰς βοῦς, καταβοσκηθήσονται γὰρ πᾶσαν τὴν ἄλλην βοτάνην, αὐτῶν δὲ οὐχ ἅψονται ὡς πικρῶν. (a) Ἀπουλήϊος δέ φησιν, ὅτι ἑκάστῃ ἡμέρᾳ συμπεριάγονται τῷ ἡλίῳ, καὶ τὰς ὥρας τοῖς ἀγροίκοις τῆς ἡμέρας δηλοῦσι, κἂν συννεφής ἐστιν ὁ ἀήρ. (2) γλυκά-

CAP. XXXIX.

De lupino. Ejuſdem.

LUpinum ante alia legumina ſerere oportet poſt æquinoctium autumni, non expectatis imbribus. Priuſquam floreſcat, boves in ipſum agito, omnem enim aliam herbam depaſcent, ipſum lupinum autem non attingent, utpote amarum. Apuleius ait, quod ſingulis diebus circumagatur cum ſole, & ruralibus horas diei indicet, e-

(1) *MSS.* V. F. L. *&* B. 2. *non agnoſcunt.*

(a) Ἀπουλήϊος δέ φησι---] *Apuleio ſuffragatur* Plinius *Lib.* 18. *Sect.* 36.
" *Primum omnium cum ſole quotidie circumagitur, horaſque agricolis e-*
" *tiam nubilo demonſtrat. &* Sect. 67. *Dedi* (inquit) *tibi herbas hora-*
" *rum indices, & ut ne ſole quidem a terra oculos tuos avoces, heliotropium*
" *ac lupinum circumaguntur cum illo.*

(2) *Ita legend. prius* γλυκύζονται.

tiam

tiam ſi nubilus ſit aer. Dulce fit aqua marina & fluviali ad triduum maceratum: Ubi vero cœperit dulceſcere, ſiccatur & reponitur, pecoribuſque cum paleis pabuli loco datur. Farina hordei aut frumenti admixta, panificio eſt aptum. Eſt autem in imbecillem terram ſeminandum, neque opus habet ſtercore, ipſum enim terræ ſtercoris loco eſt; Nam omnem debilem terram in poſterum fertilem facit; floret ter. Metitur poſt pluviam, arefactum enim ex vaginis exiliens perit. Tritum & umbilicis impoſitum lumbricos expellit. Seratur autem non in altum, nam & neglectum floret, velut capparis. Fugit autem ſi quem ſentiat colentem agrum.

ζονται δὲ οἱ θέρμοι ἀποβρεχόμενοι θαλαττίῳ ὕδατι καὶ ποταμίῳ ἐπὶ ἡμέρας τρεῖς· ἀρξάμενοι δὲ γλυκεῖς γίνεσθαι, ξηραινόμενοι καὶ ἀποτιθέμενοι, τοῖς κτήνεσι μετὰ ἀχύρων δίδονται εἰς τροφήν. εἰς δὲ τὰς ἀρτοποιΐας, κριθίνου ἀλεύρου ἢ σιτίνου μιγνυμένου, (3) ἄρτοι γίνονται ἐπιτήδειοι. Θέρμους εἰς τὴν ἀσθενῆ γῆν σπαρτέον, καὶ οὐ δέονται κόπρου, αὐτοὶ γὰρ γίνονται (4) αὐτῆς κοπρισμός. πᾶσαν γὰρ ἄτονον γῆν κοπρίζουσι, καὶ ποιοῦσιν αὐτὴν εἰς τὸ μέλλον εὐφορεῖν· ἀνθοῦσι δὲ τρίτον. δεῖ δὲ αὐτοὺς θερίζειν μετὰ βροχήν, ξηραινόμενοι γὰρ ἐκ τῶν θηκῶν (5) ἐκπηδῶντες ἀπόλλυνται. (b) τοῖς (6) ὀμφαλοῖς λειωθέντες καὶ ἐπιτιθέμενοι, τοὺς ἕλμινθας ἐκβάλλουσι. σπειρέσθωσαν δὲ μὴ εἰς βάθος, καὶ ἀμελούμενοι θάλλουσιν, ὥσπερ ἡ κάππαρις. φεύγουσι δὲ, ἐάν τινα (7) αἴσθωνται ἐργαζόμενον τὴν χώραν.

(3) *Hæc vocula delend.* (4) *MSS.* V. F. L. *&* B. 2. αὐτοῖς. Cott. *& Int. ut in textu.* (5) *Ita legend. ex MSS. antea male* ἐκπηδῶντες, καὶ ἀπόλλ.

(b) Τοῖς ὀμφαλοῖς-] *Emendationem hancce noſtram firmant quæ a* Plinio *afferuntur Lib.*18. *Sect.* 36. " *quando etiam puerorum ventribus impoſi-* " *tum pro remedio eſt. Et quæ a* Marcello Empirico. " *Farina Lupinorum decocta ex aqua, & more cataplaſmatis ventri impoſita lumbricos vel tineas necat.*

(6) *Cum Interp. ſic lego, prius nullo ſenſu* ὀφθαλμοῖς, *quod miror, alias ſagaciſſimum,* Caſaub. *non vidiſſe.* (7) *Emend. ex MSS. ante* ἔσθονται ἐργαζόμενοι.

CAP. XL.

De omnibus leguminibus, & cannabe & lino. Quintiliorum.

LEgumina in ſubarido ſolo ſeri gaudent, præter fabas: Hæ enim locis humidis & humorem retinentibus gaudent. Cannabis autem cavis locis delectatur, & ſemper humidis. Seritur ab Arcturi exortu, qui eſt ad quartum calendas Martias, uſque ad

ΚΕΦ. Μ.

Περὶ πάντων ὀσπρίων, καὶ καννάβεως καὶ λίνου. Τῶν Κυιντιλίων.

ΤΑ ὄσπρια χαίρει ἐν καταξήρῳ γῇ σπείρεσθαι, πλὴν κυάμων· οὗτοι γὰρ καθύγροις καὶ ἰκμάδα ἔχουσι τόποις χαίρουσι. κάνναβις δὲ κοίλοις τόποις χαίρει, καὶ διαπαντὸς ἐνίκμοις. σπείρεται δὲ ἀπὸ Ἀρκτούρου ἐπιτολῆς, ἥτις ἐστὶ πρὸ τεσσάρων

(1) καλανδῶν Μαρτίων, ἕως ἐαρινῆς ἰσημερίας, ἥτις ἐστὶ πρὸ θ΄. καλανδῶν Ἀπριλλίων. καὶ λίνον δὲ ὁμοίως τοῖς ἰλυώδεσι χαίρει τόποις, σπείρεται δὲ ἀπὸ ἰσημερίας μετοπωρινῆς ἕως (2) Ἀρκτούρου ἐπιτολῆς, ἥτις ἐστὶ πρὸ μιᾶς νόννων Ἰανουαρίων.

æquinoctium vernum, quod eſt ad nonum calendas Apriles. Linum ſimiliter lutoſis locis gaudet, ſeritur autem ab æquinoctio autumnali, uſque ad Arcturi exortum, qui eſt pridie nonas Januarii.

(1) *Supplevi ex MSS.* F. *Cott.* L. *&* B. 2. *Confer. Cap.* 9um. *Lib.* 1. *Antea* πρὸ τεσσάρων καλανδῶν Ἀπριλλίων. (2) *Hæc* περικοπὴ *mihi ſuſpecta; MSS. ut in textu.*

ΚΕΦ. ΜΑ.

Ὥστε ῥᾳδίως ἑψεῖσθαι τὰ μέλλοντα σπείρεσθαι ὄσπρια. Δημοκρίτου.

Ἐν τῷ σπείρειν, σὺν τῇ κόπρῳ καὶ νίτρον μικτέον· οὕτω γὰρ ἕτοιμα πρὸς τὴν ἕψησιν αὐτὰ ποιήσεις. εἰ δὲ μὴ ἔτυχες τοῦτο πεποιηκὼς, βούλει δὲ τὰ ὄσπρια συντόμως ἑψηθῆναι, ἔμβαλε εἰς τὴν χύτραν ὀλίγον σίνηπι, καὶ εὐθέως (1) λυθήσονται τὰ ἑψόμενα, εἴτε κρέας, εἴτε ὄσπρια εἴη. ἐὰν δὲ ἐπὶ πλεῖον σίνηπι βάλῃς, παντελῶς λυόμενα ἀφανισθήσεται.

CAP. XLI.

Ut facile coquantur legumina quæ ſeminanda ſunt. Democriti.

INter ſeminandum ſtercori & nitrum admiſcebis; ſic enim apta ipſa ad cocturam facies. Quod ſi non ſuccedat ubi hoc feceris, veliſque legumina cito coqui, parum ſinapis in ollam injice, & ſtatim quæ coquuntur diſſolventur, ſive carnem, ſive legumina coxeris. Si vero plus ſinapis injeceris, penitus diſſoluta evaneſcent.

(1) *In MSS.* λυθήσεται τὰ ἑψούμενα.

ΚΕΦ. ΜΒ.

Περὶ λέοντος βοτάνης, ἣν καὶ ὀροβάγχην καλοῦσι. Σωτίωνος.

Ὁ Ὀσπρολέων, ὃν τινες ὀροβάγχην καλοῦσιν, οὐκ ἀνελεύσεται ἐν ταῖς ἀρούραις, εἰ ἐν ταῖς γωνίαις τέσσαρσι, καὶ ἐν μέσῳ τῆς ἀρούρας ἐμπήξειας ῥοδοδάφνης κλάδους. τοῦτο δὲ πάντα τὰ ὄσπρια ἀσινῆ φυλάξει. εἰ δὲ θέλεις μηδ᾽ ὅλως φανῆναι ταύτην τὴν βοτάνην, λαβὼν πέντε ὄστρακα, ζωγράφησον ἐν αὐτοῖς ἀπὸ (1) κρηταρίου, ἢ ἀπὸ ἄλλου τινὸς λευκοῦ,

CAP. XLII.

De herba leone, quam & orobanchen vocant. Sotionis.

LEguminum leo, orobanche appellatus, non proveniet in arvis, ſi in quatuor angulis, & in medio arvo rhododaphnes ramulos infixeris. Hoc autem omnia legumina incolumia ſervabit. Si vero velis hanc herbam omnino non apparere, quinque teſtas accipito, & in ipſis creta,

(1) *Ita lego: quamvis &* κελτάριον *apud* Du Freſne *compareat.*

aut

aut alio aliquo albo colore, Herculem leonem ſuffocantem pingito, eaſque ad quatuor angulos & in medium arvi deponito. Reperitur & alia cura phyſica & per contrariam affectionem medelam afferens, cui etiam Democritus teſtimonium præbet. Virgo nubilis, nuda corpus & pedes, citra omnem penitus amictum, ſolutis crinibus, gallum in manibus habens, agrum circumeat, & herba leo ſtatim decedit, legumina vero meliora ſiunt, fortaſſis etiam hac herba leone gallum timente. Quidam experientia edocti, ſanguine galli ea quæ ſeminaturi ſumus reſpergere conſulunt, ne a leone herba lædantur. Quidam in teſta Jabo depingunt, eamque in medio agri adobruunt. Cæterum cavendum eſt, ne quæ ſeminantur legumina cornua bovis contingant, ſterilia enim ac vilia ejuſmodi proveniunt.

τὸν Ἡρακλέα πνίγοντα λέοντα, καὶ ἀπόθου ἐν ταῖς γωνίαις, καὶ κατὰ μέσου. θεραπεία οὖν εὑρίσκεται ἑτέρα φυσικὴ καὶ (2) ἀντιπαθὴς, ᾗ καὶ Δημόκριτος μαρτυρεῖ, (3) λέγων, ὅτι ἐπεὶ λέων ὁ θὴρ πτοεῖται τὸν ἀλέκτορα ἰδὼν αὐτὸν, καὶ συστέλλεται, οὕτως ἐὰν τις λάβῃ μετὰ θάῤῥους τὸν ἀλεκτρυόνα ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ περιέλθῃ τὸ χωρίον, εὐθέως χωρίζεται μὲν ἡ λεόντειος πόα, τὰ δὲ ὄσπρια κρείττονα γίνεται, (4) ὡς τῆς βοτάνης ταύτης τοῦ λέοντος τὸν ἀλεκτρυόνα φοβουμένης. Τινὲς δὲ (5) πεῖραν παραλαβόντες, βούλονται αἵματι ἀλεκτρυόνος καταῤῥαίνειν τὰ μέλλοντα σπείρεσθαι, καὶ οὐ βλαβήσεται ὑπὸ λεοντείας βοτάνης. Τινὲς δὲ ζωγραφοῦσι (a) ...., καὶ καταχωννύουσι τὸ ὄστρακον † μέσον τῆς ἀρούρας. παραφυλάττειν δὲ χρὴ, ἵνα μὴ τὰ σπειρόμενα ὄσπρια τῷ κέρατι τοῦ βοὸς ἐπιψαύσῃ. ἄφορα γὰρ καὶ (6) εὐτελῆ τὰ τοιαῦτα γίνεται.

(2) *Ex MSS. &* Caſ. *antea* αὐτοπαθής. (3) *His longe diverſa exhibent MSS.* V. F. L. B. 2. Cott. *&* Interp.——μαρτυρεῖ. Παρθένος ὡραία (V. αἷμα) ἔχουσα γάμου, ἀνυπόδητος, (V. οὖσα) γυμνὴ, μηδὲν καθόλου περικειμένη, λελυμένας (V. λελυμένη) τὰς τρίχας, ἀλεκτρυόνα ἐν ταῖς χερσὶν ἔχουσα, περιελθέτω τὸ χωρίον, καὶ εὐθέως χωρ----. *Conſenſui & auctoritati MSS. morem aliquatenus gerens hujus Lect. ſenſum in Verſ. expreſſi, prioris autem Edit. textum retinui. Utra Lect. potior ſit, videant Eruditi.* (4) *MSS. & Interp. habent* ἴσως καὶ τῆς. (5) *MSS.* F. L. *&* B. 2. πεῖραν λαβόντες.

(a) Τινὲς δὲ ζωγραφοῦσι.........., καὶ--] *Omnino ſupplendum ex Codd. MSS.* Cotton. Long. *&* Bod. Τινὲς δὲ ζωγραφοῦσιν Ἰαβὼ, καὶ-. *Tetragrammaton eſſe, ſed a Græculo depravatum quis non videt? Si enim* Theodoreto *fides ſit adhibenda, Samaritani pronunciabant* Ἰαβαὶ *vel* Ἰαβέ. Ἰαὼ *vero &* Ἰαοὺ *exaratur apud* Clementem Alexandr. Diodorum Siculum, Euſebium, *&* Epiphanium. Philo Byblius Ἰευὼ *vocat.* Ἰὰζ *etiam &* Ἰαὼθ *appellatur in carminibus magicis ab* Alexandro Tralliano *medico recenſitis. Plura videantur apud* Scaligerum *in Notis ad Fragmenta* Beroſi, *&c. &* Joh. Seldenum *Syntag.* 2do. *de Diis Syris.* † *An ſupplend.* εἰς τό.

(6) *MS.* V. ἁπλῆ.

F 2 KEΦ.

ΚΕΦ. ΜΓ.

Ποῖα γεννήματα ὑπὸ ποίας βοτάνης ἀδικεῖται. Παξάμου.

Ἡ Ὀροβάγχη φθείρει τοὺς κυάμους, καὶ τοὺς ἐρεβίνθους, περιπλεκομένη. τὸ ζιζάνιον, τὸ λεγόμενον αἶρα, φθείρει τὸν σῖτον, ἄρτοις δὲ μιγνυμένη, σκοτοῖ τοὺς ἐσθίοντας. τὰς δὲ κριθὰς βλάπτει αἰγίλωψ, (1) φακῆν ἡ πελεκῖνος καλουμένη βοτάνη.

CAP. XLIII.

Qualia ſemina a quali herba injuria afficiuntur. Paxami.

ORobanche necat fabas & cicer ſe circumplicando. Lolium, Græcis *αἶρα* appellatum, corrumpit frumentum, panibus autē admixtum tenebras veſcentium oculis obducit. Hordeum lædit ægilops, lentem ſecuridaca herba.

(1) Harduinus *ad* Plin. *legit φακόν.*

ΚΕΦ. ΜΔ.

Περὶ τοῦ ἐν τῷ ἀγρῷ ἐπιτρόπου, ἢ οἰκονόμου. Φλωρεντίνου.

Χρὴ τὸν ἐμπεπιστευμένον τὴν τοῦ ἀγροῦ ἐπιμέλειαν, ὑπόδειγμα εἶναι τῶν ἐν τῷ ἀγρῷ πάντων, ἵνα πρὸς ἐκεῖνον, καὶ πρὸς τὸν ἐκείνου βίον καὶ τρόπον ἀποβλέποντες, (1) αἰδῶνται μᾶλλον ἢ φοβῶνται. ἔστω δὲ σεμνὸς, εὐπρόσιτος, οἴνου κατὰ τὸ δυνατὸν ἀπεχόμενος, (λήθην γὰρ ἐμποιεῖ ἡ πλείων τοῦ οἴνου πόσις) μὴ αἰσχροκερδὴς, μηδὲ περὶ τοὺς τόκους ἄπληστος, ἀλλ' ὀλίγοις ἀρκούμενος, καὶ (2) πάντοτε τοῖς ἐπιτηδείων δεομένοις ἐπαρκῶν, ἐγρηγορὼς, καὶ πρὸ τῶν ἄλλων ἐξ ὕπνου ἀνιστάμενος, ψεύδεσθαι καὶ μάλιστα ἐπιορκεῖν (3) φυλαττόμενος. θεοσεβὴς, τὰς συνήθεις θρησκείας φυλάττων, μὴ δένδρα καθιερωμένα, ἢ ἄλλο τι τοιοῦτον ἐνυβρίζων, ἀλλὰ πάντας πρὸς εὐσέβειαν παρασκευάζων. καὶ

CAP. XLIV.

De villico agro præfecto, ſive œconomo. Florentini.

OPortet eum cui agri cura eſt commiſſa, exemplo eſſe omnibus in agro degentibus, ut ad illum, & illius vitam & mores reſpicientes, revereantur magis quam pertimeſcant. Sit autem venerabilis, & affabilis, a vino quantum poſſibile eſt abſtinens, (oblivionem enim inducit frequentior vini potus) non turpis lucri appetens, neque circa uſuras inexplebilis, ſed paucis contentus, & ſemper quæ neceſſaria ſunt egentibus ſuppeditans, vigilans, & primus a ſomno exſurgens, & qui mentiri & maxime pejerare formidet: pius, & conſuetos ritus obſervans, non arbores conſecratas, aut aliud quiddam ejuſmodi contumelia afficiens, verum omnes ad pietatem præparans; & tempore quidem operum obeundo-

(1) *Reſtit. ex MSS. ante αἰδοῦνται & φοβοῦνται.* (2) *Ex Conſenſu Interp. & MSS. prius πάντα.* (3) *Ita MSS. in* Cott. *ſcrib. μᾶλλον ἐπιορκ.*

rum,

rum, ſolicitus & curioſe animadvertens, tempore vero quietis, remiſſus, & ferias per hebdomada celebrari permittens, & nihil grave tunc facere permittens, ſed vacare cogens, maxime in menſtruis aut annuis feſtis: alienas rationes ne conducat, neque proventum ac reditum terræ herilis ipſe recipiat, neque ad uſuram, ex domini rationibus, omnibus tradat, domini mandatis contentus ſit. Et ſi quid invenerit melius, prius ad dominum referat, niſi adeo utilitas rei urgeat, ut domini juſſum expectare non poſſit.

τῷ καιρῷ μὲν τῆς ἐργασίας, ἐπιστρεφής, τῷ δὲ καιρῷ τῆς ἀναπαύλης, κοινὸς καὶ (4) παρεικτικός, τὰς ἀργίας κατὰ ἑβδομάδα γίνεσθαι συγχωρῶν, καὶ μηδὲν τότε ἐπαχθὲς πράττειν ἐπιτρέπων, ἀλλὰ σχολάζειν ἀναγκάζων, καὶ μάλιστα ἐν ταῖς μηνιαίαις ἢ ἐνιαυσιαίαις ἑορταῖς· ἀλλοτρίους λόγους μὴ μισθούσθω, μηδὲ ἐργασίαν γῆς δεσποτικῆς ἀναδεχέσθω, μηδὲ δανειζέτω πᾶσιν ἐκ δεσποτικοῦ λόγου, ταῖς τοῦ δεσπότου ἐντολαῖς ἀρκείσθω. κἄν τι εὕρῃ κρεῖττον, ἀναφερέτω πρότερον ἐπὶ τὸν δεσπότην, πλὴν εἰ μὴ πάνυ οὕτω κατεπείγοι τὸ χρήσιμον τοῦ πράγματος, ὡς μὴ ἐνδέχεσθαι τὴν τοῦ δεσπότου κέλευσιν.

(4) *Ita MSS.* V. Cott. Caſ. *&* Interp. *antea* παραιρετικός. Cott. *habet* ἀναπαύσεως.

CAP. XLV.

Quod villicum oporteat diarium quotidianorum operum habere, & quomodo eum ordines operariorum inſtituere conveniat. Ejuſdem.

HAbeat villicus diarium, ad communem peritorum in Re ruſtica ſententiam exacte compoſitum, & juxta ſingulos menſes omnium dierum, quo inde & cognoſcere queat & ſubmonere, quomodo operari oporteat, nullo tempore omiſſo. Etenim ſi unam tantum diem præterierit, operum ordinem ſubvertet, & non ſolum præſentes fructus lædet, ſed & ipſam terram deteriorem reddet. Si autem multi fuerint operarii, non oportet omnes ſimul operari, facile enim mala fide opera obibunt; neque rurſus binos aut ternos, multis enim præfectis indigebunt. Igitur neque ſimul omnes,

ΚΕΦ. ΜΕ.

Ὅτι δεῖ τὸν ἐφεστῶτα ἐφημερίδα τῶν ἔργων ἔχειν, καὶ πῶς αὐτὸν προσήκει τάξεις τῶν ἐργατῶν ποιεῖσθαι. Τοῦ Αὐτοῦ.

Ἐχέτω ὁ ἐφεστὼς ἐφημερίδα κοινῇ γνώμῃ τῶν ἐν τῷ ἀγρῷ ἐμπείρων συγκειμένην ἀκριβῶς, καὶ καθ' ἕκαστον μῆνα πασῶν τῶν ἡμερῶν, ἵν' ἐντεῦθεν καὶ γινώσκειν (1) ἔχῃ καὶ ὑπομιμνήσκειν ὡς χρὴ ἐργάζεσθαι, οὐδένα καιρὸν παραλείπων. εἰ γὰρ μίαν γοῦν ἡμέραν παραλείψειεν, ἀνατρέψει τὴν τῆς ἐργασίας τάξιν, καὶ οὐ μόνον τοὺς παρόντας καρποὺς βλάψει, ἀλλὰ καὶ αὐτὴν τὴν γῆν χείρω καταστήσει. Ἐὰν δὲ πολλοὶ ὦσιν ἐργάται, οὐ δεῖ πάντας ὁμοῦ ἐργάζεσθαι, εὐκόλως γὰρ ῥᾳδιουργήσουσιν· οὔτε πάλιν ἀνὰ δύο ἢ τρεῖς, πολλῶν γὰρ δεήσονται τῶν ἐπιστατούντων. μήτε οὖν ὁμοῦ πάντες, μήτε ὀλίγοι ἐργαζέ-

(1) *Ita MSS. ante* ἔχειν.

θῶσιν, ἀλλὰ πρὸς τὸ πλῆθος καὶ τοὺς ἐφεστῶτας διακρίνειν προσήκει. κάλλιστον μὲν οὖν, ἐὰν πολλοὶ ὦσιν, εἰς δεκάδας τάσσειν τοὺς ἐργαζομένους· ἐὰν δὲ ὀλίγοι, εἰς ἑξάδας, καὶ οὐ πεντάδας· (2) ἰσαρίθμων γὰρ σκαπτόντων, ἡ ἀκολουθία ὑπὸ τῆς αὐτῆς ἰσότητος διασωθήσεται, καὶ οἱ ἀργότεροι ὑπὸ μίαν ἄρσιν καὶ θέσιν ἀνατείνοντες καὶ κατατιθέμενοι, ἀναγκάζονται ὅμοιοι εἶναι τοῖς γοργοτέροις.

neque pauci operentur, verum juxta ipſorum multitudinem ſit etiam præfectorum numerus. Optimum igitur eſt, ubi multi fuerint, operarios in decadas ordinare; ſi pauci, in numerum ſenarium, & non in quinarium. Ubi enim pares numero foſſores extiterint, conſequentia operariorum ab eadem æqualitate conſervabitur, & ſegniores elevatione & depreſſione attollentes ac deponentes, coguntur magis ſtrenuis pares eſſe.

(2) *Emend. ex MS.* Bar. *prius* εἰς ἀριθμόν.

ΚΕΦ. Μϛ'.

Περὶ μέτρου ἐργασίας. Τοῦ Αὐτοῦ.

CAP. XLVI.

De menſura & numero operarum. Ejuſdem.

Τινὲς παρετήρησαν, (1) εἴτε εἰς ἀμπέλους, εἴτε εἰς ῥοδωνιὰν, εἴτε εἰς κῆπον, εἴτε εἰς ὁτιδηποτοῦν παρασκευαζομένων πρὸς φυτείαν τόπων, καὶ ἕως τριῶν ποδῶν βάθους σκαπτομένων, καθ' ἕκαστον πλέθρον (2) ἐργασίας ἀρκεῖν ἑπτὰ, ἐν δὲ τῇ πάνυ σκληρᾷ γῇ ὀκτώ. καὶ τὸ πλέθρον δὲ τῶν παλαιῶν ἀμπέλων, ἐν τῇ εὐέργῳ, καὶ βοτάνας μὴ ἐχούσῃ, καὶ πλαγίᾳ γῇ ὑπὸ τριῶν πολλάκις ἐργάζεσθαι, ἐν δὲ τῇ σκληροτέρᾳ καὶ βοτανώδει ε'. αἱ δὲ νεόφυτοι, ἕως τῆς πρώτης πενταετίας, ὑπὸ τριῶν πολλάκις εἰργάσθησαν. (3) πλέον δὲ τῶν ἀμπέλων, εὐκολώτερον Ἀμινιὸς ἐργάζεται, ἡ δὲ Συρεντῖνος τοὐναντίον· πλειόνων γὰρ αὕτη δεῖται τῶν ἐργαζομένων. Γυροῦσθαι δὲ τὸ πλέθρον ὑπὸ τεσσάρων ἐργατῶν δύνασθαι, διαβεβαιοῦνται οἱ πεῖραν παραλαβόντες, τῆς γυρώσεως γινομένης, τὸ μὲν πλάτος ἐπὶ δύο ἥμισυ πόδας, τὸ δὲ βάθος ἄχρι ποδός· τοῦτο γὰρ

Quidam obſervarunt vel ad vites, vel ad roſarium, ſive etiam hortos, ſive ad quemcunque locum qui ad plantationem præparatur, & ad trium pedum altitudinem foditur, ad ſingula jugera ſufficere operas ſeptem, in valde dura terra octo. Et jugerum veterum vitium in tractabili & herbas non habente, ac declivi terra, a tribus ſæpe excoli, in duriore vero & herboſa, a quinque. At vero novellæ plantæ, uſque ad primum quinquennium, ſæpe a tribus excultæ ſunt. Cæterum ex vitibus Aminea facilius colitur, Surrentina vero e contra; pluribus enim hæc eget operariis. Porro jugerum a quatuor operariis poſſe paſtinari, affirmant qui experimento cognoverunt, paſtinatione ſecundum latitudinem ad duos & dimidium pedem, in altitudinem vero pedis, facta: Hanc enim optimam ipſius menſuram eſſe obſervatum eſt. Putari poſſe

(1) *Ita* Caſ. *& MSS. male antea* εἴ τις. (2) Bar. ἐργάτας. (3) *Interp. rectius* πλὴν δέ.

jugerum

jugerum a quatuor itidem obſervatum eſt. Primam vero pampinationem ac turionum collectionem ab uno fieri poſſe, & ſecundam multo minori opera conſtare. Inſuper autem quamvis eximio vinitori, plura quam octo jugera vitium colere, non eſſe poſſibile, neque omnino permittendum, omnes veteres ſcriptores teſtantur.

(4) *Ita* Caſ. *&* *MSS.*

αὐτῆς τὸ κάλλιστον εἶναι μέτρον παρατετήρηται. (4) κλαδεύεσθαι δὲ τὸ πλέθρον ὑπὸ τεσσάρων δύνασθαι παρατεφύλακται. βλαστολογεῖσθαι δὲ τὴν πρώτην βλαστολογίαν ὑπὸ ἑνὸς ἐργάτου, καὶ πολλῷ ἔλαττον τὴν δευτέραν. ἔτι δὲ τῷ σφόδρα χρησίμῳ ἀμπελουργῷ, πλέον ὀκτὼ πλέθρων ἀμπέλου ἐργάζεσθαι οὐ δυνατὸν, οὐδὲ ὅλως συγχωρητέον, πάντες οἱ παλαιοὶ συγγραφεῖς μαρτυροῦσιν.

CAP. XLVII.

De agricolarum ſanitate. Florentini.

Commodum quidem eſſet etiam medicum in agro conſtituere; quod ſi fieri non queat, accidentes morbos curabis exemplo ab aliis qui ſimiliter ægrotarunt ſumpto. Etenim qui eandem habitant regionem, & eadem fere diæta utuntur, ſi in eoſdem morbos inciderint, iiſdem etiam remediis ac medicamentis curabuntur. Præſtat autem operariorum morbos prævertere, & cura anticipare quantum poſſibile fuerit. Quandoquidem vero eorum qui in ſole laborant corpora & venas ſol offendit, utpote quæ tanto ardori reniti non poſſint, oportet alimentum ipſis auferre, ut non ſemel, neque bis, ſed paulatim ac ſæpius comedant: hoc enim ſalutare eſt, & concoctionem promovet. Alii rutam & malvam ſylveſtrem decoquunt, ac decoctum ipſum vino depravato aquoſius dilutum, in medio cibo iis præbent. Alii lac & aquam miſcentes, & modicum vinum depravatum affundentes, ante cibum offerunt, atque hoc ab initio veris uſque ad autumnum faciunt. Alii vinum abſinthiatum propinant, &

ΚΕΦ. ΜΖ.

Περὶ τῆς τῶν γεωργῶν ὑγιείας. Φλωρεντίνου.

ΚΑλὸν μὲν εἰ καὶ ἰατρὸν ἐν τῷ ἀγρῷ καταστήσειας· εἰ δὲ μὴ, τὰ περιπίπτοντα νοσήματα τοῖς ἀνθρώποις θεραπεύσεις, παρὰ τῶν ὁμοίως νενοσηκότων μαθών. τὴν γὰρ αὐτὴν κατοικοῦντες χώραν, καὶ τῆς αὐτῆς διαίτης σχεδὸν μεταλαμβάνοντες, εἰ τοῖς νοσήμασι περιπέσοιεν, τοῖς αὐτοῖς καὶ θεραπευθήσονται ἰάμασι. κάλλιον δὲ τὰ τῶν ἐργατῶν νοσήματα προλαμβάνειν, καὶ προθεραπεύειν κατὰ τὸ δυνατόν. Ἐπειδὴ δὲ τῶν ἐν ἡλίῳ ἐργαζομένων ὁ ἥλιος βλάπτει τὰ σώματα καὶ τὰς φλέβας, μὴ ἀντέχοντα πρὸς τὴν τοσαύτην καῦσιν, δεῖ τὰς τροφὰς αὐτῶν αἴρειν, ἵνα μὴ ἅπαξ, μηδὲ δεύτερον, ἀλλὰ κατὰ βραχὺ πολλάκις ἐσθίωσιν· ἔστι γὰρ τοῦτο σωτήριον, καὶ πρὸς πέψιν ἐπιτηδειότατον. Ἄλλοι πήγανον καὶ μαλάχην ἀγρίαν ἀφεψήσαντες, καὶ κεράσαντες οἴνῳ παρατραπέντι ὑδαρέστερον, ἐν μέσαις ταῖς τροφαῖς διδόασιν. ἄλλοι δὲ γάλακτος καὶ ὕδατος μίξαντες, καὶ ἐπιχέαντες ὀλίγον οἴνου παρατραπέντος, πρὶν φαγεῖν διδόασι. καὶ τοῦτο ποιοῦσιν ἀπ' ἀρχῆς ἔαρος μέχρι τοῦ φθινοπώρου. ἄλλοι οἴνου ἀψινθίτου διδόασι, δύναται δὲ οὗτος οὐ μόνον πρὸ τροφῆς, ἀλλὰ καὶ μετὰ τροφὴν, καὶ ἐν αὐτῇ δὴ

τῇ τροφῇ λαμβάνεσθαι. ἐὰν δὲ μὴ ἔχωμεν ἀψινθίτην, ἀψίνθιον δώσομεν, ὕδατι θερμοτάτῳ ἐμβαλόντες, καὶ ζέσαντες. τὸ αὐτὸ ποιεῖ καὶ ὁ διὰ σκίλλης οἶνος. παρασκευάζουσι δὲ καὶ τὸ σκιλλιτικὸν ὄξος, καὶ εἰ μὲν τοῦ οἴνου μέλλεις διδόναι τοῦ σκιλλιτικοῦ, πρὸ τοῦ φαγεῖν (1) δώσης· εἰ δὲ τοῦ ὄξους, μετὰ δεῖπνον. Καὶ ὁ ἕλειος δὲ οἶνος (τουτέστιν ὁ ἐν τοῖς ἕλεσι γιγνόμενος) σφόδρα ἐστὶν ὑγιεινὸς, ἐν ὑγείᾳ τοὺς χρωμένους διαφυλάττων. καὶ ἡ πτισάνη δὲ, τροφιμωτάτη καὶ σωτήριός ἐστι. καὶ ὁ κλιβανίτης δὲ ἄρτος, ἰσχνῶς πεπλασμένος, καὶ ἐν ἡλίῳ ξηρανθεὶς, χρησιμώτατος πρὸς ὑγείαν ὑπάρχει. ὁ γὰρ ἐν τοῖς ἄλλοις τοῖς καλουμένοις φούρνοις ὀπτώμενος ἄρτος, βαρυτέραν τὴν πέψιν ποιεῖ. Ἐὰν δὲ καὶ τὸ ὕδωρ μὴ καλὸν ᾖ, μηδὲ πότιμον, ἀλλὰ (2) νοσηρὸν, ἑψείσθω ἕως ἂν τὸ δέκατον αὐτοῦ ἀναλωθῇ, εἶτα διαψυχέσθω, καὶ οὕτως (3) ἀβλαβὲς ἔσται. οὕτω γὰρ καὶ τὸ θαλάττιον ὕδωρ ἑψόμενον, γλυκὺ γίνεται. Ἐπειδὴ δὲ συνεχῶς τοῖς γεωργοῖς τὰ ἰοβόλα ἐνοχλεῖ θηρία, ἔχιδναι (a) καὶ φαλάγγια, καὶ ὄφεις, καὶ μυγάλαι ἰοβολοῦσαι, καὶ σκορπίοι, κἂν ἐνοικίδιοι ὦσι, πεπεῖσθαι τοὺς γεωργοὺς χρὴ τὴν Θηριακὴν ἄμπελον, πρὸς τὰ πάντα τῶν θηρίων τούτων δήγματα αὐτάρκη τὴν θεραπείαν παρέχειν. οὐ γὰρ μόνον ὁ οἶνος ὁ τῆς θηριακῆς ἀμπέλου, τὸν δηχθέντα παύσει τῆς ὀδύνης, ἀλλὰ καὶ τὸ ἀπ' αὐτῆς ὄξος, καὶ ἡ σταφυλὴ, καὶ ἡ σταφίς. καὶ τῶν φύλλων δὲ καὶ τῶν κλημάτων καυθέντων ἐπιτεθεῖσα σποδιὰ τῷ δήγματι, παύσει τὴν ὀδύνην καὶ σώσει τὸν ἄνθρωπον. οὕτω δέ ἐστιν ἡ δύναμις τῆς σποδιᾶς τῆς (4) ἐκ παντὸς κλήματος ἀμπέλου, ὡς καὶ κυνὸς δήγματα θεραπεύειν, πολλάκις δὲ καὶ λυσσῶντος.

poteſt hoc non ſolum ante cibum, ſed & poſt, & inter edendum bibi. Si abſinthites non ſit, abſinthium præbebimus aquæ calidiſſimæ injectum & fervefactum. Idem facit & vinum ſcillinum. Præparatur autem & acetum ſcillinum, & ſiquidem vinum daturus es ſcilliticum, ante cibum dabis : ſi vero acetum, a cœna. Sed & paluſtre vinum valde ſalubre eſt, ſanos utentes conſervans. Quin & ptiſana maxime nutrit & ſalutaris eſt. Et panis in clibanis coctus graciliter formatus, & in ſole ſiccatus, utiliſſimus ad ſanitatem habetur. Qui enim in furnis coquitur, graviorem concoctionem facit. Si vero & aqua non ſit bona, neque potabilis, ſed morboſa, coquatur donec decima ipſius pars inſumatur, deinde refrigeretur, atque ita innoxia erit. Sic enim & marina aqua cocta dulcis redditur. Quandoquidem vero animalia venenum ejaculantia frequenter agricolas infeſtant, viperæ & phalangia, ſerpentes, & mures aranei venenum ejaculantes, & ſcorpii, etiamſi domeſtici fuerint, perſuaſos eſſe agricolas oportet, vitem Theriacam ad omnes horum animalium morſus ſufficientem curationem præſtare. Non ſolum enim vinum vitis theriacæ commorſi dolorem ſedabit, ſed & acetum ex eadem, & ipſa uva, atque uva paſſa. Foliorum etiam & ſarmentorum uſtorum cinis morſui impoſitus, dolorem ſedabit & hominem ſervabit. Eſt autem adeo potens cinis ex omnis generis vitis ſarmentis, ut & canis morſibus

(1) *MSS.* L. *&* B. 2. δώσεις. (2) *Ita legend. cum* Int. *prior Ed. &* MSS. νοτερόν. (3) *Emend. ex MSS. ante* -βὴς ἔσω.

(a) Καὶ φαλάγγια,] *Varia* Phalangiorum *genera, & morſuum remedia enumerantur a* Plinio *Tomo quarto, &* Nicandro *in Theriacis.*

(4) *Ita MSS. prius* ἐκτὸς *nullo ſenſu.*

medeatur,

medeatur, ſæpe etiam rabioſi. Ubi igitur & Theriacæ vis acceſſit, multiplicem caliditatis efficaciam demonſtrat. Quomodo autem vitis theriaca fiat, & vinum abſinthiatum, aut ſcilliticum, in propriis locis abunde docebitur.

προστεθείσης οὖν καὶ τῆς Θηριακῆς δυνάμεως, πολυπλασίονα τὴν ἐνέργειαν τῆς θέρμης ἀποδείκνυσι. πῶς δὲ ἡ θηριακὴ ἄμπελος γένοιτο, ἢ οἶνος ἀψινθίτης, ἢ σκιλλίτης, ἐν τοῖς οἰκείοις τόποις αὐτάρκως διδαχθήσεται.

CAP. XLVIII.

Quod neque agricolas, neque plantas a præſtantioribus locis in deteriores transferre conveniat. Didymi.

COnſulunt quidam ut ex ſalubribus locis in morboſos, tum plantas, tum agricolas non transferamus, ſed potius ex deterioribus in meliores, aut ſimiles, aut certe non multo pejores. Conſternat enim rei novitate, & perturbat commutatio in deteriora tranſlatos. Non ſolum autem in hominibus, ſed etiam in plantis obſervandum hoc eſſe ſapientiſſimis videtur.

ΚΕΦ. ΜΗ.

Ὅτι οὔτε γεωργοὺς, οὔτε φυτὰ προσήκει ἀπὸ καλλιόνων τόπων εἰς ἐλάττους μεταφέρειν. Διδύμου.

ΣΥμβουλεύουσί τινες μὴ ἐξ ὑγιεινῶν τόπων εἰς τοὺς νοσώδεις μεταφέρειν τὰ φυτὰ, καὶ τοὺς γεωργοὺς, ἀλλὰ μᾶλλον ἐκ χειρόνων εἰς τοὺς κρείττους, ἢ ὁμοίους, ἢ εἰς τοὺς μὴ πολλῷ ἐλάττους. ξενίζει γὰρ καὶ ταράττει ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ τοὺς μεθισταμένους. οὐ μόνον δὲ ἐπὶ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν παρατηρεῖν τοῦτο τοῖς σοφωτάτοις (1) ἀρέσκει.

(1) *Emend. ex MSS.* F. L. B. 2. *&* Cott. *ante* ἀρκεῖ.

CAP. XLIX.

Quod fabros ferrarios & lignarios, & figulos, in agris habere oportet, aut prope. Varronis.

AGricolas parandorum inſtrumentorum gratia in urbes proficiſci non convenit. Inſtrumentorum enim uſus frequenter dilatus, agricolas remorabitur Aſſidua etiam in urbem profectio, colonum ſegniorem facit. Quapropter fabros ferrarios & lignarios, aut in ipſis agris, aut prope habere oportet. Maxime autem neceſſarium eſt & fi-

ΚΕΦ. ΜΘ.

Ὅτι χαλκέας καὶ τέκτονας, καὶ κεραμέας, ἐν τοῖς ἀγροῖς ἔχειν δεῖ, ἢ πλησίον. Βάρωνος.

ΤΟ εἰς τὰς πόλεις τῆς κατασκευῆς ἕνεκα τῶν ἐργαλείων τοὺς γεωργοὺς ἔρχεσθαι, ἀσύμφορον. ἥ τε γὰρ τῶν ἐργαλείων χρεία συνεχῶς ὑπερτεθεῖσα, ἐμποδίσει τοῖς γεωργοῖς· ἥ τε εἰς τὴν πόλιν συνεχὴς ἐπιδημία, ἀργότερον ποιεῖ. διὸ χρὴ χαλκέας καὶ τέκτονας, ἢ ἐν αὐτοῖς ἔχειν τοῖς ἀγροῖς, ἢ πλησίον. ἀναγκαιότατον δὲ καὶ κεραμέας ἔχειν, πάντων ἕνεκα,

πεπεισ-

πεπεισμένον ὅτι ἐν πάσῃ τῇ γῇ ἐστιν εὑρεῖν κεραμικὴν γῆν. ἢ γὰρ ἐπιπόλαιον, ἢ ἐν βάθει, ἢ ἐν ἀποκεκρυμμένοις μέρεσι καὶ τόποις τοῦ χωρίου ἐπιτηδείαν γῆν πρὸς κατασκευὴν κεράμων εὑρήσεις.

gulos habere, omnium gratia, quum certo nobis perſuaſum ſit, quod in omni terra figularem terram reperire detur. Aut enim in ſuperficie, aut in profundo, aut in reconditis partibus ac locis agri, terram ad vaſa fictilia facienda aptam invenies.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Γ'.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, τρίτῃ μὲν οὔσῃ τῶν περὶ γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ τὴν προσήκουσαν ἑκάστῳ μηνὶ ἐργασίαν.

ΚΕΦ. Α.

Ἐφημερὶς, καὶ τί χρὴ καθ' ἕκαστον μῆνα ἐργάζεσθαι. Ἐκ τοῦ Βάρωνος, καὶ τῶν Κυντιλίων. Μηνὶ Ἰανουαρίῳ.

ΤΩ Ἰανουαρίῳ μηνὶ χρὴ τὰς ἀναδενδράδας κλαδεύειν, φυλαττομένους τὰς ἑωθινὰς καὶ δείλης ὀψίας ὥρας. τῷ αὐτῷ (1) μηνὶ χρὴ τὰ πρὸς οἰκοδομὴν καὶ ἐργασίαν ξύλα τέμνειν, σελήνης ἐν συνόδῳ οὔσης, καὶ ὑπὸ γῆν. τὸ γὰρ τῆς σελήνης φῶς, μαλακώτερα τὰ ξύλα ποιεῖ. τὰ δὲ τότε τεμνόμενα ξύλα, ἄσηπτα διαμένει. τῷ αὐτῷ μηνὶ κοπρίζειν χρὴ τὰ καρποφοροῦντα δένδρα, τὴν δὲ κόπρον μὴ ἅπτεσθαι τῶν ῥιζῶν. τῷ αὐτῷ μηνὶ ἐγκεντρίσεις ὅσα πρῶτα ἀνθεῖ, οἷον (2) (a) Δωράκινα, Δαμασκηνὰ, Βερικόκκια, Ἀμυγδαλέας, Κερασέας.

LIBER TERTIUS.

ARGUMENTUM Lib. III.

IN tertio libro præceptionum de agricultura ſelectarum, continentur opera ſingulis menſibus convenientia.

CAP. I.

Ephemeris ſive diarium, & quid ſingulis menſibus facere oporteat. Ex Varrone & Quintiliis. Menſe Januario.

JAnuario menſe vites arbuſtivas putare oportet, obſervatis matutinis & ſerotini crepuſculi horis. Eodem menſe ligna ad ædificandum & opera cædenda ſunt, luna in coitu exiſtente, & ſub terra. Lunæ enim lumen ligna molliora facit. Quæ vero tunc cæſa ſunt ligna a putredine incolumia permanent. Eodem menſe fructiferas arbores ſtercorare oportet, ita ut ſtercus radices non attingat. Eodem menſe inſeres quæcunque prima florent, velut Duracina, Damaſcena, Præcocia, Amygdalas & Ceraſos. Eodem menſe vitem humilem, chamitin ap-

(1) *Ita* Janus Rutgerſius, Caſ. & *MSS.* (2) *MSS.* Cott. L. & B. 2. ῥοδακηνὰ,.... βερίκοκκα. F. & B. 1. δωρακηνά.

(a) Δωράκινα, δαμασκηνὰ, βερίκοκκα,-] Palladius *Menſe Novemb. Tit.* 7. " *Genera eorum* [Perſicorum] *ſunt hæc: duracina, præcoqua, Perſica, Armenia.* *Et* Plinius "*ſed Perſicorum palma Duracinis.*

pellatam,

pellatam, acutiſſimis falcibus putare oportet, diebus ac horis ſerenis. Ab idibus Januariis vites plantare itemque reliquas arbores oportet, quamdiu locorum aptitudo plantationem admiſerit. Eodem menſe ſeminare non convenit, rara enim & gravis exiſtens terra vaporoſa fit, & lanis male carptis ſimilis eſt. Stercoranda eſt Medica, & cytiſus viridis demetendus. Aridam & levem & albam, & colliculis plenam, tenuemque & arenoſam terram, & radicibus ac fruticoſis herbis abundantem, quæ Octobri menſe non eſt novata, nunc ante ſtercorationem parvis aratris aranda, ſtatimque ſtercoranda eſt. Salſa terra parvis aratris commoveatur, paleiſque fabaceis conſpergatur, aut, ſi ipſarum ſit inopia, frumentaceis & hordeaceis.

τῷ αὐτῷ μηνὶ κλαδεύειν χρὴ καὶ τὴν χαμῖτιν ἄμπελον, ὀξυτάτοις δρεπάνοις, φυλαττομένους ἡμέρας καὶ ὥρας εὐδιεινάς. Χρὴ φυτεύειν τὰς ἀμπέλους, καὶ τὰ λοιπὰ δένδρα ἀπὸ (3) εἰδῶν Ἰανουαρίων, ἕως ἂν ἡ τῶν τόπων ἐπιτηδειότης τὴν φυτείαν καταδέχηται. τῷ αὐτῷ (4) μηνὶ σπείρειν οὐ χρή, ἀραιὰ γὰρ καὶ βαρεῖα οὖσα ἡ γῆ, ἀτμώδης γίνεται, καὶ ἔοικεν ἐρίοις ἐξαμμένοις κακῶς. τὴν Μηδικὴν κοπρίσαι, κύτισον θερίσαι χλωρόν. τὴν ξηρὰν καὶ τὴν κούφην καὶ λευκὴν καὶ γήλοφον, λεπτόγειόν τε καὶ ἀμμώδη γῆν, καὶ τὴν ῥιζῶν καὶ θαμνώδους (5) πόας ἀνάπλεων, ἣν μὴ τῷ Ὀκτωβρίῳ ἐννεῶσαι μηνί, νῦν πρὸ τοῦ κοπρίσαι (6) ἀρόσαι βραχέσι τοῖς ἀρότροις, καὶ εὐθέως (7) κοπρίσαι. τὴν ἁλμυρίδα γῆν ἀνακινῆσαι μικροῖς ἀρότροις, ἀχύροις τε διαπάσαι κυαμίνοις, εἰ δὲ μή, σιτίνοις καὶ κριθίνοις.

(3) *MSS.* C. F. L. *&* B. 2. ἰδῶν. (4) *Ita* Caſ. *& MSS. antea* μὴ σπείρειν χρή. (5) *Ita* Rutgerſ. *& MSS. prius* πόδας *nullo ſenſu.* (6) *Ita legend. conjicio. MSS.* ἀρόσαι. (7) Caſ. *ſupplet* χρὴ κοπρ.

CAP. II.

Menſe Februario.

FEbruario menſe tranſponemus ex plantario radicatas vites duorum aut trium annorum, nequaquam vero anniculas, ſunt enim imbecilliores. At vero vitium tranſplantatio, & multum fructum fert, & bonum facit vinum. Hoc menſe plantamus arundines priuſquam germinare incipiant. Hoc menſe & vitem, omneſque arbores ac roſas plantare oportet, augeſcente luna. Eodem menſe ſerendum eſt frumentum trimeſtre, ſeſamumque ac cannabis. Terra autem in qua medicam ſeminas, nunc iterum aranda.

ΚΕΦ. Β.

Μηνὶ Φεβρουαρίῳ.

ΤΩ Φεβρουαρίῳ μηνὶ μεταθήσομεν ἀπὸ τοῦ φυτωρίου τὰς (1) ἐνερρίζους ἀμπέλους, διετεῖς ἢ τριετεῖς, ἐνιαυσιαίας δὲ οὐδαμῶς, ἀσθενέστεραι γάρ εἰσιν. ἡ δὲ μεταφύτευσις τῶν ἀμπέλων, καὶ πολὺν καρπὸν φέρει, καὶ καλὸν ποιεῖ τὸν οἶνον. τούτῳ τῷ μηνὶ φυτεύομεν τοὺς καλάμους, πρὶν ἄρξασθαι βλαστάνειν. τούτῳ τῷ μηνὶ, καὶ ἄμπελον, καὶ πᾶν δένδρον, καὶ ῥόδα, καὶ κρίνα φυτεύειν χρή, τῆς σελήνης αὐξούσης. Τῷ αὐτῷ μηνὶ σῖτον σπείρειν τριμηνιαῖον, σησάμην καὶ (2) κάνναβιν. τὴν δὲ γῆν ἐν ᾗ τὴν μηδικὴν σπείρειν, νῦν ἀρόσαι τὸ δεύτερον.

(1) *MSS.* F. L. B. 1. *&* 2. ἐρρίζους. *In* Cott. ἐρριζούσας. (2) *Ita MSS. ante* καννάβιν.

ΚΕΦ. Γ.

Μηνὶ Μαρτίῳ.

ΤΩ͂ Μαρτίῳ μηνὶ τὰ κλήματα πρὸς ἐγκεντρισμὸν ληψόμεθα, καὶ αὐτὸν τὸν ἐγκεντρισμὸν τῶν τε (1) ἀμπέλων, καὶ τῶν ἄλλων δένδρων ποιησόμεθα. (2) τούτῳ τῷ μηνὶ καλάμους φυτευτέον πρὸ τῆς ἰσημερίας. τούτῳ τῷ μηνὶ θεραπεύσομεν τὰς ἰάσεως δεομένας ἐλαίας. τούτῳ τῷ μηνὶ ταῖς ῥίζαις τῶν ἀμυγδαλῶν, κόπρον χοιρείαν ἐπιθήσομεν, τάς τε γὰρ πικρὰς γλυκείας ποιεῖ, καὶ μείζους καὶ τρυφερὰς, ὡς Ἀριστοτέλης φησί· (3) Θεόφραστος δὲ οὖρον ταῖς ῥίζαις ἐπιχέειν φησί· Τούτῳ τῷ μηνὶ φυτεύσομεν πᾶν δένδρον καὶ κάστανον ἀπὸ πασσάλου, μάλιστα ἐν τοῖς ψυχροτέροις καὶ ὑγροτέροις τόποις. τούτῳ τῷ μηνὶ περισκάπτειν δεῖ τὰς ἀμπέλους καὶ τὰ λοιπὰ δένδρα· τὰ γὰρ τότε περισκαπτόμενα, καὶ πολυκαρπεῖ καὶ καλλικαρπεῖ. τούτῳ τῷ μηνὶ βλαστολογεῖν χρὴ τὰς τριετεῖς ἀμπέλους, ἔτι ἁπαλῶν ὄντων τῶν βλαστῶν. τινὲς δὲ ταῖς χερσὶ βλαστολογοῦσι, τοῖς γὰρ Ἀρχαίοις ἐδόκει ἕως τριετοῦς μὴ προσάγειν σίδηρον ταῖς ἀμπέλοις. καὶ ἡ κατάστρωσις δὲ τῶν ἀμπέλων τῶν τριετῶν, τούτῳ τῷ μηνὶ ἐπιτηδειότερον γίνεται. Δεῖ τούτῳ τῷ μηνὶ ἐγκεντρίζοντας, πάντα πρὸ τῆς βλάστης ἐγκεντρίζειν, ὅτε πλέον τὸ δάκρυον ἔχειν δοκεῖ τὰ δένδρα, καὶ παραφυλάττεσθαι, ἵνα τῶν μήλων καὶ τῶν ἀπίων τὰ εἰς ἐγκεντρισμὸν ἐνθέματα λαμβανόμενα, πεφυλαγμένως καὶ ἀκριβῶς ὀξυτάτῳ δρεπάνῳ λαμβάνηται· πάνυ γάρ ἐστι (4) ταῦτα τὰ δένδρα λεπτόφλοια, διό τινες αὐτὰ ταῖς χερσὶν ἀφαιροῦσι μᾶλλον.

CAP. III.

Menſe Martio.

MArtio menſe ſurculos ad inſitionem capiemus, & ipſam inſitionem tum vitium, tum aliarum arborum faciemus. Hoc menſe arundines plantandæ ſunt ante æquinoctium. Hoc menſe oleas quæ medela indigent curabimus. Hoc menſe radicibus amygdalarum ſtercus ſuillum imponemus, nam & amaras facit dulces, & majores & delicatas, Ariſtotele teſte: Theophraſtus vero urinam radicibus affundere jubet. Hoc menſe plantabimus omnem arborem, & caſtaneam a talea, maxime in frigidioribus ac humidioribus locis. Hoc menſe circumfodere vites expedit reliquaſque arbores: quæ enim tunc circumfoſſæ ſunt, & multum & pulchrum ac bonum fructum ferunt. Hoc menſe triennales vites pampinandæ ſunt, quum adhuc teneri ſunt turiones. Quidam ipſis manibus turiones legunt, Veteribus enim viſum eſt ut uſque ad triennium vitibus ferrum non adhibeatur. Sed & proſtratio vitium triennalium commodius hoc menſe fieri poteſt. Oportet hoc menſe inſitores omnia antequam germen emittant inſerere, quum uberiorem lachrymam arbores habere videntur, & obſervare, ut malorum & pirorum ſurculi, qui ad inſitionem capiuntur, acutiſſima falce caute & exacte deputentur: Sunt enim hæ arbores valde tenui cortice, quapropter aliqui ipſos manibus potius auferunt, quam falce reſecant. Con-

(1) *Reſtit. ex MSS. antea* ἀμπελώνων. (2) *Hanc* περικοπὴν *revocavi ex MSS.* V. *&* B. 1. (3) Θεόφραστος ... φησί. *Hæc deſunt in MSS.* Cott. *&* Bar. (4) *Ex MSS. ſupplevi.*

venit

venit etiam eos arare, ad novandum agrum, qui terram ad ſementem præparant. Tunc enim verſa, multas herbas non nutriet, & friabilior evadet. Neque ſufficit hoc ſemel facere, ſed iterum, aut etiam tertium. Serere autem convenit frumentum album ſitanium cognominatum, & nigrius, & oblongum Alexandrinum appellatum, in levem terram & apricam, montanamque & lacubus plenam, & arenoſam & aquis carentem, uſque ad nonum calendas Apriles. Hordeum ſerendum eſt tenue appellatum in terra quæ frumentum antea tulit. In propriis autem locis ſerendum eſt ſeſamum, typha, zea, milium & cannabis. Quum autem ſata in ſpicas emicuerint, runcanda ſunt. Ita enim fructus puri & uberes evadent. Cytiſus etiam viridis demetendus.

ἢ δρεπάνῳ τέμνουσι. Καὶ ἀροτριᾶν δὲ, (5) εἰς νεασμὸν, προσήκει τοὺς παρασκευάζοντας εἰς σπορὰν τὴν γῆν. τότε γὰρ στραφεῖσα, οὔτε πολλὰς βοτάνας θρέψει, καὶ ψαθυρωτέρα γενήσεται. οὐκ ἀρκεῖ δὲ τοῦτο ἅπαξ ποιεῖν, ἀλλὰ καὶ δεύτερον, εἴτε καὶ τρίτον. Σπείρειν δὲ προσήκει σῖτον λευκὸν, τὸν (a) σιτάνιον ἐπικαλούμενον, καὶ τὸν μελαναθέρα, καὶ τὸν ἐπιμήκη τὸν Ἀλεξάνδρινον λεγόμενον, εἰς τὴν ἐλαφρόγειον καὶ τὴν εὐήλιον, ὀρεινήν τε καὶ λακκώδη, καὶ ψαμμώδη καὶ ἄνυδρον γῆν, μέχρι τῆς πρὸ θ'. καλανδῶν Ἀπριλλίων. κριθὰς σπείρειν τὰς λεπτίτιδας καλουμένας εἰς τὴν ἀπὸ τοῦ σίτου γῆν. σπείρειν δὲ ἐν τοῖς οἰκείοις τόποις σησάμην, (b) τύφας, ζειὰς, κέγχρον, καὶ καννάβιον. ὅταν δὲ ἀποσταχύῃ τὰ σπαρέντα, βοτανίσαι αὐτά. οὕτω γὰρ οἱ καρποὶ καθαροὶ καὶ εὐθαλεῖς ἔσονται. καὶ κύτισον δὲ θερίσαι χλωρόν.

(5) *Ita* Bar. *prius* καὶ νεασμόν.

(a) Σιτάνιον ----] *Triticum trimeſtre, quod* Etymol. *&* Galenus Σητάνειον *vocant: ſed* Theophr. *de Plantis Lib.* 8. *Cap.* 2. πυρὸν σιτανίαν. *Et* Dioſcorides *Lib.* 2. *Cap.* 107. εἶτα μετὰ τούτους οἱ τριμηνιαῖοι (πυροὶ) λεγόμενοι δὲ ὑπό τινων σιτάνιοι. i.e. *Hæc ſequuntur trimeſtria, quæ nonnullis Sitania nominantur. De tritici generibus adeundi* Theophr. *Lib.* 8. *&* Plinius *Lib.* 18.

(b) Τύφας, ζειὰς,-] Plinius *Lib.* 18. *Sect.* 19. " *Ægypto autem ac Syriæ,* " *Ciliciaque & Aſiæ, ac Græciæ peculiares Zea, Olyra, Tiphe. Et* Sect. 20. " *Tiphe & ipſa ejuſdem eſt generis, ex qua fit in noſtro orbe Oryza. Apud* " *Græcos eſt Zea. Traduntque eam ac Tiphen, cum ſint degeneres, redire* " *ad frumentum, ſi piſtæ ſerantur; nec protinus, ſed tertio anno.*

CAP. IV.

Menſe Aprili.

APrili menſe poſſunt adhuc oleæ plantari, tunc certe maxime ipſas purgare oportet, purgatæ enim fructum meliorem producunt. Theophraſtus ait hoc menſe oleas, & ma-

ΚΕΦ. Δ.

Μηνὶ Ἀπριλλίῳ.

ΤΩ͂ (1) Ἀπριλλίῳ μηνὶ δυνατὸν ἔτι ἐλαίας φυτεύειν, χρὴ δὲ αὐτὰς τότε μάλιστα καθαίρειν, διακαθαιρόμεναι γὰρ τὸν καρπὸν κρείττω ποιοῦσι. Θεόφραστος δέ φησι, τούτῳ

(1) *Ita MSS. antea* αὐτῷ *male. In MSS.* F. L. *&* B. 2. δυνατόν ἐστιν ἔτι ἐλαίας.

τῷ

τῷ μηνὶ ἐλαίας καὶ ῥοιὰς καὶ μυρσίνας εἰς πασσάλους κόψαντας, δύνασθαι φυτεύειν ἐν τοῖς ὑγροῖς τόποις καὶ ἀρδομένοις. τούτῳ τῷ μηνὶ ἐγκεντρίσομεν καὶ ἐνοφθαλμίσομεν τὰς ἐλαίας, καὶ τὰ λοιπὰ δένδρα εὐκαίρως. Ἔτι ἐνοφθαλμίζεσθαι ἄρχεται τούτῳ τῷ καιρῷ συκῆ, καὶ καστανέα, καὶ κερασέα. ἀλλὰ καὶ δεύτερος σκαφὸς τῶν νέων ἀμπέλων τούτῳ τῷ μηνὶ πεπληρῶσθαι ὀφείλει, καὶ τὰς νέας ἀμπέλους ἀποτέμνειν προσήκει· λειοτέρα γὰρ αὐτῶν ἡ τομὴ ἔσται νῦν γενομένη. κἂν τισι δοκῇ, μᾶλλον δὲ πᾶσι τοῖς Ἀρχαίοις, ἕως τριετοῦς χρόνου τῇ ἀμπέλῳ μὴ προσάγειν σίδηρον. τούτῳ δὲ τῷ μηνὶ, καὶ τὸ τῆς πτελέας σπέρμα συλλέξαντα, εὐθέως σπείρειν προσήκει· ἀλλὰ καὶ συκέας ἐνρίζους νῦν μεταφυτεῦσαι δυνατὸν, κἂν ἤδη ὦσι βλαστήσασαι.

los punicas, & myrtos in taleas ſectas, poſſe plantari in locis humidis & rigatis. Hoc menſe etiam inſeremus & inoculabimus oleas reliquaſque arbores opportune. Hoc etiam tempore ficus inſeri incipit, & caſtanea, & ceraſus. Sed & ſecunda foſſio novellarum vitium hoc menſe completa eſſe debet, novellas item vites putare convenit: lævior enim cæſura ipſarum erit, ſi nunc fiat. Quanquam quibuſdam videatur, & præſertim omnibus Veteribus uſque ad triennium ferrum viti non eſſe admovendum. Hoc menſe & ulmi ſemen collectum ſtatim ſerere convenit; poſſunt & ficus quæ radices egerunt transferri, etiamſi germen jam emiſerint.

ΚΕΦ. Ε.

Μηνὶ Μαΐῳ.

ΤΩ Μαΐῳ μηνὶ ἐγκεντρίζειν ἄμπελον πάνυ ἐπιτηδειότατον εἶναι δοκεῖ, πρὶν βλαστῆσαι. ἔνιοι δὲ μετὰ τὸν τρυγητὸν ἐγκεντρίζουσιν αὐτήν. τούτῳ τῷ μηνὶ τὰς ἐλαίας καθαροῦμεν· τούτῳ τῷ μηνὶ τοὺς οἴνους μεταγγίσομεν. τὸ δὲ κεράμιον πεπληρῶσθαι χρὴ, ἕως κατωτέρω μικρὸν τοῦ τραχήλου, ἵνα μὴ πνίγηται, ἀλλ᾽ ὥστε ἔχειν τινὰ ἀναπνοήν. τούτῳ τῷ μηνὶ, ὡς προείρηται, δυνατὸν ἐγκεντρίζειν ἄμπελον, καὶ ἀρχομένου φύειν τοῦ στελέχους, τὸ γὰρ δάκρυον ἰξῶδες γίνεται. τὰ δὲ ἐνθέματα, δηλονότι πρὸ πολλοῦ, καὶ πρὶν βλαστάνειν λαβόντες, καὶ ὑπὸ γῆν, ἢ ἐν κεραμίῳ ἐπιμελῶς ἀποκρυψάμενοι, φυλάξομεν, ὡς μὴ βλαστῆσαι. τούτῳ τῷ μηνὶ σκάπτειν χρὴ τὰς ἀμπέλους, καὶ μάλιστα ἀνομβρίας γινομένης· παραμυθεῖται γὰρ ὁ σκαφὸς τὴν διψῶσαν ἄμπελον, διαπνεῖσθαι γὰρ αὐτὴν ποιεῖ, καὶ ἡ γῆ ἐπανισταμένη, ἀνα-

CAP. V.

Menſe Maio.

MEnſe Maio inſerere vitem priuſquam germinet, convenientiſſimum videtur. Quidam poſt vindemiam ipſam inſerunt. Hoc menſe oleas purgabimus; eodem & vina in alia vaſa transfundemus. Dolium autem impleatur paululum infra collum, ne ſuffocetur, verum habeat quandam reſpirationem. Hoc menſe licet, velut dictum eſt, vitem inſerere, etiam ſtirpe germinante, lachryma enim viſcoſa eſt. Verum ſurculi, multo antea & priuſquam germinent accipiendi, & ſub terra, aut in vaſe fictili diligenter occultati ſervandi ſunt, ne germinent. Hoc menſe fodere vites oportet, & maxime ſiccitate urgente: Etenim foſſio ſitientem vitem conſolatur, perflari enim ipſam facit, & terra ſupra ipſam inſurgens vitem ſitien-

tem refrigerat. Sed & plantaria fodere neceſſarium eſt. (Sunt autem plantaria ex quibus plantas in alios locos poſt duos aut tres annos tranſplantamus.) Hoc menſe inſitas arbores ſemper veſperi aqua ex ſpongia irrorare convenit. Quidam & hoc menſe plantant in hybernis videlicet & frigidiſſimis ac humidiſſimis locis, aut qui aliter rigari poſſunt. Et hoc non ſolum per totum menſem faciunt, ſed etiam uſque ad idus Junias, quum manifeſtum ſit, omnem plantam priuſquam extuberet in germen plantationi aptam eſſe. Quæ enim ſemel germen emiſit, amplius naſci non poteſt, ſola fico excepta, quamquam aliqui etiam vites quæ germen produxerunt plantent. In hoc etiam menſe lupina fodere convenit, quæ ſtercorandæ aut purgandæ terræ gratia ſeminata ſunt; deinde ante idus, antequam vitis floreat, ſecare, quum adhuc humida exiſtant, & demeſſa ſinere ut paululum putreſcant, & poſtea arare donec deſecta adobruantur, atque ſic omnes radices perduntur. Eodem menſe etiam terram vertemus multo gramine infeſtatam, omneque eradicatum gramen areſcere ſinemus, & luna decimum ſextum diem agente acervatim ex regione deportabimus, propter antipathiam enim non reviviſcet. Cæterum vaſa in quæ ex doliis vinum transfunditur, ſparto confricare ac purgare oportet, neque enim fæx multa erit, neque areſcet etiamſi fuerit nata, quod vinum maxime lædit.

ψύχει τὴν διψῶσαν ἄμπελον. καὶ τὰ φυτώρια δὲ σκάπτειν ἀναγκαῖόν ἐστιν. (ἔστι δὲ φυτώρια, ἀφ' ὧν λαμβάνομεν τὰ φυτὰ, καὶ εἰς ἑτέρους τόπους μετὰ ἔτη β'. ἢ γ'. μεταφυτεύομεν) τούτῳ τῷ μηνὶ τὰ ἐγκεντρισθέντα δένδρα διαπαντὸς ἑσπέρας ὕδατι ἐν σπογγίῳ ἐπιρραίνειν προσήκει. Τινὲς καὶ τούτῳ τῷ μηνὶ φυτεύουσιν, ἐν τοῖς χειμερινοῖς δηλονότι καὶ ψυχροτάτοις καὶ ὑγροτάτοις τόποις, ἢ ἄλλως ἀρδεύεσθαι δυναμένοις. καὶ οὐ μόνον διὰ παντὸς τοῦ μηνὸς τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ ἕως εἰδῶν Ἰουνίων, δήλου ὄντος, ὡς πᾶν φυτὸν πρὶν ἐξοιδῆσαι πρὸς βλάστησιν, δεκτικόν ἐστιν εἰς φυτείαν. οὐδὲν γὰρ βλαστῆσαν (1) ἅπαξ δυνήσεται φύεσθαι, πλὴν συκῆς μόνης. κἄν τινες τὰς ἀμπέλους βλαστησάσας (2) φυτεύωσιν. Ἔτι τούτῳ τῷ μηνὶ (3) σκάπτειν τοὺς θέρμους προσήκει, τοὺς ἕνεκεν τοῦ κοπρίσαι ἢ καθᾶραι τὴν γῆν σπαρέντας· εἶτα πρὸ τῶν εἰδῶν τέμνειν, πρὶν ἀνθεῖν τὴν σταφυλὴν, ἔτι ὑγροὺς ὄντας, καὶ (4) ἐᾶν θερισθέντας ὀλίγον σαπῆναι, καὶ μετὰ ταῦτα ἀροτριᾶν, ἕως ἐπιχωσθῆναι τὰ ἀποκοπέντα τῶν θέρμων, καὶ οὕτως αἱ ῥίζαι πᾶσαι διαφθείρονται. Τῷ αὐτῷ δὲ μηνὶ καὶ τὴν γῆν στρέψομεν τὴν ὑπὸ πολλῆς ἀγρώστεως ὀχλουμένην, πᾶσάν τε τὴν ἐκριζωθεῖσαν ἄγρωστιν ξηρανθῆναι ἐάσομεν. καὶ σελήνης ἑκκαιδεκάτης (5) γινομένης, πᾶσαν ἀθρόως αὐτὴν ἐκφορήσομεν τοῦ χωρίου, τῆς ἀντιπαθείας συμβαλλομένης πρὸς τὸ μηκέτι αὐτὴν (6) ἀναβιοῦν. τὰ ἀγγεῖα δὲ, εἰς ἃ ἐκ τῶν πίθων ὁ οἶνος μεταφέρεται, σπάρτῳ χρὴ τρίβειν καὶ καθαίρειν, οὔτε γὰρ τρὺξ πολλὴ ἔσται, οὔτε γινομένη ξηρανθήσεται, ὃ μάλιστα τοὺς οἴνους βλάπτει.

(1) *Ex MSS, pr. Ed.* ἅπαν. (2) *Ita habent MSS. prius* φυτεύουσιν. ἔτι--. (3) Colum. *Lib.* 11. *Cap.* 2. “ *Item qui lupinum ſtercorandi* “ *agri cauſa ſerit, nunc demum aratro ſubvertit.* (4) *Emend. ex conjectura, ſuffragant.* Interp. *&* *MS.* Bar. *ubi male* ἐὰν θερ. *In cat. MSS. ſcrib.* ἐανῶν *&* εὐανῶν, *antea* ἐανόν. (5) *MSS.* γεγενημένης. (6) *Reſtit. ex* Caſ. *& MSS. prius* ἀνανεοῦν.

ΚΕΦ. Θ.

(a) Πτισάνης ποίησις.

Κριθὴ βρεχεῖσα πτίσσεται καὶ ἡλίῳ ξηραίνεται, εἶτ' ἀποτίθεται οὕτω. παρεμπάττεται δ' αὐτῇ τὸ λεπτὸν αὐτῆς, τηρεῖ γὰρ αὐτήν. ἔστω δὲ τὸ ὕδωρ δέκατον τοῦ τῶν κριθῶν μέρους. κόπτεται δὲ ἁλῶν ἀτρίπτων εἰς αὐτὴν ἐμπαττομένων. γίνεται καὶ ἐκ τοῦ σίτου πτισάνη ὁμοίως.

CAP. IX.

Ptiſanæ præparatio.

HOrdeum maceratum decorticatur & in ſole ſiccatur, atque ita reponitur. Inſpergitur autem ipſi quod tenue eſt ex eo decuſſum, hoc enim ipſam conſervat. Sit autem aquæ decuplum ad hordei partem. Tunditur ſale non trito ipſi inſperſo. fit & ex frumento ptiſana eodem plane modo.

(a) Πτισάνης ποίησις.] Πτισάνης *Etymologiam affert* Athenæus *Lib. X. Pag.* 455. Πεποίηται δὲ τοὔνομα τῆς πτισάνης ἀπὸ τοῦ πτίσσειν καὶ ἀνεῖν. i. e. *Ptiſanæ vocabulum fit a* πτίσσειν i. e. pinſere, *&* ἀνεῖν i. e. *madeſacere.* Pauſaniam *Grammaticum in lexico ſuo hujus commenti auctorem fuiſſe, ex* Euſtathio *notavit* Iſ. Caſaub. *in locum cit. ubi haud immerito reprehendit futilem Etymologorum* περιεργίαν, *& poſtremas dictionis ſyllabas eſſe tantum vocis formationem contendit, ut ab* ὀρθοῦν *fit* Ὀρθάνης, Dæmon Priapeius, *& ab* ἔργον Ἐργάνη, Minervæ *nomen.*

ΚΕΦ. Ι.

Μηνὶ Ἰουλίῳ.

Τῷ Ἰουλίῳ μηνὶ τὰς ἀμπέλους χρὴ σκάπτειν, (a) ἕως ἀπὸ δευτέρας ὥρας, καὶ δείλης ἕως ὀψίας, οὐκ εἰς βάθος, καὶ τὰς βοτάνας ἐκλέγειν, μάλιστα δὲ τὴν ἄγρωστιν. δεῖ δὲ καὶ γῆν καταρρηγνυμένην ὁμαλίζειν καὶ ἑνοῦν, ἵνα μὴ ὁ ἥλιος φλέγῃ τὰ ἐν βάθει. δεῖ δὲ καὶ τὴν τελείαν ἄμπελον ἐπισκάπτειν, μάλιστα πεπαίνει γὰρ καὶ μεγεθύνει ὁ κονιορτὸς τὴν σταφυλήν. τούτῳ τῷ μηνὶ πᾶσαν ἀγρίαν βοτάνην καὶ ἀκάνθας ἐκτέμνειν προσήκει. τούτῳ τῷ μηνὶ καὶ ξύλα, ἐὰν ἡ χρεία κατεπείγῃ, τέμνειν δυ-

CAP. X.

Menſe Julio.

MEnſe Julio vites fodiendæ ſunt, mane ab hora ſecunda, & tempore pomeridiano ad crepuſculum, non in altum, & tunc deligendæ herbæ ac exſtirpandū gramen. Oportet autem terram diſruptam æquare & adunare, ne ſol in altum exurat. Oportet etiam adultam vitem fodere, pulvis enim uvam maxime maturam reddit & magnam. Hoc menſe omnes ſylveſtres herbas & ſpinas exſcindere convenit. Hoc menſe & ligna cædere licet, ſi neceſſitas poſtulaverit, decreſcente videlicet luna, &

(a) Ἕως ἀπὸ δευτέρας] *Ita legendum ſuadet etiam* Colum: *Lib. de Arbor. Cap. XII.* " *Simulatque uva variari cœperit, fodito tertiam foſ-* " *ſuram: & cum jam matureſcet, ante meridiem priuſquam calere inci-* " *piet, & cum deſierit, poſt meridiem fodito, pulveremque excitato: ea* " *res & a ſole & a nebula uvam maxime defendit. Prius* ἕως δευτ.

ſub

ſub terra latente. Amplius & terram arare convenit a qua fabas & lathyros demeſſuimus. Statim enim omnem terram arare oportet poſt meſſem, priuſquam arida fiat. Inſuper & folia in pecoris alimentum deſecare convenit ac reponere. Amplius circa idus ejuſdem menſis, filicem & butomum & juncum & arundinem eradicabis; & lupinos florentes cum lixivio tritos, in cæſuram relictæ in terra radicis diffundes, inde enim exareſcet. Si vero multis radicibus terra ſit referta, lupinos in ipſa ſeres, ipſiſque florentibus reſectis arabis, quo adobruantur deſecta, & tenui ſtercore inſperſo ſines. Poſt duodecimum diem arabis bis, & quæ terræ commoda judicaveris ſeminabis, ſemini etiam lentis parte modica admixta.

νατὸν, ληγούσης δηλονότι τῆς σελήνης, καὶ (2) ὑπὲρ γῆν οὔσης. ἔτι καὶ τὴν γῆν ἀροτριᾷν προσήκει, ἀφ' ἧς κύαμοι ἢ λάθυροι ἐθερίσθησαν. εὐθέως γὰρ πᾶσαν γῆν δεῖ ἀροτριᾷν (3) μετὰ τὸν θερισμὸν, πρὶν ξηρὰν γενέσθαι. ἔτι καὶ φυλλάδας, εἰς τὴν τῶν βοσκημάτων ἀνατροφὴν, τέμνειν χρήσιμον καὶ ἀποτίθεσθαι. ἔτι δὲ περὶ τὰς εἰδοὺς τοῦ αὐτοῦ μηνὸς, πτέριν καὶ βούτομον καὶ σχοῖνον καὶ κάλαμον ἐκριζώσει τις· καὶ θέρμους ἀνθοῦντας (4) κονίῳ τρίψας, καταχύσει ἐπὶ τὴν τομὴν τῆς περιλειφθείσης ἐν τῇ γῇ ῥίζης· ξηραίνει γὰρ αὐτήν. εἰ δὲ πολύῤῥιζος εἴη ἡ γῆ, θέρμους σπερεῖ ἐν αὐτῇ, καὶ τούτους ἀνθοῦντας τεμὼν ἀρόσει, ὡς ἐγχῶσαι τὰ ἀποκεκομμένα, καὶ λεπτὴν κόπρον ἐπιπάσας ἐάσει. μετὰ δὲ ἡμέρας ιβ'. ἀρόσει δὶς, καὶ σπερεῖ τὰ τῇ γῇ πρόσφορα, μιγνὺς τῷ σπέρματι καὶ φακῆς μέρος ὀλίγον.

(2) Interp. *legit* ὑπὸ γῆν, *ita ſcrib. infra Cap.* 15. (3) *MSS.* F. L. B. 2. & Cott. μάλιστα τῶν θέρμων. *ſed MSS.* V. Bar. & Interp. *ut in textu.* (4) *Ita cum* Interp. *legend. cenſeo, pr. Ed. & MSS.* κονείῳ.

CAP. XI.

Menſe Auguſto.

AUguſto menſe maturas uvas in calidioribus locis legere convenit, & eas quæ maturæ nondum ſunt moderate circumfodere, ſimiliter & oliveta; & glebas diſſolvere, quo pulvis excitetur: hic enim ubi in fructum inciderit, citius eum maturum reddit. Quapropter etiam oleæ & vites juxta viam ſitæ, uberiorem & pleniorem fructum ferunt, propter excitatum a prætereuntibus pulverem. ſolæ vero ex vitibus illæ foſſione non indigent, cæterum fodiendæ ſunt quæ in tenui ſolo plantatæ ſunt, terra exſiccata; ſtatim enim areſcunt,

ΚΕΦ. ΙΑ.

Μηνὶ Αὐγούστῳ.

ΤΩ Αὐγούστῳ μηνὶ τὰς πεπανθείσας σταφυλὰς ἐν τοῖς θερμοτέροις τόποις τρυγᾶσθαι προσήκει, τὰς μέντοι μηδέπω πεπανθείσας, μετρίως περισκάπτειν καὶ τοὺς ἐλαιῶνας δὲ ὁμοίως· καὶ τὰς βώλους διαλύειν, ὥστε ἐπεγείρειν τὸν κονιορτόν· ἐμπεσὼν γὰρ οὗτος τῷ καρπῷ, θᾶττον αὐτὸν πεπαίνει. διὰ τοῦτο καὶ αἱ παρὰ τὴν ὁδὸν ἐλαῖαί τε καὶ ἄμπελοι εὐτραφέστεραι τῷ καρπῷ, διὰ τὴν ἐπανισταμένην ἐκ τῶν ὁδευόντων κόνιν. μόνας δὲ ἐκείνας τὰς ἀμπέλους οὐ δεῖ σκάπτειν, λοιπὸν ξηρανθείσης τῆς γῆς, τὰς ἐν τῇ λεπτό-

ΚΕΦ. Θ.

(a) Πτισάνης ποίησις.

ΚΡιθὴ βραχεῖσα πτίσσεται καὶ ἡλίῳ ξηραίνεται, εἶτ᾽ ἀποτίθεται οὕτω. παρεμπάττεται δ᾽ αὐτῇ τὸ λεπτὸν αὐτῆς, τηρεῖ γὰρ αὐτήν. ἔστω δὲ τὸ ὕδωρ δεκαπλοῦν τοῦ τῶν κριθῶν μέρους. κόπτεται δὲ ἁλῶν ἀτρίπτων εἰς αὐτὴν ἐμπαττομένων. γίνεται καὶ ἐκ τοῦ σίτου πτισάνη ὁμοίως.

CAP. IX.

Ptiſanæ præparatio.

HOrdeum maceratum decorticatur & in ſole ſiccatur, atque ita reponitur. Inſpergitur autem ipſi quod tenue eſt ex eo decuſſum, hoc enim ipſam conſervat. Sit autem aquæ decuplum ad hordei partem. Tunditur ſale non trito ipſi inſperſo. fit & ex frumento ptiſana eodem plane modo.

(a) Πτισάνης ποίησις.] Πτισάνης *Etymologiam affert* Athenæus *Lib. X. Pag.* 455. Πεποίηται δὲ τὸ πτισάνης τοὔνομα ἀπὸ τοῦ πτίσσειν καὶ ἀνεῖν. i.e. *Ptiſanæ vocabulum fit a* πτίσσειν i.e. pinſere, *&* ἀνεῖν i.e. *madefacere.* Pauſaniam *Grammaticum in lexico ſuo hujus commenti auctorem fuiſſe, ex* Euſtathio *notavit* Iſ. Caſaub. *in locum cit. ubi haud immerito reprehendit futilem Etymologorum* περιεργίαν, *& poſtremas dictionis ſyllabas eſſe tantum vocis formationem contendit, ut ab* ὀρθοῦν *fit* Ὀρθάνης, Dæmon Priapeius, *& ab* ἔργον Ἐργάνη, Minervæ *nomen.*

ΚΕΦ. Ι.

Μηνὶ Ἰουλίῳ.

ΤΩ Ἰουλίῳ μηνὶ τὰς ἀμπέλους χρὴ σκάπτειν, (a) ἕως ἀπὸ δευτέρας ὥρας, καὶ δείλης ἕως ὀψίας, οὐκ εἰς βάθος, καὶ τὰς βοτάνας ἐκλέγειν, μάλιστα δὲ τὴν ἄγρωστιν. δεῖ δὲ καὶ γῆν καταῤῥηγνυμένην ὁμαλίζειν καὶ ἑνοῦν, ἵνα μὴ ὁ ἥλιος φλέγῃ τὰ ἐν βάθει. δεῖ δὲ καὶ τὴν τελείαν ἄμπελον ἐπισκάπτειν, μάλιστα πεπαίνει γὰρ καὶ μεγεθύνει ὁ κονιορτὸς τὴν σταφυλήν. τούτῳ τῷ μηνὶ πᾶσαν ἀγρίαν βοτάνην καὶ ἀκάνθας ἐκτέμνειν προσήκει. τούτῳ τῷ μηνὶ καὶ ξύλα, ἐὰν ἡ χρεία κατεπείγῃ, τέμνειν δυ-

CAP. X.

Menſe Julio.

MEnſe Julio vites fodiendæ ſunt, mane ab hora ſecunda, & tempore pomeridiano ad crepuſculum, non in altum, & tunc deligendæ herbæ ac exſtirpandū gramen. Oportet autem terram diſruptam æquare & adunare, ne ſol in altum exurat. Oportet etiam adultam vitem fodere, pulvis enim uvam maxime maturam reddit & magnam. Hoc menſe omnes ſylveſtres herbas & ſpinas exſcindere convenit. Hoc menſe & ligna cædere licet, ſi neceſſitas poſtulaverit, decreſcente videlicet luna, &

(a) Ἕως ἀπὸ δευτέρας] *Ita legendum ſuadet etiam* Colum: *Lib. de Arbor. Cap. XII.* " *Simulatque uva variari cœperit, fodito tertiam foſ-*
" *ſuram: & cum jam matureſcet, ante meridiem priuſquam calere inci-*
" *piet, & cum deſierit, poſt meridiem fodito, pulveremque excitato: ea*
" *res & a ſole & a nebula uvam maxime defendit. Prius* ἕως *deest.*

ſub

ſub terra latente. Amplius & terram arare convenit a qua fabas & lathyros demeſſuimus. Statim enim omnem terram arare oportet poſt meſſem, priuſquam arida fiat. Inſuper & folia in pecoris alimentum deſecare convenit ac reponere. Amplius circa idus ejuſdem menſis, filicem & butomum & juncum & arundinem eradicabis; & lupinos florentes cum lixivio tritos, in cæſuram relictæ in terra radicis diffundes, inde enim exareſcet. Si vero multis radicibus terra ſit referta, lupinos in ipſa ſeres, ipſiſque florentibus reſectis arabis, quo adobruantur deſecta, & tenui ſtercore inſperſo ſines. Poſt duodecimum diem arabis bis, & quæ terræ commoda judicaveris ſeminabis, ſemini etiam lentis parte modica admixta.

νατὸν, ληγούσης δηλονότι τῆς σελήνης, καὶ (2) ὑπὲρ γῆν οὔσης. ἔτι καὶ τὴν γῆν ἀροτριᾶν προσήκει, ἀφ᾽ ἧς κύαμοι ἢ λάθυροι ἐθερίσθησαν. εὐθέως γὰρ πᾶσαν γῆν δεῖ ἀροτριᾶν (3) μετὰ τὸν θερισμὸν, πρὶν ξηρὰν γενέσθαι. ἔτι καὶ φυλλάδας, εἰς τὴν τῶν βοσκημάτων ἀνατροφὴν, τέμνειν χρήσιμον καὶ ἀποτίθεσθαι. ἔτι δὲ περὶ τὰς εἰδοὺς τοῦ αὐτοῦ μηνὸς, πτέριν καὶ βούτομον καὶ σχοῖνον καὶ κάλαμον ἐκριζώσει τις· καὶ θέρμους ἀνθοῦντας (4) κονίᾳ τρίψας, καταχύσει ἐπὶ τὴν τομὴν τῆς περιλειφθείσης ἐν τῇ γῇ ῥίζης· ξηραίνει γὰρ αὐτήν. εἰ δὲ πολύῤῥιζος εἴη ἡ γῆ, θέρμους σπερεῖ ἐν αὐτῇ, καὶ τούτους ἀνθοῦντας τεμὼν ἀρόσει, ὡς ἐγχώσαι τὰ ἀποκεκομμένα, καὶ λεπτὴν κόπρον ἐπιπάσσας ἐάσει. μετὰ δὲ ἡμέρας ιβʹ. ἀρόσει δὶς, καὶ σπερεῖ τὰ τῇ γῇ πρόσφορα, μιγνὺς τῷ σπέρματι καὶ φακῆς μέρος ὀλίγον.

(2) Interp. *legit* ὑπὸ γῆν, *ita ſcrib. infra Cap.* 15. (3) *MSS.* F. L. B. 2. & Cott. μάλιστα τῶν θέρμων. *ſed MSS.* V. Bar. & Interp. *ut in textu.* (4) *Ita cum* Interp. *legend. cenſeo, pr. Ed.* & *MSS.* κονείῳ.

CAP. XI.

Menſe Auguſto.

AUguſto menſe maturas uvas in calidioribus locis legere convenit, & eas quæ maturæ nondum ſunt moderate circumfodere, ſimiliter & oliveta; & glebas diſſolvere, quo pulvis excitetur: hic enim ubi in fructum inciderit, citius eum maturum reddit. Quapropter etiam oleæ & vites juxta viam ſitæ, uberiorem & pleniorem fructum ferunt, propter excitatum a prætereuntibus pulverem. ſolæ vero ex vitibus illæ foſſione non indigent, cæterum fodiendæ ſunt quæ in tenui ſolo plantatæ ſunt, terra exſiccata; ſtatim enim areſcunt,

ΚΕΦ. ΙΑ.

Μηνὶ Αὐγούστῳ.

ΤΩ Αὐγούστῳ μηνὶ τὰς πεπανθείσας σταφυλὰς ἐν τοῖς θερμοτέροις τόποις τρυγᾶσθαι προσήκει, τὰς μέντοι μηδέπω πεπανθείσας, μετρίως περισκάπτειν καὶ τοὺς ἐλαιῶνας δὲ ὁμοίως· καὶ τὰς βώλους διαλύειν, ὥστε ἐπεγείρειν τὸν κονιορτόν· ἐμπεσὼν γὰρ οὗτος τῷ καρπῷ, θᾶττον αὐτὸν πεπαίνει. διὰ τοῦτο καὶ αἱ παρὰ τὴν ὁδὸν ἐλαῖαί τε καὶ ἄμπελοι εὐτραφέστεραι τῷ καρπῷ, διὰ τὴν ἐπανισταμένην ἐκ τῶν ὁδευόντων κόνιν. μόνας δὲ ἐκείνας τὰς ἀμπέλους οὐ δεῖ σκάπτειν, λοιπὸν ξηρανθείσης τῆς γῆς, τὰς ἐν τῇ λεπτό-

λεπτόγεα οὔσας· εὐθέως γὰρ ξηραίνονται, τὰς ῥίζας ἐπιπολαίους ἐχούσας διὰ τὴν λεπτότητα. τῷ αὐτῷ μηνὶ τὰ ἐγκεντρισθέντα δεῖ σπόγγῳ ἐπιρραίνειν ὕδατι, δύνοντος τοῦ ἡλίου. Τῷ αὐτῷ μηνὶ τοὺς πίθους ξηραίνειν χρὴ ἐν ἡλίῳ, καὶ πρὸ κ΄. ἡμερῶν τοῦ μέλλειν τὸν οἶνον δέξασθαι, πισσοῦν. τῷ αὐτῷ μηνὶ τὴν ὄψιμον σταφυλὴν βλαστολογεῖν χρή, αὕτη γὰρ ἡ βλαστολογία τὸν καρπὸν αὐξῆσαι ποιεῖ καὶ καλλίονα, καὶ τάχιον πεπαίνει. ἐν δὲ ταῖς νέαις καὶ πολυφόροις ἀμπέλοις, καὶ τοῦ καρποῦ προσαφαιρεῖν τι χρή, ἵνα μὴ καὶ τὰ κλήματα λεπτότερα, καὶ ὁ καρπὸς ἄχρηστος γένηται. ἔτι χρὴ τὴν πρὸς τὸ διαμένειν λαμβανομένην σταφυλὴν ἀκμαίαν λαμβάνειν. Καιρὸς δέ, καὶ τὰ ξηραινόμενα σῦκα ἐν τοῖς θερμοτέροις ἤδη λαμβάνειν, ἔτι καὶ τοὺς βόθρους παρασκευάζειν, ἐν οἷς κατὰ τὸ φθινόπωρον φυτεύσομεν ἐλαίας, ἢ καὶ ἄλλο τι δένδρον. τῷ δὲ αὐτῷ μηνὶ καὶ τὰ εἰωθότα χορτοφόρα χωρία ἀρδεύεσθαι ἀρδεύσομεν, καὶ ἐκ δευτέρου (1) τέμωμεν πτέριν, καὶ σχοῖνον, καὶ κάλαμον, καὶ βούτομον. Εἰς νειὸν δὲ ἀρόσομεν τὴν στερεάν, καὶ βαρεῖαν καὶ πίειραν γῆν· καὶ τὴν ὀρεινὴν καὶ δυσχείμερον καὶ πάνσκιον, καὶ πρὸς βορρᾶν, βαθέσιν ἐργασόμεθα τοῖς ἀρότροις, ἢ δικέλλαις. ἕως δὲ τῆς πρὸ θ΄. καλανδῶν Σεπτεμβρίων ἀλοήσομεν, οὐ γὰρ ὄμβροι, (2) οὐδὲ δρόσοι ἐν ταύταις γίνονται ταῖς ἡμέραις.

radicibus in ſuperficie poſitis propter tenuitatem. Eodem menſe inſiti ſurculi aqua ex ſpongia irrorandi, occidente ſole. Eodem menſe dolia inſolanda ſunt, & viginti diebus antequam vinum recipiant picanda. Eodem menſe ſerotinam uvam pampinare oportet, hæc enim pampinatio fructum & majorem & meliorem facit, citiuſque maturum. In novellis autem & feracibus vitibus, etiam de fructu aliquid auferendum eſt, ne & palmites tenuiores, & fructus inutiles fiant. Amplius autem quam diuturnitatis gratia decerpimus uvam, maturam legere oportet. Opportunum eſt & ſiccas ficus in calidioribus locis hoc tempore decerpere, inſuper & foſſas præparare, in quibus autumno plantabimus oleas, aut etiam alias quaſdam arbores. Eodem menſe locos fœnum producentes quos rigare conſuevimus rigabimus, filicem etiam & juncum, & arundinem, & butomum ſecabimus. Solidam vero, & gravem & pinguem terram novabimus; montanam item & tempeſtuoſam & penitus umbroſam, & ad boream ſitam, gravibus aratris colemus, aut ligonibus. Cæterum uſque ad nonum calendas Septembres triturabimus, neque enim imbres, neque ros, in his diebus contingunt.

(1) *Potius* τεμοῦμεν. (2) *Ita MS.* Bar. *antea male* οὐδέν.

ΚΕΦ. ΙΒ.

Μηνὶ Σεπτεμβρίῳ.

ΤΩ Σεπτεμβρίῳ μηνὶ σημειοῦσθαι χρὴ τάς τε πολυφόρους ἀμπέλους, καὶ τὰς ἀφόρους. ἵνα τὰς μὲν ἐκτέμωμεν, τὰς δὲ ἐγκεντρίσωμεν. γενέσθω δὲ ἡ σημείωσις μία μετ' ἐλαίου καὶ πίσσης μεμιγμένης. τούτῳ

CAP. XII.

Menſe Septembri.

MEnſe Septembri notare oportet vites tum feraces, tum ſteriles, ut has quidem exſcindamus, illas vero inſeramus. Fiat autem notatio una oleo & pice mixtis. Hoc menſe paleas & platanorum folia, in quibus

bus uvas aſſervare volumus, inſolare & ſiccare oportet. Jam etiam nuces decutere convenit, & aſſiccatas reponere. Uſque ad ſextum calendas Octobres ſerere tutum non eſt. Si enim ſiccitates ſequantur, ſemina corrumpuntur. Verum a quinta calendarum Octobrium lupinum ſeremus, hoc enim pluviam non exſpectat. Tenuis terra & radicibus referta atque herba fruticoſa, poſt idus Septembres, pluviis obortis ante ſtercorationem, ſtatim aranda & ſtercoranda.

τῷ μηνὶ τὰ ἄχυρα καὶ τῶν πλαζόνων τὰ φύλλα, (1) οἷς μέλλομεν θησαυρίζειν τὰς σταφυλὰς, ἡλιάζειν καὶ ξηραίνειν χρή. Ἔτι καὶ τὰ κάρυα νῦν ἐκτινάσσειν προσήκει, καὶ ξηραινόμενα ἀποτίθεσθαι. ἄχρι δὲ τῆς πρὸ ϛ. καλανδῶν Ὀκτωβρίων τὸ σπείρειν ἐπισφαλές. ἂν γὰρ αὐχμοὶ ἐπακολουθήσωσι, διαφθείρεται τὰ σπέρματα. ἀπὸ δὲ τῆς πρὸ (2) πέντε καλανδῶν Ὀκτωβρίων θέρμον σπείρειν, οὗτος γὰρ ὑετὸν οὐκ ἐκδέχεται. τὴν λεπτόγειον γῆν, καὶ ἀνάπλεων ῥιζῶν καὶ θαμνώδεις πόας, μετὰ τὰς εἰδοὺς τὰς Σεπτεμβρίας, ὄμβρων ἐπιγινομένων πρὸ τοῦ κοπρίζειν, ἀροῦν εὐθέως καὶ κοπρίζειν.

(1) *Ita MSS. prius* ἧς. (2) *MS.* Bar. ἑπτὰ καλ.

CAP. XIII.

Menſe Octobri.

EST etiam Octobri menſe commodum vindemiare. Etenim prima vindemia vinum copioſius præbet, Secunda melius, Tertia magis dulce. Hoc menſe poſt æquinoctium & primos imbres, quidam plantant uſque ad Pleiadum occaſum, incipiunt autem occidere a ſeptima Novembris menſis die. Eodem menſe paſtinare vites commodum eſt, & circa radices lixivium, aut pulverem, aut cinerem ſiccum, aut urinam humanam veterem, aut vini fæcem, aut paleas circumfundere. Hoc menſe inſerenda eſt amygdalus, ceraſus, ficus. Licet & in hortis plantare oleam, amygdalum, ceraſum & omnes arbores autumnales foris non lignoſos fructus ferentes, ulmum item, & pinum, & populum albam, & fraxinum, & abietem; ficum autem nunc

ΚΕΦ. ΙΓ.

Μηνὶ Ὀκτωβρίῳ.

ΚΑὶ Ὀκτωβρίῳ μηνὶ τρυγᾷν καλόν. ὁ μὲν γὰρ πρῶτος (1) τρυγηθεὶς, πλείονα οἶνον ποιεῖ, κρείττονα δὲ ὁ δεύτερος, μᾶλλον δὲ καὶ ἡδὺν ὁ τρίτος. τούτῳ δὲ τῷ μηνὶ μετὰ τὴν ἰσημερίαν καὶ τοὺς πρώτους ὄμβρους, τινὲς φυτεύουσι μέχρι τῆς τῶν Πλειάδων δύσεως, ἄρχονται δὲ δύεσθαι ὡς ἀπὸ τῆς ζ'. τοῦ Νοεμβρίου μηνός. τῷ αὐτῷ μηνὶ γυροῦν τὰς ἀμπέλους καλὸν, καὶ περὶ τὰς ῥίζας (2) στακτὴν, ἢ κόνιν, ἢ τέφραν ξηρὰν, ἢ οὖρον ἀνθρώπειον παλαιὸν, ἢ τρύγα οἴνου, ἢ ἄχυρα περιτιθέναι. Τούτῳ τῷ μηνὶ ἐγκεντριστέον ἀμυγδαλέας, κερασέας, συκέας. δυνατὸν δὲ καὶ ἐν τοῖς παραδείσοις φυτεῦσαι ἐλαίαν, ἀμυγδαλῆν, κερασέαν, καὶ πάντα τὰ ὀπωροφόρα δένδρα, καὶ πτελέαν, καὶ λεύκην, καὶ μελίαν, καὶ πίτυν, καὶ ἐλάτην· συκῆν δὲ μηδαμῶς νῦν. ἔτι καὶ τὰ πάντων δένδρων σπέρματα σπείρειν χρήσιμον. τῷ αὐτῷ δὲ μη-

(1) *MS.* V. *&* Interp. τρυγητὶς, *cæt. MSS. ut in textu.* (2) Interp. *legit* στακτὴν κονίαν;--.

νὶ καὶ τὸ ὀμφάκινον ἔλαιον κατασκευάζειν ἀρχόμεθα, συλλέξαντες τὰς ὀμφακιζούσας ἐλαίας. τῷ αὐτῷ μηνὶ καὶ τὰς κιτρέας σκεπάσομεν, ἃς τινας ἐν χειμερινοῖς τόποις ἔχομεν. τὰ δὲ πρέμνα αὐτῶν, τοῖς φύλλοις τῆς κολοκύνθης ἀμφιάσομεν, καὶ τέφραν τὴν ἀπὸ τῶν κολοκυνθῶν (3) καυθεισῶν ταῖς ῥίζαις περιβαλοῦμεν. Τούτῳ τῷ μηνὶ τῆς κλαδείας ἄρχεσθαι κάλλιον, καὶ μετὰ τὸν τρυγητὸν σκάπτειν τὴν γῆν, ἵνα ἡ συμπατηθεῖσα ὑπὸ τῶν τρυγώντων, ἀραιωθεῖσα ἀκωλύτως ἄχρι ῥιζῶν τοὺς μετοπωρινοὺς ὄμβρους δέχηται· ἀλλὰ καὶ ἡ βοτάνη διὰ τοῦ (4) ἀέρος ἐλάσσων τε ἔσται, τῶν ῥιζῶν πασῶν πρὸ καιροῦ ἐκκοπεισῶν, καὶ ὑπὸ τοῦ (5) πάγου διαφθαρεισῶν. καὶ τὰ μῆλα δὲ τὰ εἰς τὸν χειμῶνα θησαυριζόμενα δρέπεσθαι δεῖ, καὶ ἀποτιθέναι εἰς ξύλων πρίσματα εὐωδεστέρων. καὶ τὰς λοιπὰς δὲ ὀπώρας ὁμοίως. ἔτι δὲ ἀσπάραγον τὸν ἕλειον καθαίρειν. Τούτῳ τῷ μηνὶ καὶ σπόρου πολλοὶ ἄρχονται. ἐὰν δὲ μετὰ ιδ΄. ἡμέρας βρέξῃ, εὔφορα ἔσται πάνυ τὰ σπαρέντα. (6) κἂν μὴ βρέξῃ δὲ, οὐ βλαβήσεται τὰ σπέρματα. πρὸ μέντοι καλανδῶν Ὀκτωβρίων σπείρειν οὐ προσήκει. παρατηρητέον δὲ τὴν τοῦ Στεφάνου ἐπιτολὴν καὶ δύσιν. τὰ γὰρ ταύταις ταῖς ἡμέραις σπαρέντα, χρήσιμα ἔσται πάνυ.

nequaquam. Inſuper etiam arborum omnium ſemina ſeminare commodum eſt. Eodem menſe & oleum omphacinum præparare incipimus, collectis uvis acerbis & immaturis. Eodem menſe citreas arbores velabimus, quas in hybernis locis habemus. Truncos vero ipſarum cucurbitæ foliis integemus, & cinerem de cucurbitis uſtis radicibus circumjiciemus. Hoc menſe putationem inchoare præſtat, & poſt vindemiam fodere terram, ut quæ a vindemiatoribus calcata fuit, rurſus ſoluta facile autumnales pluvias uſque ad radices recipiat; ſed & herba ipſa vere minor fiet, radicibus omnibus ante tempus exciſis, & a glacie corruptis. Hoc menſe etiam mala, quæ in hyemem ſervabimus, decerpemus, & in lignorum odoratiorum ſcobem reponemus. Similiter & reliquos autumnales molles fructus. Aſparagus autem paluſtris nunc purgandus. Hoc menſe multi & ſementem facere incipiunt. Si autem poſt decimum quartum diem pluat, valde fertilia erunt ſata, & ſi non pluat, non lædentur ſemina. Ante tamen calendas Octobres ſeminare non expedit. Obſervandus eſt Coronæ ortus & occaſus. Quæ enim his diebus ſeminata fuerint, valde utilia erunt.

(3) *Melius forſan* καυθεισῶν, *quod in Verſ. expreſſi.* (4) *Malim* ἔαρος, *ut in Verſ.* (5) *Ita* Bar. *ante* πάγους διαφθαρουσῶν.; (6) *Suppl. ex MSS.* V. C. Bar. *&* Caſaub.

ΚΕΦ. ΙΔ.

Μηνὶ Νοεμβρίῳ.

Τῷ Νοεμβρίῳ μηνὶ μετὰ τοὺς πρώτους ὄμβρους δεῖ φυτεύειν τὰς ἀμπέλους, ἐν τοῖς θερμοτέροις ἢ ἀνύδροις τόποις. (1) τινὲς δὲ τότε κλα-

CAP. XIV.

Menſe Novembri.

Novembri menſe poſt primos imbres vites plantare oportet, in calidioribus aut ſiccis locis. Quidam tunc putant vites in calidioribus locis,

(1) *Revoc. hanc* περικοπὴν *ex MSS.* V. F. L. C. *&* B. 2.

In

In univerſum autem autumnalis putatio radices & palmites generoſiores facit, verna vero fructum copioſiorem reddit.

δεύουσιν ἐν τοῖς θερμοτέροις τόποις. καθόλου δὲ ἡ μετοπωρινὴ κλαδεία τὰς ῥίζας καὶ (2) τὸ κλῆμα γενναιότερον ποιεῖ, ἡ δὲ ἐαρινὴ, καρπὸν πλείονα παρέχει.

(2) *In MS.* Cott. τὰ κλήματα γενναιότερα.

CAP. XV.

Menſe Decembri.

MEnſe Decembri ſimiliter vitis plantari poteſt. Verum & Novembri & Decembri muſtum, poſtquam fervere deſierit, purgare oportet, & ſordes intus circa doliorum colla hærentes, itemque ſpumam, fœnogræco arido detergere, aut etiam manibus puris. Decembri item & Novembri menſe ſtolones omnium arborum quæ cito florent plantare & inſerere commodum eſt, ligna etiam ad ædificationem cædere, decreſcente & ſub terra latente luna. Novellæ inſuper vites itemque adultæ circumfodiantur, adultæ etiam ſtercorentur, novellis enim ſtercus injicere non eſt neceſſarium. Amplius & oleas poſt decerptum fructum putare tempeſtivum eſt, copioſior enim fructus ex novis ramulis prodit. Sed & circumfodere tum ipſas, tum alias arbores opportunum eſt, & arboribus impotentibus ſtercoris caprini quantum ſufficit injicere, aut amurcæ heminas viginti. Inſuper & caſtaneta plantare opportunum eſt, & fabas ſerere tempeſtivum.

ΚΕΦ. ΙΕ.

Μηνὶ Δεκεμβρίῳ.

Τῼ Δεκεμβρίῳ μηνὶ, ὁμοίως δυνατὸν φυτεύειν ἄμπελον. τῷ Νοεμβρίῳ καὶ τῷ Δεκεμβρίῳ τὸ γλεῦκος, μετὰ τὸ παύσασθαι (1) ζέειν, καθαίρειν χρὴ, καὶ τὸν ἔνδοθεν τὸν περὶ τοὺς τραχήλους τῶν πίθων ῥύπον καὶ ἀφρὸν ἀπομάττειν χόρτῳ τήλεως, ἢ ταῖς χερσὶ καθαραῖς. τῷ (2) Δεκεμβρίῳ καὶ τῷ Νοεμβρίῳ μηνὶ, τὰ μοσχεύματα πάντων τῶν δένδρων, ὅσα τάχιον ἀνθεῖ, καλὸν φυτεύειν καὶ ἐγκεντρίζειν, καὶ τὰ πρὸς οἰκοδομὴν ξύλα τέμνειν, ληγούσης καὶ ὑπὸ γῆν οὔσης τῆς σελήνης. Ἔτι τε τὰς νέας ἀμπέλους καὶ τὰς τελείας περισκάπτειν χρὴ, καὶ κοπρίζειν δὲ τὰς τελείας, ταῖς γὰρ νέαις οὐκ ἀναγκαῖον κόπρον ἐπιβάλλειν. ἔτι καὶ τὰς ἐλαίας μετὰ τὸ ἀποθέσθαι τὸν καρπὸν κλαδεύειν εὔκαιρον, πλείων γὰρ ἔξεισιν ὁ καρπὸς κατὰ τῶν νεῶν ὀρπήκων. Ἀλλὰ καὶ περισκάπτειν καὶ αὐτὰς, καὶ τὰ ἄλλα δένδρα εὔκαιρον, καὶ τοῖς ἀδυνάτοις δένδροις κόπρου αἰγείας ἐπιβάλλειν τὸ ἀρκοῦν, ἢ ἀμόργης κ'. κοτύλας. ἔτι τε καστανεῶνας φυτεύειν ἐπιτήδειον, ἀλλὰ καὶ κύαμον σπείρειν εὔκαιρον.

(1) Caſ. *ſupplet* τοῦ. (2) *MS.* Bar. *melius,* Νοεμβρίῳ καὶ Δεκεμβρίῳ μηνί.

ΒΙΒΛΙΟΝ Δʹ.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Δʹ.

Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, τετάρτῃ μὲν οὔσῃ τῶν περὶ γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ περὶ φυτείας καὶ ἐργασίας ἀναδενδράδων, (1) καὶ περὶ μεταφυτεύσεως αὐτῶν, περί τε μυρσινίτιδος σταφυλῆς, καὶ τῆς θηριακῆς λεγομένης, καὶ περὶ διαφόρου ἐγκεντρισμοῦ, καὶ πῶς ἐστι τὸν αὐτὸν βότρυν διαφόρους ἔχειν ῥᾶγας, καὶ περὶ διαμονῆς σταφυλῶν, καὶ ἕτερα πολλὰ χρήσιμα.

LIBER IV.

ARGUMENTUM LIB. IV.

HÆC inſunt in hoc libro, qui quartus eſt ſelectarum de agricultura præceptionum, & continet tractatum de plantatione & cultura vitium arbuſtivarum, & de tranſplantatione earundem, deque uva myrſinitide & theriaca appellata, & de diverſa inſitione, & quomodo idem racemus diverſos habeat acinos, & de uvarum diuturnitate, & alia multa utilia.

(1) *MSS.* F. L. *&* B. 2. *non agnoſcunt* καὶ … αὐτῶν.

ΚΕΦ. Α.

Περὶ ἀναδενδράδων. Φλωρεντίνου.

Αἱ ἀναδενδράδες τοῖς πᾶσι χρησιμώτεραι. καὶ γὰρ καὶ καλλίονα τὸν οἶνον, καὶ μονιμώτερον καὶ γλυκύτερον ἀποτελοῦσι, καὶ ἐκ διαστημάτων δὲ τεθεῖσαι, συγχωροῦσι τὴν ἐν αὐταῖς γῆν παρὰ δύο ἔτη σπείρεσθαι. δεῖ δὲ ταῖς ἀναδενδράσι μὴ πάντα ὑποβάλλειν τὰ δένδρα, ἀλλ' ὅσα μονόρριζά ἐστι, ὡς ἡ λεύκη, ἢ ὅσα τὰς ῥίζας ἔχουσιν ἐσταλμένας, καὶ τὴν κόμην μὴ σφόδρα βαθεῖαν, ἵνα μὴ πάντῃ ἐπισκιάζῃ τὴν ἄμπελον. εἰσὶ δὲ αἱ τοιαῦται, πτελέαι, αἴγειροι, μελίαι, (1) σφένδαμνος. ἐχέτω δὲ ὕψος ὡς ποδῶν τεσσαράκοντα καὶ δέκα. Καὶ ἐν τοῖς τῆς Βιθυνίας (a) χωρίοις τοῖς (2) Ταρσηνοῖς καὶ Βοανοῖς, καὶ ἕως ποδῶν

CAP. I.

De vitibus arbuſtivis. *Florentini.*

ARbuſtivæ vites omnibus commodiores ſunt. Nam & melius, & diuturnius & dulcius vinum efficiunt, & ex intervallis poſitæ, permittunt terram inter ipſas tertio quoque anno ſeminari. At vero non omnes arbores vitibus arbuſtivis ſupponere oportet, ſed quæcunque unicam radicem habent, velut alba populus, aut quæ radices habent contractas, & comam non valde denſam, ne penitus vitem obumbrent. Sunt autem hujuſmodi, ulmi, populi nigræ, fraxini, acer. Altitudinis ſint pedum triginta aut quadraginta. In Bithyniæ villis Tarſenis & Boanis,

(1) *Ita lego. In MSS. ſemper* σφένδαμος, *ante* σφένδανος.

(a) Χωρίοις τοῖς Ταρσηνοῖς καὶ Βοανοῖς,] *Interpres vertit* Regionibus, *male quidem ut videtur, cum de Regionibus aut territoriis* Tarſenis *vel* Boanis *in* Bithynia *nulla, quod ſciam, fiat apud Vett. Geographos mentio: Vertendum* Villis, *quæ Latini* Rura *nominabant; Tuſculanum* Ciceronis, *&* *Liternina Villa* Scipionis Africani *receſſu clara, neminem latent.*

(2) *MS.* Bod. Ταρσυνοῖς. Cott. Ταρσινοῖς.

etiam

etiam uſque ad ſexaginta pedes inſurgentes arbores, per quas vitis aſcendit, non officiunt, ſed etiam melius vinum faciunt, maxime Aminæum. In bona itaque terra permittendum eſt ut ejuſmodi arbores in altum excreſcant, quemadmodum prædictum eſt: Verum in tenui terra a pedibus octonis exſcindendæ ſunt, ne omnis terræ vis in ipſas arbores inſumatur. Extendantur autem rami, quantum fieri poteſt, in orientem & occaſum. Eaſdem vero arbores ut vitem circumfodere & mediocriter ſtercorare oportet. Convenitque ejuſmodi vites longas eſſe & robuſtas, ſuntque maxime cum radicibus plantandæ. Et alii quidem a plantariis viviradices tranſferentes poſuerunt, alii vero adultam fere vitem floridam perpurgantes, & radicitus extrahentes cum propria terra, in foſſam juxta arborem imponunt. Deponitur autem vitis hoc modo. Spatio trium cubitorum ab arbore plantato; deinde ubi probe comprehenderit, ut jam ſufficiens ſit quo arbori uniatur & maritetur, (hoc vero ex craſſitudine indicatur) totam proſtratam & defoſſam arbori adjungito, pedis ſpatio ab arboris radice, reliquo palmite libero relicto, & quoſcunque oculos relictos eſſe contigerit, ungue ademptos excæcato, quo unum aut alterum germen in ſummo relictum uberius augeſcat, quod deinde ubi auctum fuerit ſenſim arbori adjungere, ut in ea conquieſcat, convenit. Obſervandum eſt autem ut illa arboris pars diligenter putetur, & quicquid circa radicem eſt auferatur, quo nihil radicem tegat. Meminiſſeque oportet ut ejuſmodi, hoc eſt arboribus maritatas vites, in putatione a trunco longius amputemus,

ξʹ. ἐκτεινόμενα τὰ φυτὰ, καθ᾽ ὧν ἡ ἄμπελος φέρεται, οὐ βλάπτει, ἀλλὰ καὶ καλλίονα τὸν οἶνον ποιεῖ, καὶ μάλιστα τὸν ἀμιναῖον. ἐν μὲν οὖν τῇ εὐγείῳ συγχωρεῖν δεῖ ὑψοῦσθαι, καθὼς προείρηται, τὰ τοιαῦτα δένδρα· ἐν δὲ τῇ λεπτογείῳ ἀπὸ ποδῶν ηʹ. ἐκκόπτειν, ἵνα μὴ πᾶσα ἡ δύναμις τῆς γῆς εἰς τὰ δένδρα ἀναλίσκηται. ἀναπετάσθωσαν δὲ οἱ κλάδοι, κατὰ τὸ δυνατὸν, εἰς ἀνατολὰς καὶ δύσιν. δεῖ δὲ ταῦτα τὰ δένδρα ὁμοίως τῇ ἀμπέλῳ περισκάπτειν, καὶ κοπρίζειν μετρίως. Προσήκει δὲ τὰς τοιαύτας ἀμπέλους εὐμήκεις εἶναι καὶ ἰσχυρὰς, ἐνρίζους τε ταύτας μάλιστα φυτευτέον. καὶ οἱ μὲν ἀπὸ τῶν φυτωρίων ἔνριζα φυτὰ μετακομίζοντες ἔθεσαν, οἱ δὲ ἄλλοι τελείαν ἐγγὺς ἤδη ἄμπελον εὐθαλῆ διακαθάραντες, καὶ ἐκριζώσαντες μετὰ τῆς οἰκείας γῆς, εἰς τὸν παρακείμενον τοῦ δένδρου βόθρον ἐντιθέασιν. Ἀποτίθεται δὲ ἡ ἄμπελος οὕτως. ἀπὸ διαστήματος τοῦ δένδρου πηχῶν τριῶν φύτευσον· εἶτα ἐπειδὰν καλῶς καταλάβῃ, ὡς (3) ἱκανὴν γενέσθαι προσενωθῆναι τῷ δένδρῳ, (τοῦτο δὲ ἐκ τοῦ παχύτητος δείκνυται) καταστορέσας ἅπασαν καὶ ἐγχώσας πρόσαγε τῷ δένδρῳ, ἐκ διαστήματος ποδὸς τῆς τοῦ δένδρου ῥίζης, ἐάσας τὸ κλῆμα λοιπὸν ἐλεύθερον, καὶ ὅσους δυνατὸν ὀφθαλμοὺς περιλειφθῆναι, οὓς πάντας τῷ ὄνυχι (4) ἀφελὼν τύφλου, ἵνα ὁ ἐν τῷ ἄκρῳ βλαστὸς εἷς ἢ δεύτερος περιλειφθεὶς (5) εὐθαλέστερος αὐξήσῃ, αὐξήσαντα δὲ τοῦτον λοιπὸν ἠρέμα τῷ δένδρῳ προσάγειν, καὶ πρὸς ἀνάπαυσιν, προσήκει. παρατηρεῖν δὲ δεῖ, ὅπως ἐκεῖνο τὸ μέρος τοῦ δένδρου ἐπιμελῶς κλαδεύηται, καὶ πᾶν ἀφαιρῆται τὸ κατὰ τῆς ῥίζης, ἵνα μηδὲν ἐπισκέπῃ τὴν ῥίζαν. Μεμνῆσθαι δὲ χρὴ τὰς τοιαύτας ἀμπέλους, τουτέστι τὰς δενδρίτιδας, ἐν

(3) *Emend. ex MS.* Bar. (4) *MSS.* ἀφαιρῶν. (5) *Ita MSS.* F. C. & B. 1. *antea* εὐθαλέστερον αὐξήσει.

τῇ

τῇ κλαδείᾳ μακροτέραν, ὡς καταλιμπάνεσθαι τὰ κλήματα, οὐκ (†) ἔλαττον πηχῶν δύο. οὕτω δὲ διατίθεσθαι τὰ κλήματα κατὰ τῶν κλάδων τοῦ δένδρου προσήκει, ὡς τὰ καρποφοροῦντα μέρη μετεωρίζεσθαι, καὶ ὑπὸ τῶν ἀνέμων δονεῖσθαι. ἐχέτωσαν δὲ οἱ στίχοι (6) διάστημα ὡς πήχεις ιε΄. οὕτω γὰρ καὶ καλλίων ὁ οἶνος ἔσται, καὶ πλείων. καὶ δένδρα δὲ μεταξὺ καρποφοροῦντα ὀλιγόρριζα δέχεσθαι δύναται, τουτέστι ῥοιὰς, μηλέας, (7) κυδωνέας. καὶ ἐλαίαν δὲ ἐκ διαστημάτων φυτεύειν δυνατὸν, κἂν τισι μὴ δοκῇ. τινὲς δὲ καὶ συκῆν ταῖς ἀμπέλοις διαβεβαιοῦνται εἶναι κατάλληλον, ὅπερ οὐχ οὕτως ἔχειν ἡ πεῖρα ἐδίδαξε, διὸ κάλλιον τὰς συκὰς ἔξωθεν κύκλῳ περιφυτεύειν. Ἔγνωμεν δὲ ἐν Βιθυνίᾳ τὴν δενδρῖτιν ἄμπελον τῇ κερασέᾳ χαίρειν, καὶ μάλιστα τὴν ὀπωρικήν· ἀλλὰ μὴν καὶ τὴν ἀμίνιον, ὡς αἰτίαν καὶ πολυκαρπίας καὶ πολυοινίας. Τὸ σπείρειν δὲ ταύτην τὴν γῆν, ὡς προείρηται, παρὰ δύο ἔτη δυνατόν. οὐ γὰρ μόνον οὐ βλαβήσεσθαι, ἐκ τῆς τούτου τοῦ σπόρου ἐνοχλήσεως, οἱ ἔμπειροι ὄντες διαβεβαιοῦνται, ἀλλὰ καὶ καλλίονα τὸν οἶνον τὸν ἐκ τούτου ἔσεσθαι ἐπαγγέλλονται. Ἐπειδὴ δὲ συμβαίνει τὴν ἄμπελον κύκλῳ περικειμένην τῷ στελέχει, καὶ οὕτως ἀναβιβαζομένην ἐπὶ τὸ ὕψος, τῷ χρόνῳ θλιβομένην τρόπον τινὰ συνέχεσθαι καὶ ἀποπνίγεσθαι τῇ πρὸς τὸ στέλεχος ἑνώσει· πολλοὶ τῶν ἐν Βιθυνίᾳ, μεταξὺ τῆς ἀμπέλου καὶ τοῦ δένδρου σφῆνα ἐμβάλλουσιν, οὕτω δὲ διαστήσαντες ἐκ τοῦ δένδρου τὴν ἄμπελον, χώρημα αὐτὴν ἔχειν ποιοῦσι πρὸς ἀνάπαυσιν.

ita ut ſarmenta non breviora duobus cubitis reliquantur. Sic vero ſarmenta ſecundum ramos arboris diſponi convenit, quo partes fructum ferentes ſublimes ſint, & a ventis agitentur. Ordines habeant intervalla cubitorum quindecim. Ita enim & melius vinum erit & copioſius. Cæterum in his ſpatiis arbores fructiferæ paucarum radicū plantari poſſunt, velut eſt malus punica, malus quæcunque, & cotonea. Oleam etiam in his intervallis plantare licet, etiamſi quibuſdam non probetur. Quidam etiam ficum vitibus congruam eſſe affirmant, quod non ita ſe habere experientia convincit, quapropter præſtat ficus foris in ambitu circumplantare. Porro cognovimus in Bithynia vitem arbuſtivam ceraſo delectari, & maxime eſcariam: Imo etiam aminiam, quia & multi fructus, & multi vini cauſa eſt. At vero hanc terram etiam ſeminare tertio quoque anno licere, ſupra dictum eſt. Ex hujus enim ſementis turbatione, non ſolum nihil offendi, experti affirmant, ſed etiam præſtantius vinum inde fore promittunt. Quandoquidem vero contingit vitem arboris trunco circulariter adhærentem, hocque modo in altum aſcendentem, temporis progreſſu comprimi, & quodam modo conſtringi ac ſuffocari unione ad truncum; plerique in Bithynia inter vitem & arborem cuneum inſerunt, atque ubi hoc modo vitem ab arbore disjunxerunt, ſeceſſum comparant ipſi in quo requieſcat.

(†) *An legend.* ἐλάττονα. (6) *MSS.* F. L. C. & B. 2. διάστημα πήχεις ιβ΄. (7) *Potius* κυδωνίας. (8) *MSS.* V. C. ἀμίννιον. F. L. & B. 2. ἀμμίνιον.

CAP.

CAP. II.

Aliud de arbuſtivis vitibus. Africani.

Cornua caprarum tria circa vitem arbuſtivam erecta infigito, acumine deorſum, alia parte ſurſum ſpectante, & obruito, ut ſumma cornuum pars paululum e terra promineat, quo pluvia delapſa deſcendens cornua irriget; & vitis valde fertilis evadet.

ΚΕΦ. Β.

Ἄλλο περὶ ἀναδενδράδων. Ἀφρικανοῦ.

Αἰγὸς κέρατα τρία τῇ ἀναδενδράδι περίπηξον ὀρθά, τὸ ὀξὺ κάτω, καὶ τὸ ἄλλο ἄνω, καὶ περίχωσον, ὥστε ὀλίγον τῆς γῆς προκύπτειν τὸ ἄκρον τῶν κεράτων, ἵνα ἡ βροχὴ κατιοῦσα ἐμβρέχῃ τὰ κέρατα· καὶ ἔσται ἡ ἄμπελος πολυφόρος σφόδρα.

CAP. III.

Quomodo facile & cito poſſint vites viviradices tranſplantari. Didymi.

Poſtquam magnas vites ſemel atque iterum paſtinare inchoabimus, ex multa diligentia magnum lucrum accedet. Ex adulta itaque vite, hoc eſt decennali & deinceps, ſarmentum quam longiſſimum & generoſiſſimum eligito ex inferioribus partibus, hoc eſt ad pedalem uſque altitudinem a terra, idque proſtratum in ſcrobem pedali altitudine effoſſam defodito, longitudine tanta ut quatuor oculos recipere poſſit, tot enim adobrui terra convenit. Sic tamen ut poſt adobrutos quatuor oculos, qui adhuc in ſummo exiſtunt ac ſuperſunt non plures ſint quam duo aut tres. Quod ſi majus ſit ſarmentum adeo ut etiam ſecundam defoſſionem ſuppeditare poſſit, duas viviradices ex una facies, & juxta eundem modum ac prædictam ſymme-

ΚΕΦ. Γ.

Πῶς ἔστιν εὐμαρῶς καὶ ταχέως ἐνρίζους ἀμπέλους μεταφυτευθῆναι. Διδύμου.

Ἐπειδὰν τὰς μεγάλας ἀμπέλους ἅπαξ καὶ δεύτερον γυροῦν, τουτέστι περισκάπτειν (1) ἀρξόμεθα, ἐκ τῆς πολλῆς ἐπιμελείας μέγα κέρδος ἔσται. ἀπὸ ἀκμαίας οὖν ἀμπέλου, τουτέστιν ἀπὸ δεκαετοῦς καὶ ἑξῆς, κλῆμα μακρότατον καὶ (2) γενναιότατον ἐπιλεξάμενος ἐκ τῶν κατωτέρων μερῶν, τουτέστιν ἕως ποδιαίου ὕψους ἀπὸ τῆς γῆς, καταστρέψας κατάχωσον εἰς τάφρον ὀρυγεῖσαν ποδιαῖον βάθος, μῆκος δὲ τοσοῦτον ὅσον ὀφθαλμοὺς τέσσαρας δέξασθαι, τοσούτους γὰρ ἐπιχωσθῆναι προσήκει. οὕτω μέντοι, ἵνα μετὰ τὴν κατάχωσιν τῶν τεσσάρων ὀφθαλμῶν, οἱ ἐν τῷ ἄκρῳ ὑπάρχοντες (3) καὶ περισσεύοντες, μὴ ὦσι πλείους δύο ἢ τριῶν ὀφθαλμῶν. εἰ δὲ μεῖζον εἴη πάνυ τὸ κλῆμα, ὡς καὶ δευτέραν κατάχωσιν ὑποστῆναι, ποιήσεις ἐκ μιᾶς δύο ἐνρίζους, τὸν αὐτὸν τρόπον, κατὰ τὴν προειρημένην συμμετρίαν, (4) καὶ

(1) *Ita MSS.* F. L. C. *&* B. 2. *MS. V. &* Caſ. ἀρξώμεθα. (2) *Ex MSS. ante* --ότερον ἐπιδέξ. (3) *Deſunt in MSS.* F. L. C. *&* B. 1. (4) *Ita* Bar. *&* Interp. *prius* κατὰ.

τὸ

τὸ δεύτερον τοῦ κλήματος μέρος ἐγκαταχώσας. τὸ δὲ μετὰ τὰς δύο καταθέσεις, ἀφ' ὧν δύο ἔνριζοι γίνονται ἄμπελοι, περιττεῦον κλῆμα περιαιρεῖν προσήκει, ὡς ἐπὶ τὸ πολὺ ἄχρηστον ὄν. Παρατηρεῖν δὲ δεῖ καὶ ἐπιμελῶς φυλάττειν, ὅπως μὴ μεταξὺ τῆς ἑνώσεως τῆς πρὸς τὴν παλαιὰν ἄμπελον, καὶ τοῦ ἐπιχωσθέντος μέρους βλαστήσῃ. συμβαίνει γὰρ τοὺς μεταξὺ ὄντας ὀφθαλμοὺς β'. ἢ γ'. πρὸς βλάστησιν (5) ἐπειγομένους, ἐμποδίζειν τῇ ῥιζώσει τοῦ κατατεθέντος κλήματος. δεῖ τοίνυν, τοῦτο φυλαττομένους, ἀφαιρεῖν τῷ ὄνυχι οὕτω τοὺς ὀφθαλμοὺς, ὡς μὴ συγχωρεῖν βλαστάνειν, καὶ εἰ νεόποδες εἶεν ἐκφύντες, καὶ τούτους καθαιρεῖν χρή. Δύο δὲ ἢ τριῶν ὀφθαλμῶν ὄντων, οὓς καταλειφθῆναι προσήκειν ἐδιδάξαμεν, ἐν τῷ ἄκρῳ τῆς ἐμβροχάδος, (τοῦτο γὰρ ὀνομάζουσιν) ἀκόλουθόν ἐστιν ἑνὸς μόνου ὀφθαλμοῦ τὸν βλαστὸν καταλιπεῖν τὸν (6) ἐπιτηδειότερον. παραπηγνύναι δὲ τῷ καταλιμπανομένῳ βλαστῷ ῥάβδον λεπτὴν ἢ κάλαμον, ἵνα ὁ βλαστὸς ἁπαλὸς ὢν προσαναπαύοιτο τῇ συναφείᾳ τοῦ καλάμου, καὶ μὴ στρεβλοῖτο, μηδὲ ἐκχέοιτο. ἰσχυρότεραι δὲ αἱ ῥίζαι γίνονται, δευτέρῳ ἔτει ἀποτεμνομένου τοῦ κλήματος, δηλονότι ἀπὸ τῆς ἀμπέλου, ἵνα μὴ βλάψῃ τὴν μητέρα ἐπὶ πολὺ προσκείμενον τὸ φυτὸν, καὶ εἰς ἑαυτὸ τὴν τῆς μητρὸς δύναμιν ἐφελκόμενον. Οἱ δὲ ἐν Βιθυνίᾳ, πληρωθέντος τοῦ ἐνιαυτοῦ, πληγὴν μόνην ἐπενεγκόντες τῷ προειρημένῳ κλήματι, οὔτε πάντῃ τῆς μητρὸς χωρίζουσι τὸ φυτὸν, μηδέπω τελείως ῥιζῶσαν, οὔτε ἐνοχλεῖν τῇ μητρὶ τοσοῦτον συγχωροῦντες, ἀλλὰ τῇ τομῇ τὴν αὐτάρκειαν ἀμφοτέροις φυλάττουσι, τὸ τέλειον ἀποκόπτοντες, ὅτε καὶ μεταφυτεύειν καιρὸς, τουτέστιν ἀρχομένῳ τρίτῳ ἔτει. διὸ καλλίονα εἶναι δοκεῖ τὰ ἔνριζα φυτὰ ἐν τοῖς φυτωρίοις τρεφόμενα, καὶ πολὺ

triam, etiam alteram ſarmenti partem defodiens ac obruens. Cæterum ſarmentum quod poſt duas depoſitiones ſupereſt, e quibus duæ viviradices naſcuntur vites, reſecare convenit, nam ut plurimum inutile eſt. Obſervare autem & diligenter cavere oportet, ne inter unionem ad veterem vitem, & defoſſam partem germinet. Contingit enim oculos intermedios duos aut tres germinare incipientes, radicationem depoſiti ſarmenti impedire. Hoc igitur obſervantes ita ungue oculos auferemus, ut non permittamus germen emittere, & ſi nova germina enata ſint, etiam ipſa decidere oportet. Duobus autem aut tribus oculis reſtantibus, quos relinqui oportere docuimus, in impluvii ſummo, (ita enim appellant) convenit ut unius tantum oculi germen quod fuerit relinquamus. Depangenda eſt autem ad relictum germen tenuis virga aut arundo, quo germen tenerum calami contactu acquieſcat, & neque pervertatur obtortum, neque diffluat. Fortiores porro fiunt radices ſecundo anno ſarmento deſecto, a vite videlicet, ne planta matrem lædat diutius adhærens, & in ſeipſam matris vim attrahens. At vero in Bithynia, completo anno, cæſuram ſolum prædicto ſarmento infligentes, neque penitus a matre ſeparant plantam, quæ nondum perfecte radices egit, neque in tantum matri moleſtam eſſe permittunt, ſed per plagam incuſſam utriſque ſufficientiam conſervant, adultum deinde reſecantes, quum jam tranſplantandi tempus eſt, inchoante tertio anno. Quapropter optimæ eſſe videntur viviradices in plantariis nu-

(5) *Ex MSS.* C. & B. 1. *MS.* V. πρὸς βλάστην ἐπαγομ. *antea* ἐπιγινομένους. (6) *Ita MSS. in pr. Ed.* -- δειότατον. παραμιγνύναι.

tritæ,

tritæ, & multo magis adulta ſarmenta per codices depoſita, & quandoque tranſplantata. Hæc enim & probe nutriri poſſunt abſque matris perturbatione, & citius terræ adnaſci ac coaleſcere, imo & per ſe vitis eſſe poſſunt.

μᾶλλον τὰ τέλεια κλήματα (a) διὰ σκυταλίδων κατατιθέμενα, καὶ ἐνίοτε μεταφυτευόμενα. ταῦτα γὰρ καὶ παιδοτροφηθῆναι εὐφυῶς δύναται, ἄνευ τοῦ μητρὶ ἐνοχλῆσαι, καὶ τάχιον προσφυῆναι τῇ γῇ, καὶ καθ' ἑαυτὰ εἶναι ἄμπελος.

(a) *Διὰ σκυταλίδων*] Σκυταλίδες, Caudices *vel* Codices, *Surculi majores.* Strabo *Geogr. Lib. XVII. p.* 562. Ὁ δὲ πακτὼν διὰ σκυταλίδων πεπηγὸς ἐστι σκαφίον, ὥστ' ἐοικέναι διαπλοκίνῳ· i.e. *Pacton vero eſt ſcapha ex Codicibus ita compoſita, ut Papyraceæ textili ſimilis videatur.* Latini *naves codicarias appellabant, quas* Græci πακτῶνας, *inquit* Salmaſius *in* Solinum. *Ita* Varrò *de Vita Pop. Rom.* " *Imo Codicariæ ex codicibus junctæ pluribus.*

CAP. IV.

De uva ex myrto. Tarentini.

UVa myrtea ſub imũ fundũ myrti baccas habet. Fit autem uva myrto mixta, ſi in myrtum arborem vitis ſarmenta inſeras.

ΚΕΦ. Δ.

Περὶ τῆς ἀπὸ μυρσίνης σταφυλῆς. Ταραντίνου.

Ἡ Μυρτομιγὴς σταφυλὴ, ἔχει τὰ κάτω (1) πυθμένια μύρτα. γίνεται δὲ μυρτομιγὴς, ἐὰν εἰς μυρσίνην κλήματα ἀμπέλων ἐγκεντρίσῃς.

(1) *Emend. ex MSS. ante* πυθμένη.

CAP. V.

De præcoci uva. Ejuſdem.

SI nigram uvam in ceraſum inſeras, etiam in vere uvam habebis. Eodem enim tempore vitis uvas producet, in quo ceraſus proprium fert fructum. Cito autem germinabit vitis, ſi nitrum tritum aqua mixtum ad mellis ſpiſſitatem redegeris, & poſt putationem ſtatim ipſos oculos large illeveris; poſt octo enim dies germinabit. Præcoces vero efficies uvas, ſi ſimul cum plantis vinacea dulcia, hoc eſt nondum acida, ſufficienti modo depoſueris. Me-

ΚΕΦ. Ε.

Περὶ πρωΐμου σταφυλῆς. Τοῦ Αὐτοῦ.

ΜΕλαιναν σταφυλὴν ἐὰν ἐγκεντρίσῃς εἰς κερασέαν, καὶ ἐν τῷ ἔαρι ἕξεις (1) σταφυλήν. τῷ γὰρ καιρῷ οἴσει ἡ ἄμπελος τὰς σταφυλὰς, ἐν ᾧ ἡ κερασέα τὸν οἰκεῖον φέρει καρπόν. ταχέως δὲ βλαστήσει ἡ ἄμπελος, ἐὰν νίτρον λεῖον μίξας ὕδατι, καὶ ποιήσας πάχος μέλιτος, μετὰ τὴν κλάδευσιν εὐθέως τοὺς ὀφθαλμοὺς ἐπιχρίσῃς δαψιλῶς· δι' ἡμερῶν γὰρ ὀκτὼ βλαστήσει. πρωΐμους δὲ ποιήσεις σταφυλὰς, συνεπιβάλλων τοῖς φυτοῖς αὐτάρκη γίγαρτα τὰ

(1) *Ita MS.* Bar.--σταφυλήν· καθ' ὃν καιρὸν ἡ κερασέα.

γλυκέα, τουτέστι μὴ ἤδη τραπέντα. κάλλιον δὲ ποιήσεις, ἐὰν προσβάλλῃς τῷ φυτῷ τῷ φυτευομένῳ τὰ προειρημένα γίγαρτα.

lius autem feceris, ſi plantæ dum plantatur prædicta vinacea adjeceris.

ΚΕΦ. ς.

Περὶ ὀψίμου σταφυλῆς. Τοῦ Αὐτοῦ.

Τοὺς ἐν ἀρχῇ φυέντας βότρυας ἀφαιρεῖν χρή, πάλιν γὰρ ἀντ᾽ αὐτῶν ἕτεροι φυήσονται· καὶ τοῦ φυτοῦ πλείονα ἐπιμέλειαν ποιοῦ, καὶ δεύτερον βότρυας ἐκφύσει, οὗτοι δὲ καὶ πεπανθέντες ὄψιμοι γενήσονται. καὶ λαβὼν τούτους εἰς ἀγγεῖα κεράμεια τετρημένα κάτωθεν ἐπιτίθει τοὺς βότρυας, καὶ σκέπασον τὸ ἄνωθεν μέρος ἐπιμελῶς, καὶ καταδήσας πρὸς τῇ ἀμπέλῳ τὰ ἀγγεῖα, ὥστε ἀκίνητα εἶναι διὰ τοὺς ἀνέμους.

CAP. VI.

De uva ſerotina. Ejuſdem.

Racemos qui primum enati fuerint auferre oportet, rurſus enim alii pro ipſis naſcentur: Inſuper & plantæ multam curam habeto, iterumque racemos producet, hi vero maturi facti ſerotini erunt. Eos itaque racemos in vaſa fictilia inferne perforata injicito, & ſupernam partem diligenter contegito, ipſaque vaſa ad vitem alligato, quo a ventis immota permaneant.

ΚΕΦ. Ζ.

Περὶ ἀγιγάρτου σταφυλῆς. Δημοκρίτου.

Ἀγίγαρτον σταφυλὴν τινὲς οὕτω ποιοῦσι. τοῦ κλήματος μέλλοντος φυτεύεσθαι, τοσοῦτον μέρος ὅσον εἰς τὴν γῆν μέλλουσι καταχωννύναι, τοσοῦτον ἠρέμα ἐξ ἴσου σχίσαντες αὐτὸ, (1) ὠτογλυφίδι τὴν ἐντεριώνην λαμβάνουσιν, εἶτα παπύρῳ ὑγρῷ περιδήσαντες κατατίθενται. κάλλιον δὲ, εἰ ὅλον τὸ μέρος τοῦ κλήματος τὸ ἐπὶ τῆς γῆς κατατιθέμενον, σκίλλης ἐμβληθείσης κατατεθείη, πρὸς γὰρ τῇ φύσει καὶ τῇ ἑνώσει ἡ σκίλλα συμβάλλεται. Ἄλλοι δὲ αὐτὰς τὰς ἀμπέλους τὰς ἤδη καρποφορούσας τέμνουσι, καὶ ὠτογλυφίδι τοῦ καρποφοροῦντος κλήματος τὴν ἐντεριώνην λαμβάνουσιν, ὅσον δύνανται ἐκ βάθους, οὐ

CAP. VII.

De uva abſque vinaceis. Democriti.

Uvam abſque vinaceis quidam ſic faciunt. Sarmenti quod plantaturi ſunt tantam partem, quanta terra adobruenda eſt, leniter ex æquo tantũ findunt, & auriſcalpio medullam omnem eximunt, deinde papyro humida obligatum ſarmentum deponunt. Præſtat tamen, ſi totam ſarmenti partem, quæ in terram deponitur, ſcilla injecta depoſueris, ſcilla enim tum ad naſcendum, tum ad uniendum conducit. Alii ipſas vites jam fructiferas incidunt, & ſarmenti fructiferi medullam auriſcalpio eradunt, quantum fieri poſſibile eſt eam ex alto eximentes, ſarmento non fiſſo, velut eſt indicatum, ſed integro ma-

(1) Codd. *MSS. &* Caſ. *ſic legunt, antea* ὡς τὸ γλυφίδι.

nente & laſeris Cyrenaici ſuccum aqua diſſolutum, & ad ſapæ ſpiſſitudinem redactum infundunt, & erecta ſarmenta ad ridicas alligant, ne ſuccus effluere poſſit. Singulis autem deinde octonis diebus ſuccum eundem ſarmento infundunt, donec germen emittat. Idem facies & in punica malo ac ceraſo, ſi quidem & harum fructus abſque granis ac nucleis naſci velis.

διαχίσαντες τὸ κλῆμα, ὡς προδεδήλωται, ἀλλὰ ἀκέραιον ἐάσαντες, καὶ (a) ὀπὸν Κυρηναϊκὸν ἀνέντες ὕδατι, καὶ εἰς πάχος ἑψήματος ποιήσαντες ἐγχυματίζουσι, καὶ ἀνορθώσαντες τὰ κλήματα πρὸς χάρακας ἀναδεσμοῦσιν, ἵνα μὴ ὁ ὀπὸς ἐκρυῇ. κατὰ δὲ ὀκτὼ ἡμέρας τῷ ὀπῷ ἐγχυματίζουσι τὸ κλῆμα, ἕως ἂν βλαστήσῃ. τὸ δὲ αὐτὸ ποιήσεις καὶ ἐπὶ (2) καρύας καὶ κερασέας, εἰ βούλει ἀγίγαρτον ποιῆσαι.

(a) Ὀπὸν Κυρηναϊκὸν] *Silphii plantæ Cyrenaicæ ſuccus, quam ipſi* Cyrenenſes Σίλφι *vel* Σίρφι *vocaſſe videntur: Inde proprie Laſerpicium* τοῦ σιλφίου Ὀπὸς, *quaſi lac ſerpicium, quod interdum abſolute* Ὀπὸς *dicitur. Et Græci totam plantam* σίλφιον *vocant in iſtis*, Βάττου σίλφιον, Σιλφίου λειμών. *Alii* σίλφιον *pro radice tantum acceperunt;* Pollux *in Onom. Lib. VI. Cap. X.* Antiphanis *&* Eubuli *fragmentis iſta ſubjicit.* Τοῦ μέντοι σιλφίου τὸ μὲν σπέρμα καλεῖται μαγύδαρις, ἡ δὲ ῥίζα σίλφιον, τὸ δὲ φυτὸν καυλὸς, τὸ δὲ φύλλον μάσπετον. *Græculi recentiores* Ὀπὸν σιλφίου, λάσαρ λάσαρον *&* λάσαρον *ex voce Latina appellant. Silphium etiam in* Media *&* Syria *naſci,* Cyrenaico *deterius, authores* Strabo, Plinius, *&* Dioſcorides. *Plura de* Silphio *legantur apud* Athenæum *Lib.* 3. Theophraſtum, Plinium, *&* Cl. Salm. *in* Solinum, *qui duas* Silphii εἰκόνας *ex Nummo Argenteo* Cyrenæorum, *& vetuſto* Dioſcoridis *codice ante mille annos exarato, longe diverſas exhibet. Totum hoc Cap. pene ad verbum expreſſit* Palladius *in* Febr. *Tit. XXIX.*

(2) Interp. *rectius,* ῥοιᾶς. *Confer.* Cap. 31. Lib. X. *MS.* Bod. *ut in textu.*

CAP. VIII.

De vite theriaca & purgatoria. Florentini.

QUod ad multa confert vitis theriaca, manifeſtum eſt, & maxime ad ſerpentum ictus. Modum autem quo paratur nunc dicemus. Ramuli vitis quem plantare volumus, inferiorem partem findimus ad trium aut quatuor digitorum menſuram, & exempta medulla antidotum in ipſum ſarmentum injicimus, deinde papyro obvoluta fiſſa parte plantamus. Qui diligentiores circa hanc parandam haberi volunt, etiam in radices antidotum diffundunt. Si-

ΚΕΦ. Η.

Περὶ τῆς θηριακῆς καὶ καθαρτικῆς ἀμπέλου. Φλωρεντίνου.

ΟΤι εἰς πολλὰ συμβάλλεται ἡ θηριακὴ ἄμπελος, δῆλον, καὶ μάλιστα πρὸς τὰς τῶν ἑρπετῶν πληγάς. τὸν δὲ τρόπον, καθ' ὃν σκευάζεται, νυνὶ λεκτέον. Τοῦ κλάδου τῆς ἀμπέλου, ὃν φυτεύειν μέλλομεν, τὸ κατώτερον μέρος σχίσαντες, ὅσον δακτύλων τριῶν ἢ τεσσάρων μέτρον, καὶ τὴν ἐντεριώνης ἐξελόντες, ἐμβάλλομεν εἰς τὸ κλῆμα τὴν ἀντιδότου, εἶτα παπύρῳ περιελίξαντες τὸ σχισθὲν μέρος φυτεύομεν. οἱ δὲ ἐπιμελέστερον ποιοῦντες, καὶ τὴν ἀν-

τίδοτον

ἀντίδοτον ἐγχέουσιν εἰς τὰς ῥίζας. ὁμοίως δὲ καὶ τὴν καθαρτικὴν ἄμπελον τούτῳ τῷ τρόπῳ ποιοῦμεν, σχίζοντες τὸ κλῆμα καὶ ἐλλέβορον ὑποτιθέντες. Εἰδέναι δὲ χρὴ, ὅτι ἀπὸ τῆς θηριακῆς ἀμπέλου κλῆμα ληφθὲν εἰς φυτείαν οὐ τὴν αὐτὴν ἔχει δύναμιν. ἐξαδρεῦται γὰρ μεταφυτευόμενον, ἢ μετεγκεντριζόμενον, ἀντιδότου διαπνεομένης τῷ χρόνῳ· διὸ προσήκει κατὰ καιρὸν τοῦ ἀντιδότου ἐπιχρίειν ταῖς ῥίζαις. Πρὸς δὲ τὰς πληγὰς τῶν ἑρπετῶν ὠφελεῖ πινόμενος ὁ οἶνος, καὶ τὸ ἐξ αὐτοῦ ὄξος, καὶ αὐτὴ ἡ σταφυλὴ, καὶ αἱ σταφίδες ἐσθιόμεναι. τούτων δὲ μὴ ὄντων, τὰ φύλλα τῆς ἀμπέλου λειούμενα καὶ ἐπιτιθέμενα. ἐν ἀπορίᾳ δὲ πάντων, κλημάτων καυθέντων ἐκ τῆς θηριακῆς ἡ σποδιὰ ἐπιτιθεμένη σώσει τὸν ἄνθρωπον. καὶ γὰρ δίχα τῆς θηριακῆς κλῆμα οἱασδήποτε ἀμπέλου κυνὸς δῆγμα ὠφελεῖ, μήτι γε καὶ τοῦ λυττῶντος. ταῦτα ὁ Φλωρεντῖνός φησιν ἐν τῷ α΄. καὶ β΄. τῶν Γεωργικῶν αὐτοῦ.

militer autem & purgatoriam vitem eodem modo facimus, veratrum in fiſſum ſarmentum ſubdentes. Verum noſſe oportet, quod ſarmentum theriacæ vitis plantandum, eandem vim non habet. Elangueſcit enim tranſplantatum, aut inſitum, nimirum antidoto per tempus tranſpirante: quapropter convenit antidotum opportune radicibus illinere. Cæterum ad reptilium ictus utile eſt vinum epotum, item ex eodem acetum, ipſaque uva & uvæ paſſæ in cibo acceptæ. His vero deficientibus, folia vitis ipſius proſunt trita & impoſita. Quod ſi horum omnium penuria ſit, ſarmentorum vitis theriacæ uſtorum cinis impoſitus hominem ſervabit. Nam & citra theriacam cujuſcunque vitis ſarmentum adverſus canis morſum auxiliatur, non tamen ſi ſit rabioſus. Hæc Florentinus in primo & ſecundo Georgicorum ſuorum tradit.

ΚΕΦ. Θ.

Περὶ μυροσταφύλου. Παξάμου.

Εἰ βούλει τὸ χωρίον εὐωδίας πληρῶσαι, σχίσας τὰς φυτευομένας κληματίδας, ἔμβαλλε ἐν ταύταις μύρον, ὡς προείρηται. κάλλιον δὲ ποιήσεις ἔνυγρα τὰ κλήματα βρέχων μύρῳ, (1) οὕτως ἐγκεντρίσεις, ἢ φυτεύσεις.

(1) *An ſupplend.* καί.

CAP. IX.

De unguentaria vite. Paxami.

SI velis locum bono odore implere, ſarmenta dum plantantur fiſſa unguento exple, velut jam antea eſt dictum. Præſtat tamen humida ſarmenta unguento rigare, atque ita aut inſerere, aut plantare.

CAP.

CAP. X.

Ne veſpæ vites, aut uvas, aut alios fructus contingant. Democriti.

OLeum ſorbeto, & velut inſufflans vites, & uvas, atque alios fructus aſpergito.

ΚΕΦ. Ι.

Ὥστε σφῆκας μὴ ἅπτεσθαι ἀμπέλων, ἢ σταφυλῆς, ἢ ἄλλης ὀπώρας. Δημοκρίτου.

Ἔλαιον ῥοφήσας, προσραῖνον ὥσπερ ἐμφυσῶν ταῖς ἀμπέλοις, καὶ ταῖς σταφυλαῖς, καὶ ταῖς ἄλλαις ὀπώραις.

CAP. XI.

Quomodo uvæ uſque ad ver in vite in vigore permaneat. Berytii.

JUxta vites in loco valde umbroſo ſcrobem ad cubitos duos effodito, & injecta arena ridicas defigito, & ſarmenta luxans ſemel atque iterum una cum racemis diligenter vertito & obtorqueto; indeque ex ridicis revincta integito, ne quo humore rigentur, aut ſolum contingant racemi.

(1) *Suppl. ex MSS.*

ΚΕΦ. ΙΑ.

Πῶς ἐστι σταφυλὴν παραμεῖναι ἐν τῇ ἀμπέλῳ ἕως (1) τοῦ ἔαρος ἀκμάζουσαν. Βηρυτίου.

Παρὰ τὰς ἀμπέλους ἐν πάνυ σκιερῷ τόπῳ ὀρύξας τάφρον ἐπὶ πήχεις βάθους δύο, καὶ ἄμμον ἐπιβαλὼν χάρακας κατάπηξον, καὶ τὰ κλήματα λυγίζων ἐπίστρεψον ἅπαξ ἢ δὶς, σὺν τοῖς βότρυσιν ἐπιμελῶς τρέπων· καὶ ἀποδήσας ἀπὸ τῶν χαράκων ἐπισκέπασον, ἵνα μὴ βρέχωνται μηδὲ ἅπτωνται τοῦ ἐδάφους οἱ βότρυες.

CAP. XII.

De vitium inſitione. Florentini.

QUi vitem inſerere velit craſſum truncum deligat, qui unum atque alterum ſarmentum ſuſcipere queat. Quidam igitur in terra inſerunt, ad ſemipedis altitudinem deſcendentes, & fere in vitis fundo inſitionem faciunt. Quidam vero in parte ſolo exæquata inſerunt, quod optimum eſt. Quod vero in alto inſeritur, difficulter coaleſcit, a ventis agitatum. Si autem neceſſitas cogat in alto inſitionem facere, propter læ-

ΚΕΦ. ΙΒ.

Περὶ ἐγκεντρισμοῦ ἀμπέλων. Φλωρεντίνου.

Δεῖ τὸν ἐγκεντρίζοντα ἄμπελον ἐπιλέξασθαι παχὺ πρέμνον, δυνάμενον ὑποδέξασθαι ἓν ἢ δεύτερον κλῆμα. τινὲς μὲν οὖν ἐν τῇ γῇ ἐγκεντρίζουσι καθιόντες ἡμιπόδιον βάθος, καὶ ἐν τῷ πυθμένι σχεδὸν τῆς ἀμπέλου τὸν ἐγκεντρισμὸν ποιοῦνται. τινὲς δὲ ἐν τῷ ἰσοπέδῳ ἐγκεντρίζουσιν, ὃ καὶ κάλλιόν ἐστι. τὸ δὲ ἐν ὑψηλῷ ἐγκεντριζόμενον δυσκόλως συμφύεται, τινασσόμενον ὑπὸ τῶν ἀνέμων. εἰ δὲ ἀνάγκη γένοιτο ἐν τῷ ὕψει ἐγκεντρί-

ζειν, διὰ τὸ ἐν βάθει εἶναι λειότητα, παρασκευάσας χάρακα, προσδήσον τούτῳ (1) τὸ ἐν ὕψει ἐγκεντριζόμενον, διὰ τοὺς ἀνέμους. τινὲς δὲ καὶ (2) τοὺς ὤμους αὐτοῦ ἐγκεντρίζουσιν. ἐὰν δὲ ἄμπελον εἰς κέρασον ἐγκεντρίσῃς, πρωΐμους πάνυ ἕξεις σταφυλάς, τῷ γὰρ καιρῷ καθ' ὃν εἴωθεν ἡ κέρασος φέρειν τὸν οἰκεῖον καρπὸν, τῷ αὐτῷ καιρῷ δώσει τὰς σταφυλὰς, τουτέστι τῷ ἔαρι. Ὥρα δὲ τοῦ ἐγκεντρισμοῦ τῷ ἔαρι, τῶν (3) κρυστάλλων ἤδη πάνυ πεπαυμένων, ὅτε τεμνομένης τῆς ἀμπέλου, τὸ ὑγρὸν οὔτε πολὺ, οὔτε ὑδατῶδες, ἀλλὰ παχὺ καὶ κολλῶδές ἐστι. κλήματα δὲ ληπτέον εἰς τὸν ἐγκεντρισμὸν (4) στρογγύλα, στερεὰ, πυκνόφθαλμα, ἐκ τῶν βραχιόνων δὲ μάλιστα. ἐξαρκοῦσι δὲ τῷ κλήματι δύο ἢ τρεῖς ὀφθαλμοὶ, εἰ δὲ τῇ γῇ περιχώννυται, τρεῖς ἢ τέσσαρες. ἀπὸ δὲ ἑνὸς κλήματος ὑπὲρ δύο ἐπίπηγας τέμνειν εἰς ἐγκεντρισμὸν οὐ προσήκει. τὸ γὰρ μετὰ τοὺς πρώτους ἑπτὰ ὀφθαλμοὺς, ἄγονον καὶ ἀχρεῖον. βεβαιότερον δὲ συμφυήσεται τὰ νέα κλήματα, ἔχοντα (a) (5) περυσινοῦ κλήματος μέρος. οὐχ ἅμα δὲ τῷ ἀφαιρεθῆναι τῆς ἀμπέλου τὰ κλήματα ἐγκεντρίσομεν, ἀλλὰ μετὰ τὴν τομὴν καλύψαντες τὰς τομὰς, καὶ ἐν πίθῳ ἀποθέμενοι ὥστε μὴ διαπνευσθῆναι, πρὶν ἄρξασθαι βλαστάνειν ἔτι δὲ μεμυκότα ἐγκεντρίσομεν. Τὰ μὲν οὖν πρὸς τῇ γῇ πρὸς τῷ πυθμένι τῆς ἀμπέλου, βεβαιότερον ἐγκεντρισθήσεται, συναιρομένης τῆς γῆς τούτων ἀνατροφῇ, βραδύτερον δὲ καρπὸν ἀποδώσει, ὡς τὰ ἄλλα τὰ ἐν τῇ γῇ φυτευόμενα κλήματα. τὰ δὲ ἐν ὑψηλοτέρῳ ἐγκεντριζόμενα δυσκόλως συμφυήσονται, τινασσόμενα

vitatem in profundo, præparatum palum habeto, quo ad ipſum deliges quod in alto inſitum eſt, propter ventos. Quidam etiam in humeros inſitionem faciunt. Quod ſi in ceraſum vitem inſeras, valde præcoces uvas habebis, quo tempore enim ceraſus proprium fructum ferre ſolet, eodem & uvas dabit, hoc eſt vere. Tempus autem inſitionis vere eſt, glacie jam penitus ceſſante, quando dum inciditur vitis, humorem neque multum, neque aquoſum, ſed craſſum & glutinoſum emittit. Sarmenta ad inſitionem accipienda ſunt rotunda, ſolida, crebris oculis, maxime ex brachiis. Sufficiunt autem ſarmento oculi duo aut tres, ſi vero terra obruatur, tres aut quatuor. Cæterum ab uno ſarmento plures quam duos ſurculos inſerendos ſecare non convenit. Quod enim poſt primos ſeptem oculos ſupereſt, ſterile eſt & inutile. At vero firmius coaleſcent novella ſarmenta, ſarmenti ſuperioris anni partem habentia. Neque vero ſtatim ut ablata ſunt a vite ſarmenta inſeremus, ſed poſt ſectionem tecta cæſura, in dolio deponemus ne tranſpirent, priuſquam tamen germen fundere incipiant, & dum adhuc clauſa ſint inſeremus. Quæ igitur ad terram ad ipſum vitis fundum inſerimus, firmius utique inſerentur, elevata ſimul terra ad ipſorum enutritionem, verum fructum tardiorem reddent, velut alia in terra plantata ſarmenta. Quæ vero in altiore parte inſita ſunt difficulter coaleſcent, a ventis quaſſata, citius tamen fructum

(1) *Ita MSS.* F. C. L. *&* Bod. *antea* τῷ... ἐγκεντριζομένῳ. (2) Interp. *legit* εἰς τοὺς. (3) *MSS.* F. L. B. 2. *&* Cott. *ita ſcribunt, prius* κρυστάλλων ἤδη πεπαυ. (4) *MSS.* F. L. *&* Bod. *inſerunt* ποικίλα.

(a) Περυσινοῦ κλήματος] *Ecce ſtupendam* Interpretis *inſcitiam, vel oſcitantiam! dum vertit* περυσινοῦ, Periſyni.

(5) *Ita MSS. antea* περισινοῦ.

produ-

producent. Oportet autem ea quæ in alto inſeruntur eſſe lævia & plana, craſſitudine pollicari: aſpredinem vero a ſerra relictam acuta falce lævigare expedit. Porro ſarmentum quod inſerendum eſt, ad duorum & dimidii digiti longitudinem, ex una parte radere oportet, quemadmodum videmus ſculptos & formatos calamos quibus ſcribimus; ita ut ex una parte medulla appareat illæſa, ex altera vero cortex. Deponendum eſt autem ſarmentum totum quatenus deraſum eſt, ne quod inter truncum & ſarmentum medium eſt hiet, explendumque calce aut argilla, arcebitur enim ita humor, & qui in ipſo eſt humor conſervabitur. Cæterum pars trunci quæ ad plagam ſpectat vinculo liganda eſt, ſimplici quidem, ſed integro, deinde luto glutinoſo illinenda. Quidam etiam bubulum ſtercus luto immiſcent. Quæ igitur hoc modo inſita ſunt, eorum vinculum aqua ex ſpongia irrigamus ſub crepuſculum veſpertinum, æſtate maxime vigente. Ubi autem germen quatuor digitos longum fuerit, ridicas juxta defigere oportet & alligare, propter ventos. Quū vero germen auctum fuerit, vinculum falce diſſecare convenit, ut a coarctatione liberetur, & humor ex trunco in ſarmentum diſtribuatur. At vero luna decreſcente, ſarmenta decidere oportet ad inſitionem, ita enim fortiora erunt. Quidam non ſolum vere, ſed & poſt vindemiam inſitionem faciunt; tunc enim vitis ſpiſſiorem ſuccum habet.

ὑπὸ τῶν ἀνέμων, θᾶττον δὲ τὸν καρπὸν δώσει. δεῖ δὲ τὰ ἐν ὕψει ἐγκεντριζόμενα εἶναι λεῖα καὶ ὁμαλά, πάχος ἔχοντα ἀντίχειρος δακτύλου· καὶ τὴν ἀπὸ τοῦ πρίονος τραχύτητα χρὴ ὀξεῖ δρεπάνῳ λεαίνειν. Τὸ δὲ ἐντιθέμενον κλῆμα, μέχρι μήκους δύο ἥμισυ δακτύλων, ἐκ τοῦ ἑνὸς μέρους ξέειν χρή, ὥσπερ ὁρῶμεν τοὺς γλυφομένους καλάμους ἐν οἷς γράφομεν· ὥστε ἀπὸ ἑνὸς μέρους, τὴν ἐντεριώνην φαίνεσθαι ἀσινῆ, κατὰ δὲ τὸ ἕτερον, τὸν φλοιόν. καταθετέον δὲ τὸ κλῆμα μέχρι παντὸς τοῦ ἐξεσμένου, ὥστε μὴ διαχαίνειν τὸ μεταξὺ τοῦ στελέχους καὶ τοῦ κλήματος, πληρωτέον τε κονίᾳ ἢ ἀργίλλῳ, κωλύσει γὰρ ἰκμάδα γίνεσθαι, καὶ τὸ ὑγρὸν ἐν αὐτῷ φυλάξει. τὸ δὲ πρὸς τῇ τομῇ τὸ μέρος τοῦ στελέχους δετέον δεσμῷ, (6) ἁπαλῷ μὲν, ἀρραγεῖ δὲ, εἶτα ἐπιχρίειν πηλῷ κολλώδει. τινὲς δὲ καὶ βόλβιτον μιγνύουσι τῷ πηλῷ. τῶν δὲ ἐγκεντρισθέντων, τοῦ θέρους ἀκμάζοντος, δείλης ὀψίας ὕδατι τὸν δεσμὸν διὰ σπόγγου ῥαίνομεν. Ὅταν δὲ τὸ βλαστῆσαι δακτύλων τεσσάρων γένηται, προσπαραπηγνύναι χρὴ χάρακας καὶ προσδεσμεῖν, διὰ τοὺς ἀνέμους. ὅταν δὲ αὐξηθῇ τὸ βλάστημα, τὸν δεσμὸν δρεπάνῳ χρὴ τέμνειν, ἵνα τῆς θλίψεως παύσηται, καὶ τὸ ἐκ τοῦ στελέχους ὑγρὸν εἰς τὸ κλῆμα (7) διαδίδοται. ληγούσης δὲ τῆς σελήνης, χρὴ τέμνειν τὰ κλήματα πρὸς ἐγκεντρισμόν, οὕτω γὰρ ἰσχυρότερα ἔσται τὰ ἐγκεντριζόμενα. τινὲς δὲ οὐ μόνον τῷ ἔαρι, ἀλλὰ καὶ μετὰ τὸν τρυγητὸν ἐγκεντρίζουσι· τότε γὰρ ἡ ἄμπελος πυκνότερον ἔχει τὸν (8) χυμόν.

(6) Interp. *legit* ἁπλῷ. (7) *Potius* διαδιδῶται. (8) *Ex MSS. prius* θυμόν.

ΚΕΦ. ΙΓ.

Περὶ ἐγκεντρισμοῦ διὰ τρυπήσεως. Διδύμου.

ΕΜοὶ δοκεῖ κάλλιστος εἶναι ὁ διὰ τρυπήσεως ἐγκεντρισμός· οὔτε γὰρ ἀργεῖ ἐν τῷ μεταξὺ ἐγκεντριζομένη ἄμπελος, ἀλλ᾽ ὁμοίως φέρει τὸν καρπόν. καὶ τὸ κλῆμα συναύξει συμφυὲς γενόμενον, μηδὲν βλαπτομένης τῆς ἀμπέλου ἀπὸ (1) τοῦ τρυπηθῆναι, οὔτε ταῖς σφίγξεσι θλιβομένης. Γίνεται δὲ ὁ διὰ τρυπήσεως ἐγκεντρισμὸς οὕτω. τρυπήσας τῆς ἀμπέλου τὸ στέλεχος (a) τερέτρῳ τῷ καλουμένῳ Γαλλικῷ, καὶ τῆς καλλίονος ἀμπέλου τῆς παρακειμένης κλάδον ἐφελκυσάμενος ἔμβαλε εἰς τὴν τρυμαλιὰν, μὴ ἀποτεμὼν ἀπὸ τῆς παλαιᾶς μητρὸς τὸν κλάδον, καὶ οὕτω διαζῇ τὸ κλῆμα, ὑπό τε τῆς παλαιᾶς μητρὸς τρεφόμενον, καὶ τῇ ὑποδεξαμένῃ αὐτὸ ἀμπέλῳ σύντροφον καὶ συμφυὲς γινόμενον. εἴσω δὲ δύο ἐτῶν ἑνωθήσεται τὸ ἐντεθὲν κλῆμα. Τότε οὖν μετὰ τὴν συνέλωσιν ἀποτέμνειν χρὴ τὸ κλῆμα, τὸ κατεχόμενον ὑπὸ τῆς παλαιᾶς μητρὸς, καὶ τὸ στέλεχος τῆς ἐγκεντρισθείσης ἀμπέλου, τὸ ὑπὲρ τὸ τρύπημα, πέλονι τέμνειν.

CAP. XIII.

De inſitione per terebrationem. Didymi.

OPtima mihi eſſe videtur inſitio per terebrationem; neque enim vitis in qua inſitio fit interim otioſa manet, ſed ſimiliter fert fructum, & ſarmentum poſtquam coaluerit ſimul augeſcit, vite non offenſa terebratione neque compreſſa coarctatione. Fit autem inſitio per terebrationem hoc modo. Truncum vitis terebra Gallica appellata perforato, & præſtantioris proximæ vitis ramum attractum in foramen immittito, non ab antiqua matre deciſum, ſic enim ſarmentum vivit tum a veteri parente nutritum, tum viti quæ ipſum ſuſcepit coaleſcens. Intra duorum vero annorum ſpatium ſarmentum immiſſum unietur. Tunc igitur poſt cicatricem inductam ſarmentum decidere oportet, quod adhuc a veteri matre detinetur, & truncum vitis in quam inſitio facta eſt, quantum ſu-

(1) MS. Bar. τῆς διατρυπήσεως.

(a) Τερέτρῳ τῷ καλουμένῳ Γαλλικῷ,] *Veteres Agricolas alia terebra uſos eſſe, quam antiquam recentiores vocabant, Gallicæ hujus uſu frequentiore facto, teſtis eſt* Plinius *Lib. XVII. Sect. XXV.* " *Noſtra* (inquit) *ætas correxit,* " *ut Gallica uteretur terebra, quæ excavat, nec urit. Et multo uberius* Columella *Lib. 4. Cap. 29.* " *Antiqua terebra quam ſolam veteres Agricolæ* " *noverant, ſcobem faciebat, perurebatque eam partim quam perforaverat,* &c. *Nos* (inquit) *Terebram, quam Gallicam dicimus, ad hanc in-* " *ſitionem commenti, longe habiliorem utilioremque comperimus: nam ſic* " *excavat truncum, ne foramen inurat. Et* Lib. ſingul. *de* Arbor. *Cap.* 8. " *Quibuſdam Antiquorum terebrari vitem placet, atque ita leviter adraſos* " *ſos ſurculos demitti: ſed Nos meliore ratione hoc idem fecimus. Nam* " *antiqua Terebra ſcobem facit, propter hoc urit eam partem quam per-* " *forat: peruſta autem perraro unquam comprehendit inſertos ſurculos.* " *Nos rurſus Terebram quam Gallicam dicimus, huic Inſitioni aptavimus:* " *ea excavat, nec urit, quod non ſcobem, ſed ramenta facit. Hacce Terebra* (*ſi* Harduino *fides*) Gallis *modo vocatur* — Villebrequin.

pra terebrationem extat, ſerra deſecare. Et deinceps ſarmentum inſitum vitis ramus principalis ſit.

καὶ λοιπὸν (2) ἔσω τὸ ἐγκεντρισθὲν κλῆμα ἡγεμονικώτατον τῆς ἀμπέλου.

(2) *Ita omnes MSS. (præter* Bar.*)* & Interp. *ante* ἔσαι.

CAP. XIV.

Ut idem racemus diverſos habeat acinos, (hoc eſt uvas) alios albos, alios nigros aut fulvos. Ejuſdem.

Accipienda ſunt duo differentia diverſi generis ſarmenta, eaque findenda per medium, animadverſione habita ne ad oculos fiſſura perveniat, neque quicquam de medulla excidat. atque ita alteri genus alterum adjungere oportet, & agglutinare, ut oculi, quantum poſſibile eſt, coincidant, & duo oculi quaſi unus fiant. Inde vero valide conſtringere ſarmenta papyro oportet, & ſcilla integere aut glutinoſiſſima terra, atque ita plantare, & interjectis diebus tribus aut quinque irrigare, uſque quo germen producant.

ΚΕΦ. ΙΔ.

Ὥστε τὸν αὐτὸν βότρυν ἔχειν διαφόρους ῥᾶγας, (τουτέστι κόκκους) τοὺς μὲν λευκούς, τοὺς δὲ μέλανας ἢ πυῤῥούς. Τοῦ Αὐτοῦ.

(a) Δεῖ λαβεῖν δύο διάφορα κλήματα ἑτερογενῆ, καὶ ταῦτα κατὰ μέσου (1) σχίσαι, φυλάττεσθαι δὲ μὴ κατὰ τῶν ὀφθαλμῶν ἐλθεῖν τὸ σχίσμα, μηδέ τι τῆς ἐντεριώνης ἐκπεσεῖν. καὶ τοῖς ἑτέροις τὰ ἕτερα γένη χρὴ παρατιθέναι καὶ κολλίζειν, ὥστε συμπεσεῖν τοὺς ὀφθαλμούς, καθὼς τὸ ἐγχωρεῖν, κατ' ἀλλήλων, καὶ γίνεσθαι τοὺς δύο ὀφθαλμοὺς ὡς ἕνα. σφίγξαι τε τὰ κλήματα εὐτόνως ἐν παπύρῳ, καὶ περιπλάσαι σκίλλῃ ἢ γῇ κολλωδεστάτῃ, καὶ οὕτω φυτεῦσαι, καὶ παρ' ἡμέρας γ'. ἢ ε'. ἐπιῤῥαίνειν, ἕως ἂν ἐκβλαστήσῃ.

(a) *Conſul.* Colum. *Lib. de* Arbor. *Cap. IX.* (1) *Emend. ex MS.* Bar. *prius* σχίσας.

CAP. XV.

De uvarum diuturnitate. Ejuſdem.

Uvas, quæ hyeme ſervandæ colliguntur, poſt plenam lunam deſecare oportet, ſereno aere, circa quartam diei horam, rore jam exiccato. Curandum eſt autem ut omnes acini (hoc eſt uvæ) ſani ſint, & ea cauſa acutiſſimam falcem ha-

ΚΕΦ. ΙΕ.

Περὶ διαμονῆς σταφυλῶν. (1) Τοῦ Αὐτοῦ.

Σταφυλὰς, τὰς εἰς ἀπόθεσιν τοῦ χειμῶνος συναγομένας, μετὰ πανσέληνον ἀποτέμνειν χρὴ, εὐδιεινοῦ ὄντος τοῦ ἀέρος, περὶ τετάρτην ὥραν τῆς ἡμέρας, ἤδη (2) ἀνεψυγμένων τῶν δρόσων. ἐπιμελητέον δὲ τοῦ πάσας τὰς ῥᾶγας (τουτέστι τοὺς

(1) *MS. V* & Interp. *affigunt* Τοῦ Αὐτοῦ. *cæt. MSS. non agnoſcunt.*
(2) Interp. *legiſſe videtur* ἀνεψηγμένων, deterſo rore.

κόκκους) ὑγιεῖς εἶναι, διά τε τοῦτο καὶ ὀξύτατον δρέπανον τὸν τέμνοντα ἔχειν χρὴ, ὥστε ῥᾳδίως τὴν τομὴν γίνεσθαι, καὶ μὴ βιαίαν. δεῖ δὲ ἀκμαζούσας τέμνειν τὰς σταφυλὰς, καὶ μήτε ὠμοτέρας, μήτε πρὸς βραχὺ παρηβηκυίας. Τινὲς μὲν οὖν ἰδιαζόντως αὐτοὺς τοὺς βότρυας τέμνουσιν, ἄλλοι δὲ τὰς ὄχας ἐμφύλλους, τουτέστι τὰς κληματίδας, μετὰ τῶν βοτρύων τέμνοντες, παραχρῆμα τὰς διασεσηπυίας καὶ ξηρὰς καὶ ὀμφακώδεις τῶν ῥαγῶν, εἴ τινες ἄρα εἶεν, ἐκτέμνουσι ψαλίδι, ἵνα μὴ συσσήψωσι τὰς πλησίον, δεῖ δὲ ἑκάστου βότρυος κληματίδος τὴν τομὴν εἰς πίσσαν διαλυθεῖσαν πυρὶ ἐμβάπτειν. τοὺς μὲν οὖν βότρυας κατὰ τοῦ ἐδάφους ἕκαστον κεχωρισμένως χρὴ (3) ἐκτείνειν, μὴ ἁπτομένους τοῦ ἑτέρου, προϋποστρωθέντων ἀχύρων, εἰ μὲν ἐγχωρεῖ θέρμων, σκληρότερα γὰρ ταῦτα καὶ ξηρότερα, καὶ εἴργειν δύνανται τοὺς μύας· εἰ δὲ μὴ εἴη θέρμων ἄχυρα, δεύτερα ἂν εἴη τὰ τῶν κυάμων καὶ τῶν ὀρόβων, καὶ τῶν λοιπῶν ὀσπρίων. τῶν δὲ σιτίνων, τὰ κρίθινα αἱρετώτερα. εἰ δὲ μηδὲν εἴη τούτων, χόρτον ξηρότερον (4) κατακόψας εἰς λεπτὰ ὑποστρώννυε. τὰς δὲ ἐμφύλλους ὄχας κατὰ τοῦ ἐδάφους ὁμοίως ἐκτείνειν χρὴ, ἢ ἀποκρεμαννύναι. Τινὲς δὲ εἰς (a) σίραιον, τουτέστιν εἰς ἕψημα, πρὸς ὀλίγον κατατίθενται τοὺς βότρυας. οἱ δὲ ἐν (b) γλωσσοκόμοις πεπισσωμένοις ἀποτίθενται, μετὰ πρίσματος ξηροῦ ἀπὸ πεύκης, ἢ

bere oportet ſecantem, quo reciſio facile fiat, & non violenter. Oportet autem maturas uvas reſecare, & neque acerbiores, neque vel parum vigore prætergreſſo. Quidam igitur ſingulatim racemos ſecant, alii ramulos folioſos, hoc eſt ſarmenta, cum racemis cædentes, confeſtim putrefactos & aridos & immaturos acinos, ſi qui forte ſint, forcipe præcidunt, ne ſimul proximos putrefaciant, moxque partem cæſam ſarmentorum ſingulorum racemorum in picem liquidam immergunt. Racemos igitur ſingulos ſeorſim per pavimentum extendere oportet, ut alter alterum non attingat, paleis ſubſtratis, ſi poſſibile eſt lupinorum, hæ enim duriores & ſicciores ſunt, & mures arcere poſſunt; ſi vero non ſint paleæ lupinorum, ſecundum locum obtinent fabarum & ervi, & reliquorum leguminum. Ex frumentaceis autem, hordeaceæ præſtant. Quod ſi nihil harum ſit, fœnum aridum minutim conciſum ſubſternatur. Cæterum folioſos ramulos ſimiliter per pavimentum extendere oportet, aut ſuſpendere. Quidam in ſapam ad modicum tempus racemos deponunt. Alii in capſulis picatis reponunt, cum ſcobe ſicca piceæ, aut abietis, aut po-

(3) *Emend. ex MSS. antea* ἐκτέμνειν, (4) *Ita* Caſ. *&* *MSS. in pr. Ed.* κατακόπτειν.

(a) Εἰς σίραιον,] *Ita legend. ex* Hippocrate, *&* Alexidis *Lebete* --- Τότ' αὖ σίραιον, πέπερι, πήγανον, πράσον. i.e. *Itemque defrutum, piper, rutam, porrum. Et* Suidas. Σίραιον· τὸ γλυκὺ ἕψημα. Ἀριστοφάνης· Ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμίξας. *In* Veſpis *Pag.* 493. *ad quem locum vid. Scholia. Ante* σίρεον.

(b) Ἐν γλωσσοκόμοις --] Γλωσσόκομον. *Arca, Capſula Lignea.* Suidas. Γλωσσόκομον· θήκη λειψάνων ξυλίνη. i.e. *Lignea reliquiarum theca. Hinc Ægyptiorum* θῆκαι, *quibus mortuos condebant, ab* Ætio *Lib. XVI. & ab* Heſychio, Γλωσσόκομα *appellantur.* Pollux *Lib. X. etymon vocis affert;* Γλωττόκομον vel γλωττοκομεῖον· ὀνόμασαι ἀπὸ τῶν γλωττῶν. i.e. *Tibiarum theca: a lingulis fiſtularum denominata eſt.*

puli

puli nigræ, aut cum farina miliaria. Alii in marinam aquam ſerventem, aut ſi hæc non adſit, in muriam admixto vino racemos immergunt, & in paleis hordeacis reponunt. Quidam cinerem ficulnum aut vitium aqua fervefaciunt, racemoſque ea reſperſos & ſub dio expoſitos in prædictis paleis reponunt. Servantur etiam uvæ ad multum tempus, in horreis ac granariis ſuſpenſæ, præſertim ſi frumentum moveatur. Etenim pulvis ab ipſo exurgens, & uvis inſidens multum confert ad diuturnitatem. Servabis uvas etiam hoc modo: Pluvialem aquam decoquito, ut tertia pars relinquatur, eamque ſub dio expoſito, hoc eſt refrigerato, & in vas pice illitum diffundito: Deinde uvarum maturarum racemos ſolidiores acinos habentes, repurgatis ab ipſis immaturis ac putridis, injicito, donec aqua racemos ſuperemineat, & diligenter operculo occludito, & gypſo obline, atque poſtea vas in loco frigido, ad quem ſol non accedit, & ubi ignis non uretur, reponito. Horum etiam aqua vinoſa, & ad decipiendos ægros commoda invenitur, & racemi integri ſervantur. Quidam admonent non ex ſuperna parte, unde deciduntur, ſed ex inferna parte alligatos racemos, in ſuperiore domus parte ſuſpendendos eſſe, quo magis perſpirent, rarefactis per refractionem acinis. Commodum eſt etiam in dolio muſti ſuſpendi, ita ut neque muſtum, neque ſeipſos mutuo contingant racemi; Permanent enim integri velut ex vite ſunt reciſi. Servabis etiam diutius ſi ſta-

ἐλαίτης, ἢ αἰγείρου, ἢ μετὰ ἀλεύρων ἀπὸ κέγχρου. ἄλλοι εἰς θαλάσσιον ὕδωρ ζέον, μὴ οὔσης δὲ θαλάσσης, εἰς ἅλμην μιγέντος οἴνου τοὺς βότρυας ἀποβρέξαντες, ἀποτίθενται ἐν ἀχύροις κριθίνοις. τινὲς δὲ τέφραν συκίνην ἢ ἀμπελίνην ὕδατι ζέσαντες, καὶ τοὺς βότρυας βρέξαντες (5) καὶ ψύξαντες, ἀποτίθενται ἐν τοῖς προειρημένοις ἀχύροις. Φυλάττονται δὲ αἱ σταφυλαὶ ἐπὶ πλεῖστον χρόνον καὶ ἐν ταῖς ἀποθήκαις τοῦ σίτου κρεμαννύμεναι, καὶ μάλιστα ἐὰν ὁ σῖτος ἀνακινῆται. ὁ γὰρ ἀνιστάμενος ἀπ' αὐτοῦ κονιορτὸς, προσιζάνων αὐταῖς πολύ τι συμβάλλεται πρὸς διαμονήν. Φυλάξεις τὰς σταφυλὰς καὶ οὕτως· ἑψήσας ὄμβριον ὕδωρ, ὥστε τὸ τρίτον ὑπολειφθῆναι, (6) ἐξαιθριάσας, τουτέστι διαψύξας, ἔμβαλε εἰς ἀγγεῖον (7) κεκονιαμένον· εἶτα τῆς πεπανθείσης σταφυλῆς λαβὼν βότρυας στερεωτέρας τὰς ῥᾶγας ἔχοντας, διακαθάρας αὐτῶν τοὺς ὄμφακας καὶ τὰς σαπρὰς ῥᾶγας, ἔμβαλε, ὡς ὑπερέχειν τῶν βοτρύων τὸ ὕδωρ, καὶ πωμάσας ἐπιμελῶς, καὶ γυψώσας, ἀπόθου εἰς τόπον ψυχρὸν καὶ ἀνήλιον, ἔνθα πῦρ οὐ καυθήσεται. τούτων καὶ τὸ ὕδωρ εὑρίσκεται οἰνῶδες, καὶ εὔχρηστον πρὸς ἀπάτην ἀῤῥώστων, καὶ οἱ βότρυες ἀκέραιοι φυλάττονται. Παραινοῦσί τινες οὐκ ἐκ τοῦ ἄνωθεν μέρους, ὅθεν ἡ ἀποτομὴ γίνεται τῶν βοτρύων, ἀλλ' ἐκ τοῦ κάτωθεν μέρους τοῦ βότρυος δήσαντας, (8) κρεμᾷν ἐν ὑπερῴῳ, ἵνα μᾶλλον διαπνέωσιν, ἀραιουμένων κατὰ τὴν ἀνάκλασιν τῶν ῥαγῶν. καλὸν δὲ καὶ εἰς (9) πίθον γλεύκους κρεμᾷν, μὴ ἀπτομένους μήτε τοῦ γλεύκους, μήτε ἀλλήλων· διαμένουσι γὰρ οἷοι ἀπὸ τῆς ἀμπέλου ἀφῃρέθησαν. Φυλάξεις δὲ τοὺς βότρυας, ἐὰν εὐθὺς (10) τρυ-

(5) *MSS.* F. L. C. *&* B. 2. *non agnoſcunt* καὶ ψύξαντες. (6) *Ita legend. cenſeo cum* Interp. *antea* ἐξ αἰθρίας. (7) *Lego* κεκονισμένον vel κεκονιαμένον. *MSS. ut in textu.* (8) *Ita lego, refragantibus licet MSS. prius* κρεμονᾷν. (9) *Ex MSS. ante* πίθους γλεύκος. (10) *Ita legendum conjicio, prius* τρυπήσας.

γήσας ἐμβαλὼν (11) αὐτοὺς ἀσινεῖς καὶ ἀθραύστους εἰς κεράμιον, χρίσῃς ἐπιμελῶς τὸ στόμα τοῦ κεραμίου, καὶ γυψώσῃς. Ὁμοίως δὲ καὶ (12) εἰς πηλὸν κεραμικὸν πεφυρασμένον, ὡς ἔχειν πάχος μέλιτος, ἐμβαπτόμεναι καὶ κρεμώμεναι φυλάττονται, εἰς δὲ τὴν χρῆσιν ἀποπλύνονται. ὁμοίως δὲ καὶ (13) ἀνδράχνης χυλῷ χρισθεῖσαι καὶ κρεμασθεῖσαι φυλάττονται. τινὲς φυλάσσουσιν ἐν οἴνῳ ὕδατι κεκραμένῳ. ἐπὶ ὁλόκληρον δὲ μένει τὸν ἐνιαυτὸν ἡ σταφυλή, ἐὰν ὀλίγον ταχύτερον τρυγηθεῖσαν ὕδατι θερμῷ ἔχοντι στυπτηρίαν ἐμβρέξας, εὐθέως αὐτὴν ἀρπάσῃς. φυλάττεται ἡ σταφυλὴ καὶ εἰς μέλι. ὅσα περὶ σταφυλῆς εἴρηται, (14) ἁρμόττει καὶ ἐπὶ μήλων.

tim poſt vindemiam ipſos racemos illæſos & integros in dolium conjeceris, & dolii os diligenter inunxeris, & gypſo inducto obleveris. Similiter autem & in lutum figlinum probe ſubactum, ut mellis ſpiſſitatem habeat, immerſa & ſuſpenſa integra ſervantur, uſus vero tempore abluuntur. Eodẽ modo etiã portulacæ ſucco illita ac deinde ſuſpenſa conſervantur. Quidam in vino aqua diluto aſſervant. Per totum autem annum durat uva, ſi paulo citius collectam in aquã calidã alumen admixtũ habentem intinxeris, ſtatimque inde extraxeris. Aſſervatur uva etiam in melle. Quæcunque autem de uva dicta ſunt, etiam malis conveniunt.

(11) *Emend. ex MSS. antea* ἐπὶ τοὺς *nullo ſenſu.* (12) *Supplevi ex conjectura. MSS.* F. L. B. 1, 2. *non agnoſcunt hanc* περικοπήν. Caſ. *legit* κρεμώμενα. (13) *Emend. ex MSS. &* Caſ. *antea* ἀράχνης. (14) *Ita MSS. &* Caſ. *in pr. Ed.* ἁρμόσει.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

LIBER QUINTUS.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Ε′.

Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, πέμπτῃ οὔσῃ τῶν περὶ γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν τὴν περὶ φυτείας καὶ ἐργασίας ἀμπέλων, καὶ πότε χρὴ ταύτας τρυγᾶν, καὶ περὶ ἀποτροπῆς τῶν λυμαινομένων ταύτας θηρίων, καὶ περὶ σκευασίας οἰνάνθης, καὶ σταφιδοποιίας, καὶ περὶ φυτείας καλάμων.

ARGUMENTUM LIB. V.

HÆc inſunt in hoc libro, qui quintus eſt ſelectarum de agricultura præceptionum, & continet tractatum de plantatione & cultura vitium, & quando vindemiare oportet, & quomodo abigendæ ſunt beſtiæ uvis infeſtæ, & de præparatione œnanthes, & quomodo uva paſſa fiat, & de plantatione arundinum.

CAP.

CAP. I.

De terra vitibus apta. Florentini.

Apta vitibus eſt terra nigra non denſa, & in profundo quoque moderate habens aquam dulcem. Talis enim terra ſuſceptum imbrem neque deorſum mittens perdit, neque in ſuperficie aquas detinet, aqua enim ſuperne detenta plantas putrefacit. Oportet igitur in altum terram ſcrutari, ſæpe enim ſuperne nigram, infra vero argilloſam terram invenimus, & vice verſa. Optima etiam terra eſt quæ a fluminibus aggeſta eſt, unde laudatur Ægyptus. Ut vero in ſumma dicamus,

ΚΕΦ. Α.

Περὶ γῆς ἐπιτηδείας ἀμπέλοις. Φλωρεντίνου.

Ἐπιτηδεία ἀμπέλοις γῆ ἡ μελάγγειος, μὴ οὖσα πυκνή, καὶ ἐν τῷ βάθει συμμέτρως ὕδωρ γλυκὺ ἔχουσα. ἡ γὰρ τοιαύτη δεχομένη τὸν ὄμβρον, οὔτε πάνυ αὐτὸν κάτω πέμπουσα ἀπόλλυσιν, οὔτε ὑπὲρ αὐτῆς ἐπιπόλαιον τὰ ὕδατα κατέχει, ἄνωθεν γὰρ (1) κατεχόμενον τὸ ὕδωρ σήπει τὰ φυτά. Δεῖ οὖν ἐκ βάθους τὴν γῆν ἐρευνᾷν, πολλάκις γὰρ εὑρομεν ἄνωθεν μὲν μελάγγειον, κάτωθεν δὲ ἀργιλλώδη γῆν, καὶ πάλιν τοὐναντίον. καλλίστη δὲ γῆ καὶ ἡ ὑπὸ τῶν ῥεόντων ποταμῶν χωσθεῖσα, (a) ὅθεν καὶ τὴν

(1) *Emend. ex MS.* Bar. *prius* κατερχόμενον.

(a) Ὅθεν καὶ τὴν Αἴγυπτον ἐπαινοῦμεν.] *Ægyptum majore ex parte a Nilo aggeſtam eſſe teſtis eſt* Plinius *Lib.* 2. " *Naſcuntur enim [terræ] nec fluminum tantum invectu, ſicut Echinades Inſulæ ab Acheloo amne congeſtæ,* " *majorque pars Ægypti a Nilo, &c.* Herodotus *Lib.* 2. *Cap.* 5. *Ægyptum vocat* ἐπίκτητον Γῆν, καὶ δῶρον τοῦ Ποταμοῦ. *Et* Cap. X. *ejuſdem Libri, Ægyptum a Nilo, ut Echinadas ab Acheloo, congeſtam eſſe hiſce verbis prodidit.* Ταύτης ὦν τῆς χώρης τῆς εἰρημένης ἡ πολλή, καθάπερ οἱ Ἱρέες ἔλεγον, ἐδόκεε δὲ καὶ αὐτῷ μοι εἶναι ἐπίκτητος Αἰγυπτίοισι. Τῶν γὰρ οὐρέων τῶν εἰρημένων, τῶν ὑπὲρ Μέμφιν πόλιν κειμένων, τὸ μεταξύ γ᾽ ἐφαίνετό μοι εἶναί κοτε κόλπος θαλάσσης, ὥσπερ τά τε περὶ Ἴλιον καὶ Τευθρανίην, καὶ Ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον· ὥστε εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλέειν. Τῶν γὰρ ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν, ἑνὶ τῶν στομάτων τοῦ Νείλου ἐόντος ἑπταστόμου, οὐδεὶς αὐτῶν πλήθεος πέρι ἄξιος συμβληθῆναί ἐστι. Εἰσὶ δὲ καὶ ἄλλοι ποταμοὶ οὐ κατὰ τὸν Νεῖλον ἐόντες μεγάθεες, οἵτινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί· Τῶν ἐγὼ φράσαι ἔχω οὐνόματα, καὶ ἄλλων, καὶ οὐκ ἥκιστα Ἀχελώου· ὃς ῥέων δι᾽ Ἀκαρνανίης καὶ ἐξιὼν εἰς τὴν θάλασσαν, τῶν Ἐχινάδων νήσων τὰς ἡμισέας ἤδη ἤπειρον πεποίηκε. Quorum ſenſus. *Hujus igitur Regionis, quæ a me dicta eſt, pleraque pars (ut & Sacerdotes aiebant, & mihi ipſi eſſe videbatur) acquiſititia Ægyptiis eſt. Siquidem quod inter prædictos montes, ſupra Memphim Urbem poſitos, medium eſt, videtur mihi ſinus maris aliquando fuiſſe, quemadmodum ea quæ ſunt circa Ilium & Teuthraniam, & Epheſum & Mæandri planitiem; ut hæc parva magnis comparentur. Quoniam nullum eorum fluminum quæ has Regiones aggeſſerunt, dignum eſt comparari uni ex ſeptem oſtiis Nili magnitudine. Sunt ut alii fluvii nequaquam magnitudine Nilo pares, qui magna opera ediderunt: quorum nomina poſſim referre, cum aliorum, tum vero maxime Achelոi, qui per Acarnaniam fluens in Echinadum Inſularum mare, jam eas media ex parte fecit continentem.*

αἴγυπτον

Αἴγυπτιον ἐπαινούμενον. Συντόμως δὲ εἰπεῖν, πᾶσα μελάγγειος, ἡ μὴ λίαν πυκνὴ, μηδὲ κολλώδης, ἰκμάδα δὲ ἔχουσα, ἐπιτηδειοτέρα πρὸς ἄμπελον.

omnis nigra terra, non valde denſa, neque glutinoſa, ſed humida, ad vitem producendam aptior eſt.

ΚΕΦ. Β.

Ποῖα γένη ἀμπέλων εἰς ποίαν φυτευτέον γῆν, καὶ ποῖαι θέσεις πρὸς ἄμπελον ἐπιτήδειαι.

Τοῦ Αὐτοῦ.

ΕΝ τῇ προειρημένῃ μελαγγείῳ καὶ ἰκμάδα ἐχούσῃ καὶ καθύγρῳ γῇ, τὰ λευκὰ τῶν γενῶν φυτευτέον, πλείονος γὰρ ταῦτα τῆς ἀπὸ (1) τῆς γῆς δεῖται τροφῆς, στερεὰ ὄντα καὶ πυκνὰ καὶ δύστροφα. καὶ ἀργιλλώδης δὲ γῆ, εἰ μὴ πάνυ εἴη λεπτὴ, μηδὲ εἰς ῥαγάδας (2) χαυνουμένη, δέχεται τὰς λευκοφόρους ἀμπέλους. τῇ μέντοι ξηρᾷ γῇ καὶ λεπτογείῳ καὶ ψαμμώδει αἱ τοιαῦται ἄμπελοι οὐχ ἁρμόζουσιν, ἀλλ᾽ ὅσαι πυκνὰς ἔχουσι τὰς ῥᾶγας καὶ λευκὴν τὴν ἐντεριώνην· ὡς ἐπὶ πολὺ δὲ ἡ μέλαινα σταφυλὴ τοιαύτη ἐστὶ, χρηστὸν καὶ πολὺν καὶ βέβαιον ποιοῦσα τὸν οἶνον, ἐναντίως ἔχουσα ταῖς λευκαῖς, τουτέστι τὴν φύσιν (3) δυστροφωτέραις. μόνη μέντοι ἡ Ψιθία καὶ ἡ Κορκυραία, καὶ ἡ καλουμένη Χλωρὶς, λευκαὶ οὖσαι, χαίρουσι ταῖς λεπτογείοις, διὰ τὸ εἶναι λιπαρώτεραι. χρὴ γὰρ τὰς μὲν φύσει ὑγροτέρας ἐν τοῖς αὐχμώδεσι καὶ ψυχροῖς καὶ ξηροτέροις τόποις φυτεύειν, τὰς δὲ ξηροτέρας ἐν τοῖς ὑγροῖς· οὕτω γὰρ ἂν τὸ τοῖς φυτοῖς λεῖπον, ἐκ τῆς κατὰ τὴν γῆν φύσεως πληροῖτο. Καθόλου οὖν εἰς τὴν λιπαρωτέραν γῆν μὴ τὰ εὔτροφα τῶν ἀμπέλων γένη, ἀλλὰ τὰ ἐναντίως ἔχοντα τιθέναι προσήκει. εἰς δὲ τὴν

CAP. II.

Qualia genera vitium in quaque terra plantanda ſint, & quales poſitiones vitibus aptæ.

Ejuſdem.

IN prædicta nigra & humida terra, alba vitis plantanda eſt, hæc enim copioſiore nutrimento e terra indiget, ſolida exiſtens & denſa & ægre nutrita. Argilloſa etiam terra, niſi valde tenuis fuerit, & in rimas laxata, vites albas ſuſcipit. Aridæ tamen & tenui & arenoſæ terræ ejuſmodi vites non conveniunt, ſed quæ denſos habent acinos & albam medullam; ut plurimum vero nigra uva talis eſt, bonum & multum & durabile vinum producens, contrario modo ſe habens ad albas, hoc eſt natura ægre nutritas. Sola tamen Pſithia & Corcyræa, & quæ Chloris appellatur, quum albæ ſint, tenui terra gaudent, propterea quod pinguiores ſint. Oportet enim eas quæ natura ſunt humidiores in ſiccioribus & frigidis ac aridioribus locis plantare, ſicciores contra humidis; ita enim quod vitibus deeſt, ex ſoli natura expleatur. In univerſum itaque in pinguiorem terram non pinguia & quæ uberius alimentum accipiunt vitium genera, ſed contrario modo ſe habentia deponenda ſunt. In nigram vero florida & quæ omne alimen-

(1) *Hanc voculam delent MSS.* F. L. C. *&* B. 2. (2) Caſ. *& MSS.* L. *&* Bod. χαινομένη. (3) *Ita legend. ex* Caſ. *& MS.* Bar. *antea male* δυστροπωτέροις.

tum

tum a terra attrahere poſſunt. Etenim quæ uberius alimentum accipiunt in pingui terra poſita, fructus maturos facere non feſtinant, ſed in foliorum multitudinem diffluunt: Imbecilla vero in ſiccioribus locis, invalidiores etiam fructus proferunt. Quare oportet dignoſcere plantas & terram, velut oſtenſum eſt, atque ita temperaturam efficere. Ea namque de cauſa quidam ex montanis in campeſtria transferunt plantas, rurſumque ex campis ac planitie in montana. Terram enim contraria affectione delectari perhibent. Ex omnibus porro vitibus quæ Myrſitis appellatur præſtantiſſima eſt; hæc eſt quæ in Bithynia vinum Dendrogalenum appellatum producit, & rurſus in aliis ejus regionibus Tiarenum vocatum: In Tio vero Paphlagoniæ Tianum, & in Heraclea Ponti præſtantiſſimum vinum; & omnino ubicunque hujus vini planta fuerit conſita, fructum multo aliis præſtantiorem producet, nam & uva ipſius in cibo tam jucunda & nectarea eſt, ut etiam apes inde pabulum petant. Eſt autem & fertiliſſima ut per omnem caudicem racemos ferat, eoſque rotundos, acinos vero perſpicuos, ut & vinacea & pelliculæ tranſpareant; cæterum appendices, ex quibus dependent racemi, ut plurimum duras & lignoſas habet. Gaudet autem maxime arboribus altis, & frequenti pampinatione. At vero vinum ex his aſſidua

μελάγγειον τὰ εὐθαλῆ καὶ δυνάμενα πᾶσαν ἐπισπάσασθαι τὴν ἀπὸ τῆς γῆς τροφήν. τεθέντα γὰρ τὰ εὐτραφῆ ἐν τῇ λιπαρᾷ γῇ, οὐ φθάνει πεπᾶναι τοὺς καρποὺς, ἀλλὰ καὶ εἰς πλῆθος φύλλων ἐξανθοῦσι· τὰ δὲ ἀσθενῆ ἐν τοῖς ξηροτέροις τόποις, ἀσθενεστέρους καὶ τοὺς καρποὺς οἴσει. Διὸ χρὴ τὴν γνῶσιν καὶ διάκρισιν τῶν φυτῶν καὶ τῆς γῆς, ὡς προδεδήλωται, (4) ποιεῖσθαι, καὶ οὕτω τὴν κρᾶσιν ἐργάζεσθαι. διὰ τοῦτο γὰρ καί τινες ἐκ τῶν ὀρεινῶν φυτὰ εἰς τὰς πεδιάδας μετακομίζουσι, καὶ τὰ ἐκ τῶν πεδίων εἰς τὰ ὀρεινά· χαίρειν γὰρ τῇ ἀντιπαθείᾳ τὴν γῆν φάσκουσι. Πασῶν δὲ τῶν ἀμπέλων ἡ καλουμένη (5) Μερσίτης καλλίων· αὕτη γάρ ἐστιν ἡ ἐν Βιθυνίᾳ τὸν καλούμενον Δενδρογάληνον οἶνον ποιοῦσα, πάλιν ἐν ἑτέροις αὐτῆς χωρίοις τὸν (a) Τιαρηνόν· ἐν δὲ (b) Τίῳ τῆς Παφλαγονίας τὸν Τιανὸν, καὶ ἐν Ἡρακλείᾳ τοῦ Πόντου τὸν ἐπισημότατον οἶνον· καὶ ὅλως ὅπου δή ἂν φυτευθῇ τὸ τούτου τοῦ οἴνου φυτὸν, τῶν ἄλλων πολλῷ καλλίονα οἴσει τὸν καρπόν· οὕτω γὰρ καὶ ἡ σταφυλὴ αὐτῆς πρὸς βρῶσιν ἡδίστη καὶ νεκταρώδης ἐστὶν, ὡς καὶ τὰς μελίσσας ἐπινέμεσθαι πρὸς τὴν ταύτης τροφήν. ἔστι δὲ καὶ πολυφόρος σφόδρα, ὡς κατὰ παντὸς τοῦ στελέχους βότρυας φέρειν, καὶ αὐτοὺς στρογγυλοειδεῖς, τὰς δὲ ῥᾶγας (6) διειδεῖς, ὡς διαφαίνεσθαι ἐναργῶς τὰ γίγαρτα καὶ τοὺς ὑμένας· τοὺς δὲ κρεμαστῆρας, τοὺς μετεωρίζοντας τὸν βότρυν, ὡς ἐπὶ τὸ πολὺ σκληροὺς καὶ ξυλώδεις ἔχουσα. χαίρει δὲ μάλιστα τοῖς δένδροις καὶ τῷ

(4) *Ita MSS.* (5) *Legend. cum* Interp. Μυρσίτης.

(a) Τὸν Τιαρηνόν.] Tiare *Myſiæ oppidum, ſi* Plinio *fides, & Incolæ Tiareni vel Tyareni.*

(b) Τίῳ] " Tios *oppidum (inquit* Pomp. Mela *Lib.* 1.) *Mileſiorum quidem Colonia, ſed jam ſoli gentiſque Paphlagonum. Et* Stephanus Byzantinus περὶ Πόλεων. Τίος· πόλις Παφλαγονίας-- Tius vel Tium, Paphlagoniæ Urbs--. Plinius *Lib. VI.* " *Tium* (inquit) *ab Heraclea triginta octo* " *millibus paſſuum.*

(6) *Ita* Caſ. V. & B. 1. *antea* διειλεῖς.

τούτων

τούτων ὕψει, καὶ τοῦ συνεχῶς φυλλίζεσθαι. καὶ ὁ ἐκ τούτων δὲ οἶνος χαίρει τῷ συνεχῶς ἐκτρυγίζεσθαι. Οἶνος δὲ κάλλιστός ἐστιν, ὁ ἐν ξηροῖς καὶ κεκλιμένοις τόποις, καὶ πρὸς ἀνατολὰς ἢ μεσημβρίαν βλέπουσι, φυτευθεισῶν ἀμπέλων. τὰς δὲ δενδρίτιδας ἀμπέλους, ἐν τῇ πεδιάδι καὶ κοίλῃ καὶ ὁμαλῇ, ἐπιτηδειότερον φυτεύειν. μεμνῆσθαι γὰρ πανταχοῦ, καὶ ἰδικῶς (7) παρατηρεῖν. διότι γῆ πρὸς φυτείαν χαμαιζήλοις μὲν ἀμπέλοις ἐκείνη ἐστὶν ἐπιτηδειοτέρα, ἡ ἐν τοῖς πλαγίοις καὶ ἠρέμα ἀνακεκλιμένοις, καὶ ὑψηλοτέροις καὶ ξηροτέροις τόποις, αὕτη γὰρ τὸ θέρος εὐμαρέστερον ἕξει, διαπνεομένη καλῶς. καὶ ἡ ἐν τοῖς γηλόφοις δὲ τόποις ἀνηπλωμένη, καὶ ἐν ταῖς ὑπωρείαις, ἁρμόζει ταῖς χαμαιζήλοις καὶ χαμαιπετέσιν ἀμπέλοις. ἐν γὰρ τοῖς τοιούτοις χωρίοις, πᾶν τὸ ἐν τοῖς ὑψηλοῖς γεῶδες καὶ τρόφιμον καὶ γόνιμον, περιρρεῖ κατὰ βραχὺ λανθάνον ὑπὸ τῶν καταφερομένων ὄμβρων. Ἐν δὲ ταῖς κορυφαῖς τῶν ὀρέων οὐ δεῖ φυτεύειν ἀμπέλους, ἡ γὰρ ἀπὸ τούτων ὑγρασία μετὰ τοῦ γεώδους (8) καταφερομένη, γυμνὰς καὶ ἀτρόφους τὰς ῥίζας καταλείπει. ἐν δὲ τῇ πεδιάδι καὶ ὁμαλῇ καὶ ἰκμάδα ἐχούσῃ, τὰς δενδρίτιδας δεῖ φυτεύειν, καὶ μάλιστα ἐν τοῖς θερμοτέροις τόποις, ὅπου μὴ (9) πάνυ ὄντες οἱ ἄνεμοι σφοδροί, ἐπὶ τῶν δένδρων (10) αἰωρουμένας αὐτὰς ἠρέμα διαπνέοντες τρέφουσιν. ἐν γὰρ τοῖς ψυχεινοῖς τόποις σφοδροὶ ὄντες τὰς δενδρίτιδας βλάπτουσιν. Εἰς ἡδυοινίαν δὲ πασῶν ἀδηρίτως καλλίων ἡ θηριακή, ᾗ Δημόκριτος καὶ τοῦ ὑγιεινοῦ καὶ τῇ καλλιοινίᾳ μαρτυρεῖ. (11) ἔχει δὲ τὸ κλῆμα φύσει λεπτὸν καὶ ἀσθενές.

defæcatione gaudet. Porro optimum vinum eſt, quod ex vitibus in ſiccis & inclinatis locis, & ad orientem aut meridiem ſpectantibus, conſitis provenit. Verum arbuſtivas vites, in campeſtri & concavo ac plano loco, plantare aptius eſt. Meminiſſe enim ſemper, & peculiariter obſervare oportet, quod plantandis humilibus quidem vitibus illa terra aptior eſt, quæ in obliquis & leniter acclivibus, & altioribus & ſiccioribus locis eſt, hæc enim æſtatem leniorem habebit, probeque perflabitur. Sed & quæ in locis collibus plenis expanſa eſt, & montium inferiores partes humilioribus & depreſſis vitibus conveniunt. In hujuſmodi enim locis, quicquid in ſummis partibus ac alto terreum & fertile eſt, id omne defluit paulatim & clanculum a pluviis delatum. At vero in montium verticibus vites plantare non oportet. Humor enim ab his una cum terreo defertur, & radices nudas ac alimento carentes relinquit. In campeſtri vero planaque & humida terra, arbuſtivas vites plantare oportet, & maxime in calidioribus locis, ubi venti non valde vehementes ſunt, & ipſas in arboribus elevatas placide perflantes nutriunt. In frigidis enim locis venti vehementes arbuſtivas vites lædunt. Omnium autem vitium theriaca proculdubio jucundiſſimum vinum fert, cui etiam Democritus teſtimonium præbet, quod & ſaluberrimum & optimum vinum producat. Habet autem ſarmentum natura tenue & infirmum.

(7) *Lego cum* Interp. παρατηρεῖν δεῖ, ὅτι γῆ--. (8) *MSS.* F. C. L. B. 1, 2. καταſυρομένη. (9) *Ita MSS. prius* πάντη. (10) *Emend. ex MSS. antea* αἰωρουμένων. (11) *In* Bar. ἔστι δέ.

CAP.

CAP. III.

De plantario. Didymi.

PLantarium appellatur, in quo plantæ quas tranſplantaturi ſumus deponuntur, &, ut Bithyni loquuntur, præſaginantur. Ponantur autem plantæ in plantario altiores pede, ſic enim planta facile per ligonem refodietur, & ſemper magis a ſole calefiet. Quæ vero præoculationes vocantur, & quod ſuperfluum eſt in augeſcente auferre oportet, quo in craſſitudinem augmentum capiat. Ablatio per manum fiat, non per ferrum, ſtuporem enim novellæ viti inducit ferri contactus. Quidam ſecundo aut tertio anno tranſplantant, plantæ enim generoſiores erunt triennales tranſplantatæ. Plantaria rigare non eſt opus, niſi & ipſas vineas rigare velimus. Omnia enim quæ in plantario fiunt, ea etiam in vinea facere oportet.

ΚΕΦ. Γ.

Περὶ Φυτωρίου. Διδύμου.

ΦΥτώριον καλεῖται, ἐν ᾧ τὰ φυτὰ μεταφυτεύεσθαι μέλλοντα κατατίθεται, καὶ, ὡς Βιθυνοὶ λέγουσι, προσιτεύεται. τιθέσθω δὲ ἐν τῷ φυτωρίῳ τὰ φυτὰ εἰς βάθος μὴ ἔλαττον ποδὸς, οὕτω γὰρ τὸ φυτὸν εὐκόλως τῇ δικέλλῃ ἀνορυγήσεται, καὶ μᾶλλον ὑπὸ τοῦ ἡλίου διαπαντὸς θερμανθήσεται. τὰς δὲ καλουμένας προοφθαλμίδας, καὶ τὸ περιοσσὸν τοῦ αὐξηθέντος ἀφαιρείσθω, ἵνα εἰς πάχος τὴν αὔξησιν λάβῃ. τῇ δὲ χειρὶ τὴν ἀφαίρεσιν χρὴ ποιεῖσθαι, μὴ σιδήρῳ, ναρκᾶν γὰρ τὴν νεαρὰν ἄμπελον ποιεῖ ἡ τοῦ σιδήρου θίξις. Τινὲς δὲ τῷ δευτέρῳ ἔτει ἢ τῷ τρίτῳ μεταφυτεύουσιν, ἔσται γὰρ γενναιότερα τὰ φυτὰ τριετῆ μεταφυτευθέντα. οὐ χρὴ δὲ ἀρδεύειν τὰ φυτώρια, εἰ μὴ (1) μέλλομεν καὶ τοὺς ἀμπελῶνας ἀρδεύειν. πάντα γὰρ ὅσα ἐν τῷ φυτωρίῳ γίνεται, ταῦτα καὶ ἐν τῷ ἀμπελῶνι χρὴ πράττειν.

(1) *MSS.* V. F. L. C. *&* B. 2. μέλλωμεν.

CAP. IV.

De regionibus cœli. Democriti.

OPortet ſemper locorum naturæ plantationem adaptare. Si enim calidus fuerit locus, partes ad ſeptentrionem ſpectantes plantabimus, Si vero frigidior, meridionales, Si medius & temperatus, orientales & occidentales præſtiterint; magis tamen orientales, niſi ab Euro infeſtentur. Aliquando vero & occidentales potiores erunt, quum procul a

ΚΕΦ. Δ.

Περὶ (1) κλιμάτων. Δημοκρίτου.

ΔΕῖ πρὸς τὴν τῶν τόπων ἁρμόζεσθαι φύσιν ἀεί. ἐὰν γὰρ θερμὸς ὁ τόπος ᾖ, τὰ πρὸς ἄρκτον νεύοντα φυτεύσομεν, ἐὰν δὲ ψυχρότερος, τὰ πρὸς μεσημβρίαν, ἐὰν δὲ μέσος καὶ εὔκρατος, τὰ ἀνατολικὰ καὶ δυτικὰ κάλλιον· μᾶλλον μέντοι τὰ ἀνατολικὰ, εἰ μὴ ἐνοχλοῖτο ὑπὸ τοῦ Εὔρου. ἐνίοτε δὲ τὰ δυτικὰ ἔσται αἱρετώτερα μᾶλλον, ὅταν μακρὰν

(1) *Ita legend. cenſeo cum* Interp. *refragantibus licet MSS. prius* κλημάτων.

ὄντα τῆς θαλάσσης (2) ἐπιπνέοντα ἔχῃ τὸν ζέφυρον. καθόλου δὲ τοῖς μὲν χλιαρωτέροις τόποις, οἱ ἀρκτῷοι ἄνεμοι ἐπιτήδειοι, τοῖς δὲ ψυχεινοῖς, οἱ νότιοι.

mari diſſitæ favonium inſpirantem habeant. Generaliter autem tepidioribus locis ſeptentrionales venti commodi ſunt, frigidis auſtrini.

(2) *In MSS.* ἐμπνέοντα.

ΚΕΦ. Ε.

Περὶ θαλασσίων καὶ ποταμίων χωρίων. Τοῦ Αὐτοῦ.

ΟἹ παραθαλάσσιοι τόποι σφόδρα εἰσὶν ἐπιτήδειοι πρὸς ἄμπελον, διά τε τὴν θερμότητα, καὶ διὰ τὸ λεληθότως τὴν ὑγρασίαν ἀνατρέχουσαν ἐκ τῆς θαλάσσης τρέφειν τὰ φυτά. καὶ οἱ θαλάσσιοι δὲ ἄνεμοι ταῖς ἀμπέλοις εἰσὶ χρησιμώτατοι. Δοκεῖ δὲ τοῖς πολλοῖς ποταμὸν γείτονα, καὶ μᾶλλον ἑλώδη μὴ ἔχειν, διά τε τὴν ἀχλὺν καὶ τὴν ψυχρὰν αὔραν, ἀναπνέουσι γὰρ ἐντεῦθεν συνεχῶς· καὶ συνεπανίστανται ἐρυσίβαι, τὴν ἄμπελον καὶ τὰ σπόριμα καταβλάπτουσαι, καὶ βλαβερὸν τὸν ἀέρα (1) ποιοῦσαι. διὸ δεῖ ἐπιμελῶς τὰ ἕλη, κατὰ τὸ δυνατὸν, περιαιρεῖν. εἰδέναι δὲ χρὴ, ὅτι ὅσαι (2) βλάπτεσθαι εἰώθασιν ἄμπελοι ὑπὸ ἀνέμων τοιούτων, ἢ ὁμίχλης, ἢ ἐρυσίβης, τούτοις (3) ἐπιτεθεῖσαι οὐ βλαβήσονται, τουτέστι δενδρίτιδες γινόμεναι.

CAP. V.

De maritimis & fluvialibus locis. Ejuſdem.

MAritimi loci vitibus valde apti ſunt, tum ob caliditatem, tum ob humiditatem, quæ latenter e mari exiliens plantas nutrit. Sed & venti marini vitibus ſunt maxime commodi. Pleriſque videtur fluvium vicinum non eſſe habendum, multoque minus paludem, & ob nebulas & ob frigidas auras, inde enim aſſidue ſpirant: ſimulque exurgunt rubigines, vitem & ſata lædentes, & noxium aerem reddentes. Quapropter oportet paludes, quantum fieri poteſt, diligenter tollere. Scire expedit quod quæcunque vites a ventis ejuſmodi lædi conſueverint, aut a nebula, aut a rubigine, hæ arboribus maritatæ non lædentur.

(1) *Ita emend. ex MSS. in pr. Ed.* ποιοῦσι. διὸ δή. (2) *Ita MSS. prius* βλάπτουσαι. (3) *Ex MSS.* F. L. C. *&* B. 2. *antea* ἐπιτιθεῖσαι.

ΚΕΦ. Ϛ.

Περὶ καιροῦ φυτείας ἀμπέλων. Κασσιανοῦ.

ΤΙνὲς συμβουλεύουσιν ἔαρος ἀρχομένου, ζεφύρου μέντοι πνέοντος, τὰ κλήματα λαμβάνειν, καὶ παραχρῆμα φυτεύειν. τινὲς δὲ οὐκ εὐθὺς ἐν ἀρχῇ τοῦ ἔαρος, ἀλλ᾽ ὅταν μέλλῃ πρὸς βλάστησιν (1) ὁρᾷν τὰ φυτὰ

CAP. VI.

De tempore plantationis vitium. Caſſiani.

QUidam conſulunt ſub veris initium, favonio tamen ſpirante, ſarmenta ſtatim plantanda. Quidam non ſtatim in veris principio, ſed ubi jam ad germinationem ſpectant plantæ, ſarmenta plantare ju-

(1) *Potius* ὁρμᾷν, *ut ſupra legimus* πρὸς ῥίζωσιν ὁρμᾷν. *In Verſ. retine-*

bent. Diverſa igitur tempora plantationis vitium. Aliqui enim poſt vindemiam plantant, quum folia vitibus defluunt: Aliqui ſub initium veris. Ego vero experientia doctus conſulo, in locis non irriguis autumno potius omnem plantationem fieri, maxime vero vitium. Tunc enim ſarmenta poſt vindemiam ab onere & racemorum pondere liberata, firmataque & propriam vim recuperantia, & a glacie nondum male affecta, citius terræ coaleſcent, & maxime natura tunc magis radices nutriente. Oportet igitur, ut dictum eſt, in locis non irriguis in autumno plantare, quo inopiam rigationis imber per totam hyemem delapſus ſuppleat. Hoc feciſſe me memini, tum in Maratonyma villa, unde originem duco, tum in aliis meis agris; & principio quidem qui id viderunt & audiverunt factum improbabant, poſtremum vero deprehenſo ingenti commodo inde redeunte, placati doctrinam meam ſequuti ſunt, & hic mos uſque in præſens tempus apud nos obtinet. Manifeſtum tamen eſt, quod poſt æquinoctium vernum vitis non eſt plantanda.

παραινοῦσι τὰ κλήματα λαμβάνειν καὶ φυτεύειν. Διάφοροι μὲν οὖν εἰσὶν οἱ καιροὶ τῆς τῶν ἀμπέλων φυτεύσεως. τινὲς μὲν γὰρ μετὰ τὸν τρυγητὸν φυτεύουσιν, ὅταν τὰ φύλλα ἀποῤῥυῇ τῶν ἀμπέλων· τινὲς δὲ τοῦ ἔαρος ἀρχομένου. Ἐγὼ δὲ πεῖραν παραλαβὼν συμβουλεύω, ἐν τοῖς μὴ ἀρδομένοις τόποις τῷ φθινοπώρῳ μᾶλλον φυτεύειν πᾶσαν φυτείαν, μάλιστα δὲ τὴν ἄμπελον. τότε γὰρ τὰ κλήματα μετὰ τὸν τρυγητὸν τοῦ ἀχθοφορεῖν καὶ τοῦ βάρους τῶν βοτρύων ἀπαλλαγέντα, ἀναῤῥωσθέντα τε καὶ τὴν οἰκείαν ἀναλαβόντα δύναμιν, καὶ ὑπὸ τῶν κρυστάλλων οὔπω κακωθέντα, θᾶττον (2) προσφυήσεται τῇ γῇ, καὶ μάλιστα τῆς φύσεως τηνικαῦτα τὰς ῥίζας μᾶλλον τρεφούσης. Δεῖ οὖν, ὡς εἴρηται, ἐν τοῖς μὴ ἀρδομένοις τόποις ἐν τῷ φθινοπώρῳ φυτεύειν, ἵνα τὴν χρείαν τῆς ἀρδείας δι' ὅλου τοῦ χειμῶνος γινόμενος ὄμβρος ἀναπληρώσῃ. τοῦτο φαίνομαι πεποιηκὼς, ἔν τε τῷ Μαρατωνύμῳ χωρίῳ, ὅθεν ὁρμῶμαι, καὶ ἐν ἑτέροις οἷς κέκτημαι ἀγροῖς· καὶ κατ' ἀρχὰς μὲν οἱ ὁρῶντες καὶ ἀκούοντες ἀπεδοκίμαζον τὸ γινόμενον, (3) τέλος δὲ τῇ θέᾳ παρειληφότες τὸ ἐντεῦθεν εἶναι χρήσιμον, ἀρεσθέντες ἠκολούθησαν τῇ παρ' ἐμοῦ διδασκαλίᾳ, καὶ ἄχρι τοῦ παρόντος τοῦτο κρατεῖ παρ' ἡμῖν. ἐκεῖνο μέντοι δῆλον, ὅτι μετὰ τὴν ἰσημερίαν ἐαρινὴν οὐ χρὴ φυτεύειν ἄμπελον.

(2) *Ita lego refrag. MSS. antea* προσερυήσεται. (3) *Emend. ex MSS. prius* τέως.

CAP. VII.

Quod præſcire oporteat quale vinum ager plantandus ſit redditurus. Diophanis.

MAxime neceſſarium exiſtimo ut præ omnibus vinitor prænoſcat, quale futurum ſit vinum, quod

ΚΕΦ. Ζ.

Ὅτι χρὴ προειδέναι ὁποῖον (1) οἶνον ἀποδώσει ἡ μέλλουσα φυτεύεσθαι χώρα. Διοφάνους.

ΑΝαγκαιότατον ἡγοῦμαι πρό γε πάντων τὸν ἀμπελουργὸν προγινώσκειν, ποταπὸς ἔσται ὁ ἐκ τῆς μελ-

(1) *Reſtit. ex MSS. ante* οἶκον ἀποδώσῃ.

λούσης

λέσης φυτεύεσθαι γῆς ἐσόμενος οἶνος. ἡ δὲ περὶ τούτου δοκιμασία γίνεται τοῦτον τὸν τρόπον. Βόθρον ὀρύξας ἐν τῇ μελλούσῃ φυτεύεσθαι γῇ ἐπὶ δύο πόδας, λαβὼν βῶλον ἐκ τῆς ἀνορυγείσης γῆς βάλε εἰς ἀγγεῖον ὑελοῦν μετὰ ὀμβρίου ὕδατος καθαροῦ, καὶ μίξας καὶ θολώσας τὸ ὕδωρ, ἔασον καταστῆναι τελείως, τότε δὲ διὰ τῆς τοῦ ὑέλου διαφανείας γενήσεταί σοι φανερὸν, καὶ ἐπειδὰν εἰς τέλεον καταστῇ, γεῦσαι τοῦ ὕδατος· ὁποία γὰρ ἔσται ἡ γεῦσις, τοιοῦτον καὶ τὸν οἶνον ἔσεσθαι προσδόκα. εἰ μὲν οὖν εὕρῃς τὴν ὄσφρησιν δυσώδη, ἢ τὴν γεῦσιν πικρὰν, ἢ ἁλμυρὰν, ἢ ἀσφαλτώδη, ἢ ἄλλως οὐκ ἀγαθὴν, φεῦγε τὴν ταύτης φυτείαν. εἰ δὲ εὐώδη, καὶ ἡδεῖαν καὶ γλυκεῖαν, καὶ κατὰ πάντα ἀγαθὴν, θαῤῥῶν καταφύτευε ταύτην.

ex plantanda terra proveniet. Ejus autem rei experimentum hoc modo fit. Scrobem in terra in qua plantaturus es ad duos pedes effodito, & de eruta terra glebam in vas vitreum aqua pluviali pura plenum injicito, mixtaque ac conturbata aqua, uſque quo penitus deſidat ſinito, quod per vitrum pellucidum tibi manifeſtum fiet, & poſtquam perfecte deſiderit, aquam guſta: qualis enim fuerit ſapor, tale & vinum futurum expecta. Siquidem igitur odorem inveneris graveolentem, aut ſaporem amarum, aut ſalſum, aut bituminoſum, aut alias non bonum, ea terra non eſt plantanda. Si vero odoratam, & jucundam & dulcem, & per omnia bonam terram repereris, confidenter in ea plantato.

ΚΕΦ. Η.

Ὁποῖα εἶναι δεῖ τὰ φυτευόμενα κλήματα, καὶ ἀπὸ ποίου μέρους τῆς ἀμπέλου, καὶ πότερον ἀπὸ νέων ἢ γεγηρακυιῶν ἀμπέλων χρὴ τὰ κλήματα φυτεύειν. Τῶν Κυντιλίων.

ΗΝίκα αἱ ἄμπελοι εἰς τέλειον ἀποδῶσι τὸν καρπὸν, ἐπιθεωρεῖν δεῖ τὰς εὐκάρπους, καὶ πολυφόρους καὶ πολυοφθάλμους, καὶ μηδὲν πάθος ἐχούσας, καὶ (1) πάσας σημειοῦσθαι, καὶ ἐκ τούτων τῷ καιρῷ τῆς φυτείας λαμβάνειν τὰ φυτὰ, μήτε ἐκ νεοφύτων ἀμπέλων, ἀσθενῆ γὰρ, μήτε ἐκ γεγηρακυιῶν, ἄκαρπα γὰρ, ἀλλ᾽ ἐκ τῶν ἀκμαιοτάτων, ἢ μικρόν τι (2) παρεχουσῶν. τὰ δὲ κλήματα

CAP. VIII.

Qualia eſſe oporteat pagenda ſarmenta, & a quali vitis parte, & utrum a novellis aut vetulis vitibus detracta ſarmenta plantare oporteat. Quintiliorum.

QUando vites perfectum reddent fructum, obſervare oportet quæ fructiferæ, & multo fructu multiſque oculis præditæ ſint, & quæ nulla clade affectæ, eaſque notare omnes, ex ipſiſque tempore plantationis plantas detrahere, non ex novellis vitibus, ſunt enim infirmæ, neque ex ſeneſcentibus, ſunt enim ſteriles, ſed ex eis quæ in ſummo vigore ſunt, aut parum quiddam exceſſerunt. Sarmenta au-

(1) *Ita MSS. male antea* πάντας. *in pr. Ed.* παρεσχ.

(2) *Ex MSS.* F. L. C. B. 1, & 2.

tem

tem non ex ſummis neque ex infernis partibus detrahenda ſunt, ſed ex media vite. & ſane ſarmentum quod aſperum eſt, & latius & ferulæ ſimile, raroſque oculos habet & radices contractas, abjiciendum: ſumendaque rotunda, lævia, ſolida, oculos crebros & novas gemmas plurimas habentia. Habeant autem ſarmenta detracta etiam ſarmenti ſuperioris anni partem, & ſtatim ut ablata ſunt plantentur. Citius enim coaleſcit terræ recens ſectum, utpote adhuc tranſpirans. Si vero paululum differenda eſt plantatio, ſimul ac ſublata ſunt ſarmenta, in terra defodienda, aut ſoluta aut laxe revincta, quo omnia terra fruantur, quæ neque arida, neque valde humida ſit, præſtat autem propria unde ſunt ablata. Quod ſi diutius ſervandæ plantæ ſunt, in dolio ſicco reponantur, terra ſubſtrata, & rurſus injecta, ut undequaque terra fruantur. Dolium vero diligenter luto oblinere oportet, ut neque ventus, neque aer inſpirare poſſit, hoc enim modo etiam ad duos menſes illæſa manent ſarmenta. Quæ vero ex locis diſtantibus apportantur ſarmenta, quidam in ſcillam impoſita, aut in bulbos edules, viridia conſervarunt. Quæ autem tempore læſa ſunt & aridiora facta, in aquam per diem ac noctem conjecta, plantato. Si vero aridior ſit terra, etiam ſana ſarmenta macerare melius eſt, atque ita plantare. Cavendum etiam ne ſarmenta quæ plantabimus ante plantationem germen emittant, talia enim corrumpentur. Cæterum unius ſarmenti illa pars potior eſt ad plantati-

ληπτέον μήτε ἐκ τῶν ἄκρων, μήτε ἐκ τῶν κάτω μερῶν, ἀλλ᾽ ἐκ τοῦ μέσου τῆς ἀμπέλου. καὶ τὸ μὲν τραχὺ κλῆμα, καὶ πλατύτερον καὶ ναρθηκῶδες, καὶ ἀραιόφθαλμον καὶ (3) μειόῤῥιζον, ἀποῤῥιπτέον· ληπτέον δὲ τὰ κλήματα τὰ στρογγύλα, λεῖα, καὶ στιβαρὰ, καὶ πυκνόφθαλμα, καὶ τοὺς νεόποδας πλείστους ἔχοντα. τὰ δὲ λαμβανόμενα κλήματα ἐχέτω καὶ τοῦ περυσινοῦ κλήματος μέρος, καὶ παραχρῆμα ἀφαιρεθέντα φυτευέσθω, (4) προσφυήσεται γὰρ τῇ γῇ τάχιον τὸ προσφάτως τμηθὲν, ὡς (5) ἀδιάπνευστον τυγχάνον· εἰ δὲ μικρᾶς ὑπερθέσεως τὰ τῆς φυτείας χρήζει, ἅμα τῷ ἀφαιρεθῆναι τὰ κλήματα, χρὴ ταῦτα κατορύττειν εἰς γῆν, ἢ λελυμένα ἢ χαλαρῶς δεδεμένα, ἵνα πάντα τῆς γῆς ἀπολαύῃ, τῆς γε μήτε ξηρᾶς μήτε ὑγρᾶς ἄγαν, κάλλιον δὲ τῆς οἰκείας ὅθεν ἐξῃρέθη. Ἐὰν δὲ ἐπὶ πλέον ἡ τήρησις τῶν φυτῶν ἀναγκαία τυγχάνῃ, ἐν πίθῳ μὴ ἔχοντι ἰκμάδα τιθέσθω τὰ φυτὰ, προϋποστρωννυμένης γῆς, καὶ πάλιν ἐπιβαλλομένης, ἵνα πανταχόθεν τῆς γῆς (6) ἀπολάβῃ. δεῖ δὲ ἐπιμελῶς πωμάζειν τὸν πίθον πηλῷ, ἵνα μὴ ἄνεμος ἢ ἀὴρ εἰσπνέειν δυνηθῇ, οὕτω γὰρ καὶ ἐπὶ δύο μῆνας μένει ἀσινῆ τὰ φυτά. Τὰ δὲ ἐκ πολλοῦ διαστήματος κομιζόμενα κλήματα, τινὲς εἰς σκίλλαν ἐνθέντες, ἢ εἰς βολβοὺς οὓς ἐσθίομεν, χλωρὰ διεφύλαξαν. τὰ δὲ χρόνῳ βλαβέντα καὶ ξηρότερα γινόμενα, ἐμβαλὼν εἰς ὕδωρ νυχθήμερον, φύτευε. εἰ δὲ ξηροτέρα εἴη ἡ γῆ, καὶ τὰ ὑγιαίνοντα κλήματα βρέχειν κάλλιον, καὶ οὕτω φυτεύειν. Τὰ δὲ φυτευόμενα κλήματα προσέχειν δεῖ μὴ βλαστήσῃ πρὸ τῆς φυτείας, διαφθαρήσεται γὰρ τὰ τοιαῦτα. ἀπὸ δὲ ἑνὸς κλήματος ἐκεῖνο κρεῖσσόν ἐστι τὸ

(3) *MSS.* V.F.C. *&* Bar. μυέλιζον. (4) *Ita legend: conjicio. MSS:* προσρεύεται. (5) *Hic iterum mihi hæret aqua,* Caſ. *enim &* Interp. *legunt* διάπνευστον, *vel ut Dominus* Barnes εὐδιάπνευστον, *ſed MSS. ut in textu. Litem dirimant eruditi.* (6) *MSS.* F. L. Bar. *&* Bod. ἀπολαύῃ.

μέρος εἰς φυτείαν, τὸ ἐξοζισμένον τοῦ ἑνὶ μέχρις ζ΄. ὀφθαλμῶν. καλὸν οὖν τὸ κλῆμα καὶ εἰς φυτείαν ἐπιτήδειον, τὸ ἀπὸ τοῦ ἑνὸς, τουτέστι τοῦ περυσινοῦ, μέχρις ἑπτὰ ὀφθαλμῶν· τὸ δὲ ἄλλο, ἄχρηστον. οὐ καλῶς οὖν ποιοῦσί τινες, μακρότερα κλήματα εἰς δύο καὶ τρία μέρη τέμνοντες καὶ φυτεύοντες.

onem, quæ uni uſque ad ſeptem oculos juncta eſt. Bonum eſt igitur ſarmentum & plantationi idoneum, quod ab uno, hoc eſt ſuperioris anni, uſque ad oculos ſeptem: Quod autem aliter ſe habet, inutile eſt. Quare non recte faciunt quidam, longiora ſarmenta in duas aut tres partes ſecantes ante plantationem.

ΚΕΦ. Θ.

Πῶς δεῖ φυτεύειν τὰς ἀμπέλους, καὶ τί δεῖ ποιεῖν πρὸς ταχεῖαν τούτων ῥιζῶσιν, καὶ πότερον ὀρθὸν ἢ πλάγιον τὸ κλῆμα φυτεύειν. (1) Φλωρεντίνου.

Μεμνῆσθαι δεῖ τοὺς φυτεύοντας ἄμπελον, ἀεὶ προχρίειν τὰς ῥίζας καὶ τὰ ἄκρα τῶν κλημάτων ὑγρῷ βολβίτῳ· φασὶ γὰρ, τὰ ἑρπετὰ καὶ τοὺς σκώληκας ὀσφραινόμενα μὴ προσιέναι. χρὴ δὲ (2) ἐμπάσσειν τοῖς φυτοῖς δρυΐνης βαλάνου συγκεκομμένης εἰς κυάμου μέγεθος· καὶ ὀρόβους (3) καταῤῥηγνύντας καὶ ἀλέσαντας ἅπαξ, ὡς συνθλάσαι μόνον καὶ διελεῖν, μιγνύναι ταῖς βαλάνοις, καὶ διαπάσσειν τοὺς τόπους τῶν φυτῶν. ταῦτα γὰρ καὶ πρὸς ῥίζωσιν καὶ πρὸς παλαίωσιν τοῦ οἴνου, καὶ πρὸς πολυκαρπίαν συμβάλλεται. Τινὲς δὲ τὰ τῶν ὀσπρίων ἄχυρα, μάλιστα δὲ τὰ τῶν κυάμων, συμβάλλουσι τοῖς φυτοῖς, καὶ γὰρ θερμαίνει διὰ τοῦ χειμῶνος τὰ τοιαῦτα, καὶ τὴν ἐκ τῶν θηρίων βλάβην κωλύει. τινὲς δὲ οὖρον ἐμβάλλουσι. Συμβάλλειν δὲ χρὴ δράκα γιγάρτων πεφρυγμένων εἰς ἕκαστον βόθρον, εἰς μὲν τὰ μέλανα γένη γίγαρτα λευκῶν σταφυλῶν, εἰς δὲ τὰ λευκὰ μελαινῶν.

CAP. IX.

Quomodo vites plantare oporteat, & quid faciendum ſit ut cito radices agant, & utrum rectum aut obliquum ſarmentum ſit plantandum. Florentini.

MEminiſſe oportet eos qui vitem plantant, ut ſemper radices & ſummas ſarmentorum partes ſtercore bubulo liquido prælinant: Aiunt enim, reptilia & vermiculos odore offenſos non accedere. Oportet autem plantis inſpergere quercinam glandem contuſam magnitudine fabæ; & ervum fractum ac ſemel molitum, ita ut ſolum fractum ſit & diviſum, ſimul miſcere, & plantarum locos inde conſpergere. Hæc enim & ad radices agendas, & ad vini vetuſtatem, & ad fertilitatem conferunt. Quidam vero leguminum paleas, maxime fabarum, una cum plantis injiciunt, per hyemem enim calfaciunt, & beſtiarum noxas arcent. Quidam urinam injiciunt. Oportet autem & vinaceorum torrefactorum pugillum in ſingulas ſcrobes injicere, ad nigra genera albarum uvarum vinacea, ad alba contra nigrarum. Li-

(1) *MSS.* V. F. L. C. *&* B. 2. *delent* Φλωρεντίνου. (2) *Emend. ex MSS.* F. C. B. 1. L. *&* Bod. *antea* ἐν πᾶσι. (3) *Reſtitui ex MSS. & Caſ. prius* καταμιγνύντας.

cet

cet autem etiam erectum plantare ſarmentum, præſtat tamen obliquum, citius enim radicantur obliqua. Sive autem erectum ſive obliquum poſitum ſit, tres aut quatuor lapides manuales circumponendi ſunt, deinde adjacente aggere adobruendi, ita ut una cum ſtercore æqualiter conculcentur; & cavendum eſt, ne quis oculus juxta terram excæcetur, deinde alii lapides magnitudine pares imponantur conculcato. Stercus igitur ſimul injectum fovet & firmat plantam; Vinacea vero citius radicem agere faciunt; Lapides autem impediunt ne ſpatioſa terræ amplitudo illabatur, in æſtate vero radices perfrigerant. Sotion etiam cedria quam minima extremam plantæ ſedem illinere jubet, nam hæc putreſcere non ſinit, & reptilia adrepere prohibet odore. Quidam ſane terram non tranſmutantes aut eruentes, ſed palo tantum immiſſo, plantas deponunt. Mihi vero hoc valde diſplicet, præſtantior eſt enim per totalem foſſionem plantatio, ea quæ fit per palum. In hac enim oculi excæcantur, & ſarmentum ipſum obtorquetur; in illa vero integrum & illæſum imponitur.

Δυνατὸν δὲ καὶ ὄρθιον φυτεύειν τὸ κλῆμα, βέλτιον δὲ τὸ πλάγιον, ῥιζοῦται γὰρ θᾶττον. εἴτε δὲ ὀρθῷ, εἴτε πλαγίῳ τεθέντι τῷ φυτῷ, περιθετέον λίθους γʹ. ἢ δʹ. χειροπλήθεις, εἶτα ἐπιχωστέον τῷ παρακειμένῳ χώματι μετὰ κόπρου συμπατοῦντας· χρὴ ὁμοίως καὶ παραφυλαττομένους, μή τινα τῶν κατὰ γῆς ὀφθαλμῶν (4) τυφλώσωσιν, εἶτα ἑτέρους ἐπιθετέον λίθους τῷ συμπατηθέντι τοῖς μεγέθεσιν ἴσους· ἡ μὲν οὖν κόπρος συμβαλλομένη θάλπει καὶ στερεοῖ τὸ φυτόν· τὸ δὲ γίγαρτον ῥιζοβολεῖν ποιεῖ θᾶττον· οἱ δὲ λίθοι κωλύουσιν ἐμπεσεῖν τὴν εὐρυχωρίαν, ἐν δὲ τῷ θέρει καταψύχουσι τὰς ῥίζας. Σωτίων δὲ παραινεῖ, καὶ κεδρίᾳ ἐλαχίστῃ τὰ ἄκρα τῆς ἕδρας τοῦ φυτοῦ χρίειν, οὐκ ἐᾷ γὰρ σήπεσθαι, καὶ τὰ ἑρπετὰ κωλύει ὀσφραινόμενα εἰσελθεῖν. τινὲς μὲν οὖν οὐ μεταβάλλοντες τὴν γῆν, ἀλλ᾽ ἁπλῶς πάτταλον καθιέντες, ἐμβάλλουσι τὰ φυτά. ἐμοὶ δὲ σφόδρα τοῦτο ἀπαρέσκει. (5) καλλίων γὰρ ἡ διὰ πανσκαφείας φυτεία, τῆς διὰ παττάλου φυτείας. ἐκεῖ μὲν γὰρ οἱ ὀφθαλμοὶ τυφλοῦνται, καὶ τὸ κλῆμα λυγίζεται· ἐνταῦθα δὲ ἀκέραιον καὶ ἀσινὲς ἐντίθεται.

(4) *Ita MSS. rectius, antea* τυφλώσουσιν, ... ἐπιτεθέον. (5) *Emend. ex MSS. In MSS.* V. C. *&* Bar. καλλίων γὰρ ἡ διὰ πανσκαφίας. F. L. *&* Bod. καλλίων δὲ ἡ--. *In pr. Ed. peſſime* δ᾽ ἅπαν σκαφίας.

CAP. X.

Quota die ſecundum lunam, & utrum ſupra terram apparente an infra terram latente, vites plantare oporteat. Anatolii.

MUlti ex Veteribus affirmant a prima lunæ die uſque ad quar-

ΚΕΦ. Ι.

(1) Πόστῃ κατὰ σελήνην, καὶ πότερον ὑπεργείου οὔσης χρὴ τὰς ἀμπέλους φυτεύειν, ἢ ὑπογείου. Ἀνατολίου.

ΠΟλλοὶ τῶν Ἀρχαίων διαβεβαιοῦνται, ἀπὸ πρώτης σελήνης μέχρι τε-

(1) *Ita legend. ex MSS.* Bar. L. *&* Bod. *ante* Πῶς τῇ.

τριάδος τὰς ἀμπέλους φυτεύειν (2) ἔνιοι δὲ ἐν πάσαις ταῖς ἡμέραις αὐξανομένης αὐτῆς συμβουλεύουσι φυτεύειν, ὥσπερ ληγούσης κλαδεύειν. ἕτεροι αὐξανομένης αὐτῆς φυτεύειν παραιτοῦνται. (3) τοῦτο δὲ ὁμολογούμενόν ἐστιν, ὅτι χρὴ καὶ τὰς ἀμπέλους καταπηθέναι, ὑπὸ γῆν οὔσης τῆς σελήνης, (4) καὶ τέμνειν ξύλα ὁμοίως ὑπὸ γῆν οὔσης αὐτῆς. Σωτίων δέ φησιν ἐν ταῖς ἀσελήνοις ἡμέραις, τουτέστι τῇ πρώτῃ καὶ δευτέρᾳ ἡμέρᾳ, φυτεύειν τὰς ἀμπέλους, καὶ τὰ λοιπὰ δένδρα, πρὶν τὴν σελήνην φανῆναι τοῖς ἀνθρώποις, τὰ γὰρ ἐν ταύταις ταῖς ἡμέραις φυτευόμενα, πάντα εὐσύλληπτά φησι γίνεσθαι· ἐγὼ δὲ καὶ ληγούσης τῆς σελήνης πολλάκις φυτεύσας, οὐ μετεμελήθην. (a) Σωτίων δὲ ἐν ταῖς ἀσελήνοις, καὶ τὴν κθʹ. καὶ λʹ. τάττει. χρὴ μέντοι τὰ κλήματα ληγούσης τῆς σελήνης λαμβάνειν, καὶ τὰ πρὸς φυτείαν, καὶ τὰ πρὸς ἐγκεντρισμόν.

tam vites plantandas eſſe, aliqui vero in omnibus dum augeſcit diebus plantare conſulunt, quemadmodum decreſcente eadem putare. Alii augeſcente luna plantandum minime cenſent. Hoc vero in confeſſo eſt, quod luna ſub terra latente vites depangere oportet, ligna item ſecare eadem ſub terra delitente. Sotion vero ait in illunibus diebus, hoc eſt prima & ſecunda die, vites plantandas eſſe, itemque reliquas arbores, priuſquam luna hominibus appareat, quæ enim in his diebus plantata ſunt, omnia facile comprehendunt, velut ipſe tradit: Ego vero etiam decreſcente luna ſæpe plantavi, neque pœnituit. Verum Sotion inter illunes dies etiam vigeſimam nonam & trigeſimam collocat. Oportet tamen ſarmenta luna decreſcente detrahere, tum quæ plantabimus, tum quæ inſeremus.

(2) *Hanc lacunam ſupplevi ex* Caſ. *& MSS.* (3) *Sic legend. quis non videt? prius* ταῦτα---. (4) *Revocavi hanc* περικοπὴν *ex MSS.* F. C. *&* Bar. (a) *Reſpicias ad Cap.* 15. *Lib.* 1.

ΚΕΦ. ΙΑ.

Τί δυνατὸν ἐν τοῖς ἀμπελῶσι σπείρειν. Βηρυτίου.

Τινὲς κυάμους καὶ ὀρόβους σπείρουσιν ἐν τοῖς ἀμπελῶσιν, ἀβλαβῆ τὰ φυτὰ φυλάξαι δυναμένους, τινὲς δὲ κολοκύνθας καὶ (1) σικύους σπείρουσιν. ἡ δὲ πεῖρα ἐδίδαξε, χρήσιμον εἶναι μηδὲν σπείρειν ἐν τοῖς ἀμπελῶσι. (2) παραιρεῖται γὰρ τὴν τροφὴν τῶν ἀμπέλων τὰ σπειρόμενα, καὶ ἡ σκιὰ βλάπτει. (3) Παραιτοῦ δὲ μάλιστα κράμβην, ὡς φύσει ξηράν, καὶ ἀντιπάθειαν ἔχουσαν φυ-

CAP. XI.

Quid in vineis ſeminare liceat. Berytii.

Quidam fabas & ervum in vineis ſeminant, utpote quæ plantas illæſas ſervare poſſunt, quidam vero cucurbitas & cucumeres ſerunt. Verum experientia docuit, commodum eſſe nihil ſeminare in vineis. Adimunt enim alimentum vitibus ſeminata, & nocet etiam umbra. Maxime autem braſſicam averſari oportet, natura nempe ſiccam, & naturaliter contrariam affectionem adverſus

(1) *Ita MSS. prius nullo ſenſu* συκίους. (2) *Reſtit. ex MS.* Bar. *antea* παραιτεῖται, *male.* (3) *Ex MSS. in pr. Ed.* παραιτεῖ.

vitem

vitem habentem. v. g. ſi quis dum coquitur braſſica vini vel minimum inſtillet, non coquitur, & color ejus corrumpetur: & qui multo vini potu ſe largius invitare volunt, & non inebriari, crudam braſſicam prius edunt. Si autem contingat complantata eſſe vitem & braſſicam, vitis ipſa augeſcens, ubi braſſicæ appropinquat, non amplius directe procedit, ſed retro vertitur, contrariam affectionem ad braſſicam habens. Tarentinus etiam nihil omnino inter vites ſeminandum eſſe tradit, quod & ego conſulo, experientia doctus.

σικὴν πρὸς τὴν ἄμπελον. ἀμέλει ἐὰν τις ἑψομένης κράμβης οἴνου ἐλαχίστου ἐπιψεκάσῃ, οὔτε ἕψεται, καὶ ἡ χροιὰ διαφθαρήσεται· καὶ οἱ βουλόμενοι πολὺν οἶνον πίνειν, καὶ μὴ μεθύσκεσθαι, προεσθίουσιν ὠμὴν κράμβην. Εἰ δὲ καὶ συμβῇ προπεφυτεῦσθαι ἐκ τοῦ πλησίον ἄμπελον καὶ κράμβην, αὐξανομένη ἡ ἄμπελος, ἐπειδὰν πλησιάζειν μέλλῃ τῇ κράμβῃ, οὐκέτι ἐπ' εὐθείας χωρεῖ, ἀλλ' ὑποστρέφει ἀντιπαθῶς ἔχουσα πρὸς τὴν κράμβην. καὶ Ταραντῖνός φησι μηδὲν παντελῶς σπείρειν μεταξὺ τῶν ἀμπέλων, ὅπερ κἀγὼ συμβουλεύω, τὴν πεῖραν ἔχων διδάσκαλον.

CAP. XII.

De profunditate plantationis vitium. Florentini.

MIhi videtur, non minus quatuor pedum altitudine vitium ſcrobes faciendas eſſe. Quæ enim in ſuperficie plantatæ ſunt cito ſeneſcunt, & fructum corrumpunt, modicum alimentum in modica terra ſortitæ, & æſtate exuruntur. Oportet autem, in quantum calor ſolis penetrat, in tantum effodere ac plantare, ultra autem prædictam menſuram calorem ſolis non penetrare affirmant, niſi fiſſa ſit terra. Si vero minori quam prædictum eſt profunditate plantaveris, inutiles vites habebis, & citius ſeneſcentes. Itaque ad quatuor uſque pedes effoſſam terram plantarum nutricem eſſe putato, inferiorem vero, ſterilem. Non eſt autem mala ad trium pedum altitudinem facta plantatio.

ΚΕΦ. ΙΒ.

Περὶ βάθους φυτείας ἀμπέλων. Φλωρεντίνου.

ἘΜοὶ δοκεῖ, μὴ ἧττον τεσσάρων ποδῶν ποιεῖν τοὺς βόθρους τῶν ἀμπέλων. αἱ γὰρ ἐπιπολαίως φυτευθεῖσαι γηρῶσι τάχιον, καὶ τὸν καρπὸν φθείρουσιν, ὀλίγης τροφῆς ἐν ὀλίγῃ τῇ γῇ μεταλαμβάνουσαι, καὶ τῷ θέρει καίονται. Χρὴ δὲ, ὅσον ἡ θερμότης τοῦ ἡλίου κάτεισι, τοσοῦτον ὀρύττειν καὶ φυτεύειν, πλέον δὲ τοῦ προειρημένου μέτρου μὴ κατιέναι τὴν θερμότητα τοῦ ἡλίου βεβαιοῦνται, ἐὰν μὴ ἡ γῆ ῥαγοΐδας ἔχῃ. εἰ δὲ ἔλαττον τοῦ βάθους τοῦ προδηλωθέντος φυτεύσειας, ἀχρήστους ἕξεις τὰς ἀμπέλους, καὶ τάχιον γηρώσας. τὴν ἕως οὖν τῶν τεσσάρων ποδῶν γῆν φυτοτρόφον εἶναι νόμιζε, τὴν δὲ κατωτέρω, ἄγονον. οὐκ ἔστι δὲ φαύλη καὶ ἕως τριῶν ποδῶν βάθους γινομένη φυτεία.

ΚΕΦ. ΙΓ.

Πότερον δύο κλήματα, ἢ μόνον ἓν ἀναγκαῖον ἐν τῷ βόθρῳ φυτεύειν. Τοῦ αὐτοῦ.

Ἐμοὶ δοκεῖ ἀναγκαῖον εἶναι, ἐν μὲν τοῖς ἀμπελῶσι δύο (1) ὁμοῦ κλήματα ἀντὶ ἑνὸς τιθέναι. εἰ γὰρ τὸ ἕτερον διαμάρτῃ, τὸ ἕτερον ζωοφορήσει. ἴσως δὲ ἐπὶ τῶν φυτωρίων οὐκ ἐπιτήδειον δύο κλήματα τιθέναι, ἅτε δὴ καὶ πυκνῶν τιθεμένων τῶν κλημάτων. ἐγχωρεῖ μὲν γὰρ καὶ ἐνταῦθα δύο τιθέναι, ἵνα τὸ ἰσχυρότερον ἐάσωμεν. Δύο δὲ κλημάτων φυτευθέντων ἐν τοῖς ἀμπελῶσι καὶ ἰσχυρῶν γινομένων, τὸ μὲν ἀσθενέστερον ἀναιρετέον, τὸ δὲ λειπόμενον προσδετέον χάραξιν, ὅπερ ἢ ἐν τῷ οἰκείῳ τόπῳ ἐατέον, ἢ μεταφυτευτέον. δύο γὰρ κλημάτων ἐν ἑνὶ βόθρῳ ἐαθέντων, καὶ αἱ ῥίζαι στενοχωροῦνται, καὶ αὐτὰ ἱκανῆς οὐ μεταλαμβάνει τροφῆς, ὥσπερ οὐδὲ δύο βρέφη ὑπὸ τροφοῦ μιᾶς ἐκτρεφόμενα.

(1) *Supplevi ex MSS.*

CAP. XIII.

Utrum duo ſarmenta, aut unum ſolum neceſſe ſit in ſcrobe plantare. Ejuſdem.

Mihi videtur neceſſarium eſſe, in vinetis quidem duo ſimul ſarmenta pro uno pangere. Si enim alterum deficiat, alterum fertile evadet. Fortaſſis autem in plantariis ineptum eſt duo ſarmenta ponere, quum denſa iſthic ſarmenta ponantur. Licet tamen & hic duo pangere, quo fortius ſinamus. Poſtquam autem duo ſarmenta plantata ſunt in vineis & jam fortia facta ſunt, id quidem quod debilius eſt tollendum, quod vero reſtat ridicis alligandum, & aut in proprio loco ſinendum, aut tranſplantandum. Si duo enim ſarmenta in una ſcrobe ſinantur, radices coarctantur, & illa ſufficiens alimentum non habent, quemadmodum neque duo infantes ab una nutrice ali poſſunt.

ΚΕΦ. ΙΔ.

Περὶ διαφορᾶς τῶν ἐνρίζων φυτῶν, καὶ τῶν ἀπὸ κλήματος. Διδύμου.

Τὰ ἔνριζα φυτὰ τῶν ἀμπέλων κατὰ (1) τοῦτο διαφέρειν δοκεῖ τῶν ἀπὸ κλήματος, ὅτι τὰ μὲν ἔνριζα ὁμολογουμένην ἔχει τὴν αὔξησιν, ὡς ἅπαξ (2) ἐῤῥιζωμένα, τὰ δὲ προσδοκᾷ τὴν ῥίζωσιν. ἀλλὰ καὶ καλλίονα ἡ μεταφύτευσις (3) τὸν καρπὸν ποιεῖ.

(1) *Ita MSS. prius* τούτων. (2) *Ex MSS. antea* ἐνριζωμένα. (3) *Emend. ex MSS. in pr. Ed.* τῶν καρπῶν,

CAP. XIV.

De differentia viviradicum plantarum, & earum quæ a ſarmento oriuntur. Didymi.

Viviradices plantæ vitium, etiam hoc præſtare his quæ a ſarmento ortum ducunt videntur, quod viviradices quidem confeſſum habeant augmentum, utpote quæ ſemel radicem egerint, ſarmenta vero nondum radicata ſint. Sed & tranſplantatio me-

liorem fructum facit. Et viviradices quidem ſecundo anno, aut citius fructum reddunt: Plantæ vero a ſarmento ortæ, vix tertio aut quarto anno. Non recte porro faciunt quidam, longiora ſarmenta in duas aut tres partes ſecantes, & plantantes. Quod enim ab una parte uſque ad ſeptem oculos eſt, id ſolum commodum eſt, quod vero ſuperius eſt inutile habetur, ut Florentino & Quintiliis placet.

καὶ τὰ μὲν ἔνερριζα τῷ δευτέρῳ ἔτει, ἢ καὶ θᾶττον τὸν καρπὸν ἀποδίδωσι· τὰ δὲ ἀπὸ κλήματος, μόλις τῷ τρίτῳ ἢ τετάρτῳ ἔτει. Οὐ καλῶς δὲ ποιοῦσί τινες, τὰ μακρότερα κλήματα εἰς δύο ἢ τρία μέρη τέμνοντες, καὶ φυτεύοντες. τὸ γὰρ ἀπὸ τοῦ ἑνὸς μέρους μέχρις ζ'. ὀφθαλμῶν, μόνον ἐστὶ χρήσιμον, τὸ δὲ ἀνώτερον μέρος ἄχρηστον, ὡς Φλωρεντίνῳ καὶ τοῖς (a) Κυντιλίοις δοκεῖ.

(a) *Reſpicias ad cap.* 8. *hujuſce libri.*

CAP. XV.

Quod genera vitium mixta plantare non oporteat, & maxime albas cum nigris uvis. Florentini.

NOn ejuſdem naturæ, neque ejuſdem temporis, omnis vitis eſt, ſed alia quidem cito fructus ad maturitatem perducit, alia non. Eſt & fructuum differentia, alius enim eſt flavus, alius niger, alius albus, & alius dulcis, alius auſterus, & alius quidem levis, alius vero gravis, & alius durabilis, alius non; & aliud quidem vinum inveteraſcens melius eſt, aliud ſtatim potatum, & alia alterius natura eſt & cura. Oportet igitur horum mixturam devitare, ne melius admixtum a pejore lædatur. Nihil autem adeo vinum lædit, quam cum præcoces uvæ cum ſerotinis vindemiantur. Omniũ vero maxime diligenter illud cavendum eſt, ne albæ una cum nigris calcentur. Multo vero melius eſt non ſimul plantari. Habent enim quandam naturalem adinvicem contrariam affectionem.

ΚΕΦ. ΙΕ.

Ὅτι οὐ δεῖ τὰ γένη τῶν ἀμπέλων μεμιγμένα φυτεύειν, καὶ μάλιστα τὰς λευκὰς μετὰ τῶν μελαινῶν σταφυλῶν. (1) Φλωρεντίνου.

ΟΥ τῆς αὐτῆς φύσεως, οὔτε τοῦ αὐτοῦ [(2) καρποῦ καὶ] καιροῦ πᾶσά ἐστιν ἡ ἄμπελος, ἀλλ' ἡ μὲν ταχέως ἕψεται, ἡ δὲ οὔ. καὶ ὁ καρπὸς δὲ διάφορος, ὁ μὲν ξανθὸς, ὁ δὲ μέλας, ὁ δὲ λευκὸς, ὁ μὲν γλυκὺς, ὁ δὲ αὐστηρὸς, καὶ ὁ μὲν κοῦφος, ὁ δὲ βαρὺς, καὶ ὁ μὲν μόνιμος, ὁ δὲ οὔ· καὶ ὁ μὲν παλαιούμενος κάλλιον, ὁ δὲ αὐτόθεν πινόμενος, καὶ ἄλλη ἄλλου καὶ φύσις καὶ θεραπεία. δεῖ τοίνυν τὴν τούτων μίξιν παραιτεῖσθαι, ὡς μὴ μιγνύμενον τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος βλάπτηται. Οὐδὲν δὲ οὕτω τὸν οἶνον βλάπτει, ὡς ὅταν πρώϊμοι σταφυλαὶ σὺν ταῖς ὀψιμωτέραις τρυγῶνται. πάντων δὲ μάλιστα ἀκριβέστερον ἐκεῖνο παρατηρητέον. ἵνα μὴ αἱ λευκαὶ ταῖς μελαίναις συμπατῶνται. πολὺ δὲ κάλλιον, ἐὰν μηδὲ συμφυτεύωνται. ἔχουσι γάρ τινα πρὸς ἑαυτὰς φυσικὴν ἀντιπάθειαν.

(1) *MSS.* F. L. *&* Bar. *affigunt* Φρόντωνος. (2) *Hæc delenda eſſe ſuadet MSS. conſenſus.*

ΚΕΦ. Ιϛ.

Ὅτι συμφέρει μὴ μονοειδῆ τὴν ἄμπελον, ἀλλὰ διάφορα γένη κεχωρισμένως φυτεύειν. Σωτίωνος.

Εὐβουλότατα ποιοῦσιν, ὅσοι τρία ἢ τέσσαρα γένη ἀμπέλων κεχωρισμένως ἐν τῷ ἀμπελῶνι φυτεύουσιν. ἢ γὰρ εὐφορήσει (1) σύμπαντα, ἢ οὐ πάντα ὁμοῦ ἀποτυγχάνει, τὸ γὰρ ἐπὶ μιᾶς (2) ὁρμᾶν σφαλερόν. διὰ τοῦτο δὲ οὐ χρὴ χύδην, ἀλλὰ κατὰ γένος κεχωρισμένως φυτεύειν, ἐπειδὴ πλείστη ἐστὶν ἐν ταῖς ἀμπέλοις διαφορὰ, οὐ μόνον περὶ τὰ χρώματα, ἀλλὰ καὶ τὴν ποιότητα. καὶ ὁ ἐκ τῶν διαφόρων δὲ ἀμπέλων γινόμενος οἶνος, πλείστην ἔχει διαφοράν.

CAP. XVI.

Quod conferat non unius ſpeciei vitem, ſed diverſa genera ſeparatim plantare. Sationis.

Conſultiſſime faciunt, qui tria aut quatuor vitium genera ſeparatim in vinea plantant. Aut enim ſimul omnia feracia erunt, aut non ſimul omnia ſpem fruſtrabuntur, etenim ad unum aliquod genus animum convertere, non eſt tutum. Ob id vero non oportet ſine delectu, ſed ſingula genera ſeparatim plantare, quandoquidem plurima eſt in vitibus differentia, non circa colores ſolum, ſed & qualitatem. Et vinum ipſum ex diverſis vitibus factum plurimum differt.

(1) *Reſtitui ex MSS. prius* σύμπασι. (2) *Ita MSS.* F. L. B. 1, *&* 2.

ΚΕΦ. ΙΖ.

Περὶ διαφορᾶς γένους ἀμπέλων. Φλωρεντίνου.

Οὐ πᾶσα μὲν ἄμπελος ἐν παντὶ τόπῳ τὸν αὐτὸν οἶνον ποιεῖ. πολὺ γάρ τι καὶ ἡ τῶν ἀέρων ποιότης πρὸς καλλιοινίαν συμβάλλεται, καὶ τοὐναντίον βλάπτει. ἡ μέντοι (a) Ἀμίνιος

CAP. XVII.

De differentia generis vitium. Florentini.

Non omnis vitis in omni loco idem vinum producit. Multum enim & aeris qualitas ad vini bonitatem confert, viciſſimque obeſt. Aminea tamen ut plurimum ubique

(a) Ἀμίνιος] *Scribitur hac vox Amminea apud* Plinium, Virgil. *&* Auſonium: *Aminea a* Columella, *& Aminæus Lyæus dicitur a* Qu. Sereno Samonico, *Cap.* 38. *ut fuſe adnotat* Harduinus *ad* Plinium: *qui ex* Heſychio *Aminearum natale ſolum indicat.* Ἀμιναῖος, διʼ ἑνὸς ν, οἶνος· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται. *Ex quo* Heſychii *loco* Harduinus Macrobium *emendat*, Saturn. *Lib.* 3. *ſub finem.* “*Uva Aminæa ſcilicet a regione: nam Aminæi fuerunt ubi nunc Falernum eſt.* legit --- *ubi nunc Salentum eſt.* Salentinus *ager a Græcis* Meſſapia *appellatus, & antea* Peucetia *a* Peucetio Oenotri *fratre; teſtes* Plinius *Lib.* 30. *&* Dionyſius Halicarn. *Rom. Antiqu.* Lib. 1. *nunc*, Terra d' Otranto.

melius

melius fert, maxime vero in obliquis locis & ſiccis, aut etiam humectis, & præcipue ſi in arbores elata nutriatur. Dulce item vinum fert vitis quæ Amineæ ſimilis eſt, parvos habens racemos & denſos acinos, quæ apud Bithynos appellatur Droſallis, quam etiam aliqui ſimul cum Aminea legunt & vindemiant. Sed & alba, majores racemos habens, in ſiccis locis in arbores elata, optimum vinum & multum facit, appellatur autem in Bithynia Leucothracia: habet autem oblongos racemos, & æqualis craſſitudinis acinos globo ſimiles & pingues, & tempore maturitatis ſubrubros; habet autem & ipſa ſarmenta rubra. Eſt autem & vitis in Bithynia appellata Boline, citius matureſcens & valde præcox, racemum magnum & fere cubitalem ferens, & acinos plenos & albos, & pellucidos & rotundos, & appendices racemorum habens valde longas; &, quod ſola præ aliis proprium habet, ab unoquoque oculo tria ſarmenta emittit, aliis vix duo ex ſingulis oculis ſuppeditantibus. Quapropter convenit ipſam valde ſime cædere in putatione, ne, cum valde fertilis ſit, cito elangueat. Sed & vitis ipſa ingenti eſt magnitudine, & non cito ſeneſcit, neque ab aere ambiente læditur, varium autem aerem ſuſtinere poteſt. Fert vero vinum ſufficienter quidem bonum, fortaſſis quod arbores conſcendat, non tamen durabile, ob ſuiipſius naturam. Cæterum non minus fertilis his eſt Aminea prædicta, quapropter hæc omnibus maxime præferenda. Nam Varro affirmat ſingula jugera Amineæ

ὡς ἐπιτοπολὺ πανταχοῦ ἐπιτηδειότερον φέρει, ἐξαιρέτως δὲ ἐν τοῖς πλαγίοις χωρίοις καὶ αὐχμηροῖς, ἢ καὶ καθύγροις, καὶ μάλιστα εἰ ἐπὶ τῶν δένδρων τρέφοιτο. ἡδὺν δὲ ὁμοίως τὸν οἶνον φέρει καὶ ἡ παραπλησία αὐτῇ τῇ Ἀμινίῳ ἄμπελος, ἡ μικροὺς ἔχουσα τοὺς βότρυας καὶ πυκνὰς τὰς ῥᾶγας, ἡ καλουμένη παρὰ Βιθυνοῖς (1) Δρόσαλλις, ἣν καὶ συντρυγῶσί τινες τῇ Ἀμινίῳ. Καὶ ἡ λευκὴ δέ, ἡ μείζους τοὺς βότρυας ἔχουσα, ἐν τοῖς αὐτοῖς αὐχμηροῖς χωρίοις κατὰ τῶν δένδρων φερομένη, κάλλιστον τὸν οἶνον ποιεῖ καὶ πολύν, λέγεται δὲ ἐν Βιθυνίᾳ Λευκοθρακία· ἔχει δὲ ἐπιμήκεις τοὺς βότρυας, καὶ ἰσοπαχεῖς τὰς ῥᾶγας τροχοειδεῖς καὶ λιπαράς, τῷ δὲ καιρῷ τῆς πεπάνσεως ὑπερύθρους· καὶ αὐτὰ δὲ τὰ κλήματα ἐρυθρὰ ἔχει. Ἔστι δὲ ἄμπελος ἐν τῇ Βιθυνίᾳ ἡ καλουμένη (2) Βωλινή, τάχιον πεπαινομένη καὶ πρώϊμος πάνυ, μέγαν τὸν βότρυν καὶ σχεδὸν πηχυαῖον φέρουσα, καὶ τὰς ῥᾶγας ἁδρὰς καὶ λευκάς, καὶ διαυγεῖς καὶ στρογγύλους, τοὺς κρεμαστῆρας τῶν βοτρύων σφόδρα ἔχουσα ἐπιμήκεις· καί, ὃ μόνης αὐτῆς ἐστιν ἰδιάζον, μόνη ἀπὸ ἑκάστου ὀφθαλμοῦ τρία (3) ἐκβάλλει, τῶν ἄλλων μόλις δύο καθ' ἕκαστον ὀφθαλμὸν χορηγουσῶν. διὸ προσήκει αὐτὴν σφόδρα σιμοτομεῖν ἐν τῇ κλαδείᾳ, ἵνα μὴ πολυφόρος οὖσα ταχέως ἀποκάμνῃ. καὶ ἡ ἄμπελος (4) αὐτὴ σφόδρα μέγεθος ἔχει, καὶ οὐ ταχέως γηρᾷ, οὔτε ὑπὸ τοῦ περιέχοντος βλάπτεται, ποικίλους δὲ ἀέρας ὑπομένει. ποιεῖ δὲ τὸν οἶνον αὐτάρκως μὲν χρηστόν, ἴσως διὰ τὸ ἐπὶ τῶν δένδρων αὐτὴν φέρεσθαι, οὐ μέντοι μόνιμον διὰ τὴν φύσιν τὴν ἑαυτῆς. Οὐκ ἔλαττον δὲ τούτων ἐστὶ πολυφόρος καὶ ἡ προειρημένη Ἀμίνιος, διὰ τοῦτο ταύτην πασῶν μάλιστα προκρίνειν χρή. καὶ γὰρ Βάρρων

(1) *Ita MSS. &* Caſaub. (2) *MSS.* F. L. B. 2. *&* Cott. Βωληνή. Bar. βολωνή. V. *ut in textu.* (3) Interp. *ſupplet* κλήματα, *ſed MSS. non agnoſcunt.* (4) *Ita legend. cum* Interp. *prius* αὐτῆς.

ὀρίζεται,

διισχυρίζεται, ὅτι ἕκαστον πλέθρον τῆς Ἀμινίας ἀμπέλου τριακοσίους (5) ἀμφορέας ἤνεγκε. δυνατὸν δὲ πλείω κλήματα ἐάσαντα τῆς αὐτῆς ἀμπέλου, πλείονα τὸν οἶνον ποιῆσαι. ἐν γὰρ τῇ κλαδείᾳ χαίρει τῷ μακροτομεῖσθαι, καὶ πλείω δ' αὐτῇ κλήματα συγχωρεῖσθαι. διὸ δεῖ πανταχοῦ τὴν ἄμπελον τὴν Ἀμίνιον μάλιστα μὲν φυτεύειν· ἂν δ' ἑτέρων ἀμπέλων φυτεία ἡ γῆ προείληπται, ἐπικεντρίζειν δυνατόν. οὐ γὰρ ἐλάττων ἐστὶν ὁ ἐγκεντρισμὸς τῆς φυτείας, καὶ μάλιστα τῆς ἐγκεντριζομένης ἀμπέλου τῷ δευτέρῳ ἔτει καταστρωννυμένης. Τὴν μέντοι εὔφορον, οὐκ ἀπὸ πρώτου καὶ δευτέρου ἔτους δοκιμάζομεν, ἀλλὰ τὴν ἀπὸ πολλῶν ἐτῶν. πολλάκις γὰρ οἱ κλαδεύοντες, πολλὰ κλήματα καταλιπόντες, πολυοινίας αἴτιοί εἰσι, πρὸς ἕνα ἢ δεύτερον ἐνιαυτόν. Εὔφορος δέ ἐστιν ἡ ἄμπελος, ἡ συμμέτρων κλημάτων (6) καταλειφθέντων ἀεὶ ὁμοίως φέρουσα. καθόλου δὲ πολύφορον νομιστέον, οὐ τὴν καθ' ἕκαστον κλῆμα ἕνα βότρυν φέρουσαν, ἀλλὰ τὴν καθ' ἕκαστον ὀφθαλμὸν πλείω κλήματα, καὶ βότρυας ἀφ' ἑκάστου.

vitis trecentas vini amphoras tuliſſe. Licet autem plura ſarmenta ejuſdem vitis ſinere, atque ſic copioſius vinum facere. Nam in putatione longa cæſura gaudet, expetitque ſibi plura ſarmenta concedi. Quapropter vitem Amineam maxime ubique plantare quidem oportet; ſi vero aliarum vitium plantatio terram præoccupaverit, licet etiam inſerere. Neque enim deterior eſt inſitio plantatione, & maxime ſi vitis quæ inſeritur ſecundo anno proſternatur. Attamen fertilem, non a primo aut ſecundo anno, probamus, ſed a multis annis. Sæpe enim putatores, multis ſarmentis relictis, copiam vini ad unum atque alterum annum fecerunt. Verum fertilis vitis cenſenda eſt, quæ ſarmentis moderate relictis ſemper ſimiliter fert. In univerſum vero ferax putanda eſt, non quæ in ſingulis ſarmentis unum racemum habet, ſed quæ ex unoquoque oculo plura ſarmenta emittit, & in ſingulis racemos habet.

(5) *Ex MSS. pr. Ed.* ἀμφορέας.

(6) *Ita MSS. antea* καταληφθ.

ΚΕΦ. ΙΗ.

Πῶς δεῖ τὴν ἀπώρυγα κληματίδα φυτεύειν. Ἀνατολίου.

Τὴν καλουμένην (a) ἀπώρυγα κληματίδα φυτεύσομεν οὕτως. Ὀρύξαντες βόθρον ποδιαῖον τὸ βάθος, ἐπικλίναντες ἀπὸ τῆς ἀμπέλου τὸ κλῆμα, οὐ (1) κόπτοντες, ἀλλὰ κάμπτοντες, ἐντιθέαμεν εἰς τὸν βόθρον, καὶ ἐπιφέρομεν τὸν χοῦν, ἐάσαντες φανερὸν μέρος τοῦ κλήματος ὑπερέχειν

CAP. XVIII.

Quomodo palmitem defoſſum plantare oporteat. Anatolii.

Palmitem defoſſum, ἀπώρυγα appellatum, ſic plantabimus. Scrobem pedali altitudine effodimus, ſarmentumque inclinatum, non decidentes, ſed deflectentes, in ſcrobem imponimus, & aggeſta terra effoſſa, conſpicuam ſarmenti partem ſupra terram ſinimus eminere, ita ut altera

(2) Ἀπώρυγα] Ἀπῶρυξ, *Palmes vitis vetulus, qui in terram defoditur, extrema ſui parte extante, ex quo nova germina pullulant.*

(1) *Reſtit. ex MSS. prius* κύπτοντες . . . καλύπτοντες.

ipſius

ipſius pars viti conjuncta, velut ab ubere alimentum trahat, altera vero in terra nutriatur, & ſic radices agat a duabus matribus nutritum. Quæ autem hoc modo plantata fuerint, & fructum facile ferunt, & vigebunt, utpote maternis & propriis radicibus connutrita, triennia vero rite tranſplantantur.

τῆς γῆς, ἵνα τὸ μέντοι αὐτοῦ συνημμένον τῇ ἀμπέλῳ, ὥσπερ ἀπὸ μαστοῦ (2) ἕλκῃ τὴν τροφὴν, τὸ δὲ ἄλλο ἐντρέφηται τῇ γῇ, καὶ ῥίζοι ὑπὸ δύο μητέρων τιθηνούμενον. Τὰ δὲ οὕτως φυτευθέντα, καὶ καρπὸν φέρει ῥᾳδίως, καὶ εὔτροφα ἔσται, ἅτε μητρῴαις καὶ οἰκείαις ῥίζαις ἀνατρεφόμενα, ἄπινα τριετῆ γινόμενα καλῶς μεταφυτεύεται.

(2) *Ita MS. Bar. antea* ἕλκει.

CAP. XIX.

De modo culturæ. Sotionis.

AGrum quem plantaturus es ab omni materia purgabis, non fodiendo tantum, ſed & aratris ſæpius novando, non modo radicibus erutis, ſed etiam lapidibus exportatis, præſertim majoribus. Omnes enim lapides ſuperne jacentes, & æſtate ſtirpes adurunt, a ſole calfacti, propterea quod caliditas in ſolido corpore permaneat, & rurſus hyeme perfrigerati, & præſertim parvi ſtirpibus adjacentes, eas lædunt: Quemadmodum vice verſa proſunt qui in profundo jacent, æſtus enim tempore radices refrigerant. Cæterum terram ita fodere oportet, ut quæ ſuperna eſt in profundum cedat, & quæ inferna ſurſum feratur. Sic enim quæ ſicca eſt, ſuperna humiditate fruitur; humida vero & denſa, ſupernam caliditatem & laxationem habebit. Diligenter porro curandum eſt, ut cavitates quoad fieri poteſt æquemus, & ne ſinamus cavos eſſe in vineis locos. Ubi vero circumfoderis vites poſtquam primo anno com-

ΚΕΦ. ΙΘ.

Περὶ (1) τρόπου ἐργασίας. Σωτίωνος.

ΤΟ φυτευθησόμενον χωρίον ἀπὸ πάσης ὕλης καθαρτέον, οὐ σκάπτοντας μόνον, ἀλλὰ καὶ ἀρότροις νεοῦντας πολλάκις, οὐ τὰς ῥίζας μόνον ἐξαιροῦντας, ἀλλὰ καὶ τοὺς λίθους ἐκφοροῦντας, καὶ μάλιστα τοὺς μείζους. πάντες γὰρ οἱ λίθοι ὄντες ἄνωθεν, καὶ διὰ τοῦ θέρους τὰ στελέχη περισκαίουσι, θερμαινόμενοι ὑπὸ τοῦ ἡλίου, διὰ τὸ ἐμμένειν ἐν στερεῷ σώματι τὴν θερμότητα, καὶ πάλιν διὰ τοῦ χειμῶνος ψυχροὶ οἱ λίθοι γινόμενοι, καὶ μάλιστα οἱ μικροὶ παρεστηκότες τοῖς στελέχεσι, βλάπτουσιν· ὥσπερ τοὐναντίον οἱ ἐν βάθει ὄντες, καύματος γὰρ ὥρᾳ οὗτοι τὰς ῥίζας ἀναψύχουσι. Τὴν δὲ γῆν σκάπτεσθαι δεῖ οὕτως, ὡς τὴν ἄνω οὖσαν εἰς βάθος χωρεῖν, καὶ τὴν κάτωθεν ἄνω φέρεσθαι. οὕτω γὰρ ἡ μὲν ξηρὰ οὖσα, τῆς ἄνω νοτίδος (2) ἀπολαύει· ἡ δὲ ἔνυγρος καὶ πεπυκνωμένη, τῆς ἄνω θέρμης καὶ ἀνέσεως ἕξει. σπουδάζειν δὲ δεῖ, ὅπως τὰς κοιλάδας κατὰ τὸ δυνατὸν (3) ὁμαλίζωμεν, καὶ μὴ συγχωρῶμεν ἐν τοῖς ἀμπελῶσι κοίλους εἶναι τόπους. περισκάπτων δὲ τὰς ἀμπέλους μετὰ τὸ τῷ πρώτῳ ἔτει κα-

(1) *Emend. ex MSS. prius* τόπου. (2) *Ita MSS. pr. Ed.* ἀπολάβοι. (3) *Reſtit. ex Caſ. &* Interp. *Ita etiam MSS. niſi quod habeant* ταῖς ἀμπέλοις.

παχεῖν

ταχεῖν, τῷ ἑξῆς τὰς ἐπιπολαίους ὀξυτάτῳ δρεπάνῳ (4) ἀφαιρεῖν. πανταχόθεν γὰρ ῥιζοῦν εἰωθυῖα, ἐμποδίζει τὴν εἰς τὸ βάθος ῥίζωσιν.

prehenderint, ſequenti radices in ſuperficie jacentes acutiſſima falce auferes. Etenim vitis undiquaque radices agere ſolita, in profundũ non agit.

(4) *Reſtituendum cum* Caſaub. ἀφαιρεῖ. *vel ſupra legend.* περισκάπτοντα.

ΚΕΦ. Κ.

Περὶ γυρώσεως. Τοῦ Αὐτοῦ.

ΓΥρώσομεν δὲ, τουτέστι περισκάψομεν, διετεῖς ἤδη γινομένας, εἰς βάθος δύο ποδῶν, πλάτος δὲ τριῶν. ἐπὶ δὲ τῶν δενδριτίδων ἀμπέλων, καὶ τὰς ῥίζας τὰς εἰσδυομένας τῶν δένδρων ἐκτεμοῦμεν· ἐπειδὴ ἔτι ἁπαλὰ ὄντα τὰ φυτὰ τῶν ἀμπέλων, ἐὰν μείζοσι καὶ ἰσχυροτέραις προσβάλῃ ῥίζαις, θλίβεται καὶ ἐνοχλεῖται· διὸ δεῖ μεταξὺ εἶναι διάστημα πολὺ τῶν φυτῶν τῆς ἀμπέλου καὶ τῶν δένδρων.

CAP. XX.

De Paſtinatione. Ejuſdem.

PAſtinabimus, hoc eſt circumfodiemus, vites duorum jam annorum, in altitudinem pedum duorum, latitudinem trium. In arbuſtivis autem vitibus, etiam radices arborum irrepentes exſcindemus: Quoniam teneræ vitium plantæ, ſi majoribus & fortioribus radicibus occurrerint & impegerint, premuntur & infeſtantur; magnum ideo ſpatium & diſtantiam inter vitium plantas & arbores eſſe oportet.

ΚΕΦ. ΚΑ.

Περὶ τῆς τῶν ἀμπέλων ἐπιμελείας. Δαμογέροντος.

ΤΩν ἄρτι φυτευθεισῶν ἀμπέλων τὸ περιττεῦον ἀποτέμνειν δεῖ, οὐ λοξῇ τομῇ, οὐδὲ πλησίον τοῦ ὀφθαλμοῦ. ἀλλὰ (1) ἀπέχουσαν πλέον δακτύλων δύο, μὴ πρὸς βορρᾶν, ἀλλὰ πρὸς μεσημβρίαν, ὄπισθεν τοῦ ὀφθαλμοῦ (2) τὴν τομὴν γινομένην, ἵνα μὴ τὸ καταῤῥέον ἐξ αὐτῆς δάκρυον βλάπτῃ τὸν ὑποκείμενον ὀφθαλμόν. ἐὰν δὲ τὸ ὑγρὸν τοῦτο ἐνοχλῇ, χρίε τὴν τομὴν ἀμόργῃ ἑφθῇ ἀνάλῳ. τοὺς δὲ ὀφθαλμοὺς γυρωτέον δεύτερον, εἴτε δὲ καὶ τρίτον. τινὲς δὲ καὶ κόπρον προσεμβάλλουσι. τῷ δευτέρῳ ἔτει τοῖς ἓξ μησὶ κατὰ μῆνα σκαπτέον. Τριετεῖς δὲ ἀρχομένας γίνεσθαι, τὸ ἐπιπολῆς περιττὸν πρίζοντα ἐπιμελῶς περιαιρεῖν χρὴ, καὶ

CAP. XXI.

De vitium cura. Damogerontis.

QUod in vitibus recens plantatis redundat amputandum eſt, non obliqua cæſura, neque prope oculum, ſed diſtantia ampliore duorum digitorum latitudine, non ad boream, ſed ad meridiem, retro poſt oculum plaga incuſſa, ne lachryma ex ipſa defluens ſubjectum oculum lædat. Si vero humor infeſtet, plagam amurca inſulſa cocta illinito. Cæterum oculos iterum atque iterum paſtinato. Quidam etiam ſtercus inſuper injiciunt. Secundo anno per ſex menſes ſingulis fodiendum eſt. Ubi autem jam trium annorum fuerint, quod in ſuperficie redundans eſt ſerra reſecare & diligenter auferre oportet, & poſt autumnum ad profunditatem

(1) *Malim* ἀπεχούσῃ. (2) *Potius* τῆς τομῆς γινομένης.

pedis

pedis ſtercorare. At vero vites in humidioribus locis circumfodiemus, & radices in ſuperficie ſinemus, ut quandoquidem ob multam humiditatem in profundo permanere radices inundatæ non poſſint, in latitudinem ſaltem procedentes perdurare queant, vim terræ non in profundo habentes, ſed ex latitudine ſibi attrahentes ac conſervantes.

μετὰ τὸ μετόπωρον κοπρίζειν διὰ βάθους ποδός. Τὰς μέντοι ἐν τοῖς ὑγροτέροις τόποις ἀμπέλους γυρώσομεν, καὶ τὰς ἐπιπολαίας ῥίζας ἐάσομεν, ἵν᾽ ἐπειδὴ διὰ τὴν πολλὴν ὑγρότητα εἰς βάθος διαμένειν οὐ δύνανται αἱ ῥίζαι ἐπικλυζόμεναι, εἰς πλάτος γοῦν χωροῦσαι διαρκέσαι δυνηθῶσι, τὴν τῆς γῆς δύναμιν μὴ ἐν τῷ βάθει ἔχουσαι, ἐκ πλάτους δὲ (3) ἀνασώζουσαι.

(3) *Emend. ex MSS. prius* ἀνασώζωνται.

CAP. XXII.

Quot ſarmenta in vite quadrima relinquere oportet, & qualibus perticis alligare. Ejuſdem.

ΚΕΦ. ΚΒ.

Πόσα κλήματα καταλιμπάνειν χρὴ τῇ τετραετεῖ ἀμπέλῳ, καὶ ποταπαῖς χάραξι προσδεσμεῖν. Τοῦ Αὐτοῦ.

QUarto anno novellas vitium plantas duo ſarmenta nutrire ſatis eſt, quibus oculi quatuor ſufficiunt, ita ut duos quidem ad truncum excæcemus falce deraſos, ne germinent, ſupremos vero duos relinquamus in augmentum plantæ. At vero ſub initium veris facta putatione perticam juxta depangere oportet robuſtam, rectam, longitudine a pedibus quinque uſque ad ſeptem. Sit autem non tenuior arundine generoſiſſima, quo neque prægravet, neque obumbret plantam. Præſtantior autem eſt pertica ſine cortice, in corticem enim cantharides, & quæcunque vitem infeſtare ſolent, irrepunt & occultantur. Ipſa vero planta extenta ridicæ alliganda. Cæterum ipſi viti jam ſex annorum & adultæ putationem in humeris tribus aut quatuor ſecundum vires plantæ adhibere oportet, & unicuique ſarmento vallum quem ὠμο-

ΤΩ τετάρτῳ ἔτει τῶν νεοφύτων (1) ἱκανὰ τρέφειν δύο κλήματα, οἷς οὐ χρὴ (2) πλεῖον ὀφθαλμῶν δ΄., καὶ τοὺς μὲν πρὸς τῷ στελέχει β΄. ἐκτυφλοῦν, ἀποξέοντα τῷ δρεπάνῳ, καὶ κωλύοντα τὴν βλάστησιν, τοὺς δὲ ἀνωτέρω δύο ἀπολιπεῖν εἰς αὔξησιν τοῦ φυτοῦ. Ἔαρος δὲ ἀρχομένου κλαδεύσαντα παραπηγνύναι χάρακα χρὴ ἰσχυρὰν, ὀρθὴν, μῆκος ἀπὸ πέντε ἕως ζ΄. ποδῶν. ἔστω δὲ μὴ λεπτοτέρα καλάμου τοῦ γενναιοτάτου, ὅπως μήτε (3) βαρύνοι, μήτε σκιάζοι τὸ φυτόν. καλλίων δὲ χάραξ ἡ μὴ ἔχουσα φλοιὸν, εἰς γὰρ τὴν ἔχουσαν κανθαρίδες, καὶ ὅσα εἴωθε λυμαίνεσθαι τὴν ἄμπελον, εἰσδύονται καὶ κατακρύπτονται. παρεκτείναντα δὲ τὸ φυτὸν χρὴ προσδεσμεῖν τῇ χάρακι. αὐτῇ δὲ τῇ τελείᾳ ἀμπέλῳ ἑξαετεῖ γενομένῃ τὴν κλαδείαν εἰς ὤμους γ΄. ἢ δ΄. κατὰ τὴν δύναμιν τοῦ φυτοῦ προσακτέον, καὶ ἑκάστῳ κλήματι καὶ ὠμοχάρακα παραστατέον,

(1) Interp. *legit* ἱκανόν. (2) *Ex MSS. pr. Ed.* πλήν. (3) *Antea* βαρύναι.

τὴν

τὴν δυναμένην φέρειν ὁμοῦ τοῖς κλήμασι καὶ τοὺς βότρυας.

χάρακα vocant apponere, qui ſimul ſarmenta & racemos ferre queat.

ΚΕΦ. ΚΓ.

Περὶ κλαδείας. Παμφίλου.

ΑΡχεσθαι δεῖ τῆς κλαδείας ἀπὸ μηνὸς Φεβρουαρίου, ἢ Μαρτίου, ἀπὸ ιέ. Φεβρουαρίου ἕως Μαρτίου (1) κ΄. ἔνιοι δὲ μετὰ τρυγητὸν εὐθὺς κλαδεύουσι, τῇ ἀποθέσει τῶν κλημάτων κουφίζεσθαι τὴν ἄμπελον λέγοντες, καὶ οὐχ ὥσπερ ἐπὶ τοῦ ἔαρος, δακρύουσαν τὴν τροφὴν (2) ἀπολλύειν. Ὅμως δὲ αἱ ἐν τῷ φθινοπώρῳ κλαδευθεῖσαι, θᾶττον ἐν τῷ ἔαρι βλαστάνουσι, κἂν γένηται τὸ ἔαρ ψυχρὸν, καὶ πάχνη ἐπιπέσῃ, καυθήσονται. διὸ κάλλιον ἐν τοῖς ψυχροτέροις τόποις προτέμνειν μᾶλλον, καὶ μὴ τελείως κλαδεύειν, τουτέστι συγχωρεῖν φανεροὺς ὀφθαλμοὺς καὶ κλήματα. Ἀνάπαλιν τῷ ἔαρι κλαδεύειν ἀναγκαῖον. ἄρχεσθαι δὲ δεῖ τῆς κλαδείας οὐ πρωῒ, ἀλλ᾽ ὅταν ὑπὸ τοῦ ἡλίου ἥ τε πάχνη διαλυθῇ, καὶ τὸ κλῆμα χλιανθῇ. δεῖ δὲ τὰ πρὸς τὴν κλαδείαν δρέπανα ὀξύτατα καὶ τομώτατα εἶναι.

(1) *Ita MSS.* & Interp. *prius* κϛ΄.

CAP. XXIII.

De putatione. Pamphili.

PUtationem a menſe Februario aut Martio inchoare oportet, a decima quinta die Februarii uſque ad vigeſimam Martii. Quidam ſtatim poſt vindemiam putant, ablatione ſarmentorum vitem allevari dicentes, & non velut in vere, lachrymantem alimentum perdere. Quæ tamen in autumno putatæ ſunt, vere citius germinant, ſi autem ver frigidum ſit, & pruina incidat, adurentur. Quapropter præſtat in frigidioribus locis præſecare, & non perfecte putare, hoc eſt conſpicuos oculos & ſarmenta relinquere. Rurſus autem vere putare neceſſarium eſt. Inchoare porro putationem oportet non mane, ſed ubi & pruina a ſole diſſoluta eſt, & ſarmentum tepefactum. Oportet autem falces ad putationem acutiſſimas eſſe.

(2) *Emend. ex MSS. ante* ἀπολύειν.

ΚΕΦ. ΚΔ.

Πρὸς εὐφορίαν ἀμπέλων καὶ καλλιοινίαν. Ἀφρικανοῦ.

ΤΑ κοῖλα χωρία πολὺν τὸν οἶνον ποιεῖ καὶ φαῦλον· τὰ δὲ ἐπὶ ὕψους καλλίω, ἅτε δὴ πεπαινομένου τοῦ καρποῦ (2) ὑπό τε τῶν ἀνέμων, καὶ τῆς ἄλλης τοῦ ἀέρος εὐκρασίας, καὶ μάλιστα τῆς τοῦ ἡλίου δυνάμεως. οὐ μόνον γὰρ (3) δυνατωτέρας ὁ ἥλιος τὰς σταφυλὰς ποιεῖ, ἀλλὰ καὶ γλυκυτέρας, ἐὰν πολὺ θερμαίνῃ. ἡ γὰρ σελήνη μόνον πεπαίνει τὰς σταφυλὰς, θερμὴ οὖσα καὶ ὑγρά· ἥ τε νὺξ γλυκείας μόνον ἀπεργάζεται. δεῖται οὖν αὐτὰ πολλῆς τῆς ἡλιάσεως, ἵνα μονιμώτερος ὁ οἶνος γένηται, ὁ τάχιον εἰς ἀκμὴν παραγινόμενος καὶ διαπνεόμενος. Καὶ ὁ ἐκ θερμῶν τῶν χωρίων ὑπάρχων καρπὸς τὸν οἶνον μονιμώτερον ποιεῖ· ὁ δὲ ἐκ τῶν ἄλλων μερῶν, ἤ τινα ἀγελότητα γῆς ἐχόντων, τὸν οἶνον ἔκλυτον καὶ ἀσθενῆ ποιεῖ. ἐὰν ὀλίγας σταφυλὰς ἡ ἄμπελος ἐνέγκῃ, δυνατώτερον τὸν οἶνον ποιεῖ, ἅτε τροφῆς καὶ δυνάμεως πάσης εἰς ἐκεῖνον μόνον τὸν καρπὸν καταναλωθείσης.

(1) *Emend. ex* Caſ. *& MSS. prius* διαφθορᾶς. (2) *Pracedentem* περικοπὴν *delend. ſuadebat MSS. conſenſus.* (3) *In MSS.* δυναμωτέρας (male *pro* δυναμικωτέρας, *ut infra* Cap. 3.) ὁ ἥλιος καὶ δυνατωτέρας τὰς σταφυλὰς ποιεῖ—.

ΚΕΦ. Β.

Ποίοις οἴνοις ἐπιτήδειος ὁ ὑπαίθριος τόπος, καὶ ποίοις ὁ ὑπὸ στέγην.

Τῶν Αὐτῶν.

Τὸν ἰσχυρότερον οἶνον ὑπαίθριον θετέον, (1) ἀπεστράφθω δὲ δύσεως καὶ μεσημβρίας τοίχων τινῶν προστεθέντων. τοὺς δὲ λεπτοὺς οἴνους ὑπὸ στέγην θετέον, τὰς δὲ θυρίδας ὑψηλοτέρας δεῖ ποιεῖν, πρὸς ἄρκτον καὶ ἀνατολὴν τετραμμένας.

CAP. II.

Quibus vinis locus ſub dio conveniat, & quibus ſub tecto. Eorundem.

Potentius vinum ſub dio collocandum eſt, avertatur autem ab occaſu & meridie, parietibus quibuſdam appoſitis. Tenuia vero vina ſub tecto ponenda ſunt, feneſtræ autem fiant altiores, ad ſeptentrionem & orientem ſpectantes.

(1) *Emend. ex MSS. prius* ἀπεστράφθαι.

ΚΕΦ. Γ.

Περὶ διαφορᾶς τοῦ νέου καὶ τοῦ παλαιοῦ, καὶ τοῦ ἀπὸ λευκῆς καὶ μελαίνης σταφυλῆς.

Διοφάνους.

Αἱ μέλαιναι σταφυλαὶ δυνατώτερον τὸν οἶνον ἕξουσιν, αἱ λευκαὶ μέσον, αἱ δὲ πυῤῥαὶ τῶν μελαινῶν ὀλίγον ἡδίω. ὁ νέος οἶνος (1) ψυχρότατός ἐστι, καὶ ὁ παλαιὸς θερμότατος καὶ δυναμικώτατος καὶ εὐωδέστατος. τὸ γὰρ ἐν αὐτῷ ὑδατῶδες ὁ χρόνος ἀναλίσκει.

CAP. III.

De differentia novi & veteris vini, & ex alba & nigra uva expreſſi. Diophanis.

Nigræ uvæ vinum potentius habebunt, albæ medium, fulvæ jucundius paulo quam nigræ. Novum vinum frigidiſſimum eſt, vetus calidiſſimum & potentiſſimum ac odoratiſſimum. Quod enim in ipſo eſt aquoſum tempus conſumit.

(1) *Ita* Caſ. *& MSS. ante* ψυχρότερός ἐστι.

CAP. IV.

Quomodo curandum & durabile fiat vinum, ex uva diu madefacta, & in vite, & poſt vindemiam.

Democriti.

SI pluvioſus ſit annus, & contingat uvam adhuc in vite pendentem plus æquo madefieri, aut etiam poſt vindemiam, pluvia impetuoſe oborta, accidat eandem plus quam conveniat rigari, neceſſario ipſam calcabimus. Si vero muſtum a vindemia expreſſum imbecillius eſſe ex guſtu didiceris, poſtquam vinum in dolia conditum fuerit, & primo ardore defervuerit, ſtatim ipſum in alia dolia transfundamus, (quicquid enim in ipſo fuerit craſſum, in fundo manet propter gravitatem) adjectis in decem vini metretas ſalis heminis tribus. Quidam melius facientes, vinum coquunt, uſquequo vigeſima ipſius pars decoquatur, & gypſi centeſimam partem adjiciunt. Lacedæmonii tamdiu vinum co-

ΚΕΦ. Δ.

Πῶς ἔτι θεραπεῦσαι καὶ μόνιμον ποιῆσαι τὸν οἶνον τῆς ἐπὶ πολὺ βραχείσης σταφυλῆς, ἔτι οὔσης αὐτῆς ἐν τῇ ἀμπέλῳ, καὶ τὸ μετὰ τὸν τρυγητὸν ὁμοίως βραχείσης σταφυλῆς. Δημοκρίτου.

ΕΑν, ἐπόμβρου τοῦ ἔτους γινομένου, συμβῇ τὴν σταφυλὴν ἔτι οὖσαν ἐν τῇ ἀμπέλῳ ἐπὶ πλέον βραχῆναι, ἢ μετὰ τὸ τρυγηθῆναι (1) ταύτην τύχῃ, ὄμβρου ῥαγδαίου γινομένου, πλέον τοῦ δέοντος βραχῆναι, ἐξ ἀνάγκης αὐτὴν πατήσομεν. Εἰ δὲ τὸ τρυγηθὲν γλεῦκος ἀσθενέστερον εἶναι καταμάθοις, διδάξει δέ (2) σε τοῦτο ἡ γεῦσις, ἐπειδάν τε ὁ οἶνος ἐν τοῖς πίθοις βληθῇ, καὶ τὴν πρώτην ζέσιν (3) ζέσῃ, εὐθὺς μεταχέωμεν αὐτὸν εἰς ἑτέρους πίθους, (μένει γὰρ ἐν τῷ πυθμένι πᾶν τὸ (4) ὑλῶδες διὰ τὸ βάρος) προσεμβάλλοντες τῷ οἴνῳ ἁλῶν εἰς τοὺς δέκα μετρητὰς κοτύλας γʹ. τινὲς δὲ κάλλιον ποιοῦντες, ἕψουσι τὸν οἶνον ἄχρι τοῦ τὸ εἰκοστὸν μέρος αὐτοῦ (5) ἀφεψηθῆναι, γύψου (a) τὸ (6) ἑκατοστὸν

(1) *In MSS.* τύχοι (Bar. τύχῃ) ταύτην ὄμβρου ῥαγδαίως γινομένου. (2) *Ita* Caſ. *&* *MSS. prius* π. (3) *Reſtitui ex conjectura, facem præferentibus MSS.* F. Cott. L. Bar. *&* Bod. *in quibus ſcribitur,* καὶ τὴν πρώτην ζέσῃ, *unde Lectio noſtra facile elici queat. Prior enim vox, ob ſimiles fere literas, currentem Librarii calamum fefelliſſe videtur. Conjecturam noſtram firmat* Palladius *in* Octob. *Tit. IX.* " *Græci* (inquit) *jubent, ſi uvam* " *nimius imber infuderit, poſtea quam muſtum ejus primo ardore fervebit, ut ad alia vaſcula transferatur. Ita propter naturæ gravitatem remanens aqua ſubſidet, & tranſlatum vinum pure ſervabitur, relicto quicquid ſe illi ex imbre miſcuerat.* (4) Pallad. *&* Interp. *legiſſe videntur* ὑγρῶδες, *ſed MSS. ut in textu.* (5) *Ita MSS.* F. L. Bod. *&* Cotton. *prius* ἀφαιρεθῆναι,

(a) Τὸ ἑκατοστὸν] *MSS. ſuccinit* Palladius *in* Octob. *Tit.* 14. " *Græci omne muſtum decoqui jubent, donec pars ejus vigeſima poſſit abſumi: melius quoque fieri ſi centeſimam partem gypſi adjicias.*

(6) *Reſtitui ex MSS.* F. C. L. Bar. *&* Bod. *antea* ἕκαστον.

προσεμβάλλοντες. Λακεδαιμόνιοι δὲ ἕως τοσούτου εἰς τὸ πῦρ ἐῶσι τὸν οἶνον, ἕως ἂν τὸ πέμπτον μέρος ἀφεψηθῇ, καὶ μετὰ δ΄. ἔτη χρῶνται.

quunt, donec quinta pars conſumatur, & poſt quatuor annos eo utuntur.

ΚΕΦ. Ε.

Περὶ ἀνοίξεως πίθων, καὶ τί χρὴ παραφυλάττεσθαι τῷ καιρῷ τῆς τούτων ἀνοίξεως. Ζωροάστρου.

Χρὴ ἀνοίγειν τοὺς πίθους, παραφυλαττομένους τὴν τῶν ἄστρων ἐπιτολήν· τότε γὰρ κίνησις γίνεται τοῦ οἴνου, καὶ οὐ χρὴ τὸν οἶνον ψηλαφᾷν. καὶ εἰ μὲν ἐν ἡμέρᾳ τὸν πίθον (1) ἀνοίγεις, χρὴ ἐπισκοπεῖν τῷ ἡλίῳ, ἵνα μὴ ἡ τούτου αὐγὴ ἐμπίπτῃ τῷ οἴνῳ. εἰ δὲ ἐν νυκτὶ, τῆς χρείας πολλάκις καλούσης, ἀνοίγειν μέλλεις τὸν πίθον, ἐπισκοπεῖν χρὴ (2) τῷ φωτὶ τῆς σελήνης.

CAP. V.

De apertione doliorum, & quid cavere oporteat tempore quo ipſa aperimus. Zoroaſtris.

Dolia aperire oportet, ſyderum exortu obſervato ac vitato: Tunc enim vinum movetur, & non convenit ipſum contrectare. Et ſi quidem in die dolium aperis, ſoli umbram offundere oportet, ne ejus ſplendor vino incidat. Si vero noctu, neceſſitate ſæpe urgente, dolium aperturus es, lunæ itidem lumini umbram offunde.

(1) *Emend. ex MSS. prius* ἀνοίξαντες. (2) *MSS.* Long. *&* Bod. τὸ φῶς.

ΚΕΦ. ϛ.

Περὶ μεταγγισμοῦ οἴνου, καὶ πότε χρὴ μεταντλεῖν τοὺς οἴνους, καὶ ὅτι διαφορὰν ἔχει ὁ ἐν τῷ αὐτῷ πίθῳ ἐμβεβλημένος οἶνος. Τοῦ Αὐτοῦ.

Χρὴ τοὺς οἴνους μεταγγίζειν ἐν τοῖς βορείοις ἀνέμοις, οὐδαμῶς δὲ τοῖς νοτίοις· καὶ τοὺς μὲν ἀσθενεστέρους τῷ ἔαρι, τοὺς δὲ ἰσχυροτέρους ἐν τῷ θέρει· τοὺς δὲ ἐν αὐχμηροῖς τόποις, μετὰ τροπὰς χειμερινάς. μεταγγιζόμενος δὲ ὁ οἶνος ἐν πανσελήνῳ, ὄξος γίνεται. εἰδέναι δὲ χρὴ, ὅτι οἶνος χωριζόμενος τῆς τρεφούσης αὐτὸν τρυγὸς, λεπτομερέστερος καὶ

CAP. VI.

De vini transfuſione, & quando vina transfundere oporteat, & quod differat vinum in eodem dolio conditum. Ejuſdem.

Vina in alia vaſa transfundenda ſunt borealibus ventis ſpirantibus, nequaquam vero auſtralibus: & infirmiora quidem vere, potentiora autem æſtate; quæ vero in ſiccis locis nata ſunt, poſt ſolſtitium hyemale. Vinum transfuſum in alia vaſa in plenilunio, aceſcit. Noſſe autem operæ pretium eſt, quod vinum a fæce, unde alimentum trahit,

hit, ſeparatum, tenuiorum partium & imbecillius redditur. Providendum igitur eſt, ut hyeme quidem calefiat, æſtate vero refrigeretur. Transfuſio ipſa fiat, luna augeſcente, & ſub terra latente. Sotion tradit in illunibus maxime diebus tranſfuſionem fieri debere, hoc eſt prima & ſecunda die, priuſquam luna hominibus appareat. Oportet autem vitare, quum de doliis in parva vaſa vinum transfundimus, ſtellarum exortus: Movetur enim fæx in exortibus, & maxime dum florent roſæ, amplius autem & vite germen fundente. Conſulunt ſapientes, & maxime Heſiodus, ubi apertum eſt dolium, id quod in ſummo, & juxta fundum eſt dolii, vinum conſumendum eſſe, medium vero in dolio ſervandum, potentius nempe & durabilius, & ætati ferendæ idoneum. Vinum enim quod ad oſculum dolii eſt, infirmius eſt, utpote quod aeri proximum perfletur & tranſpiret. Quod vero ad fundum eſt, cito aceſcit, utpote fæci proximum. Cæterum Heſiodus ſic ait,

Incipiente vero dolio & deſinente teipſum ſaturato,
In medio parce.——

Oportet porro eum qui in fictilia dolia vinum transfundit, non uſque ad labra vino explere, ſed paulo infra collum, ut non ſuffocentur, ſed perſpirationem habeant. Dolia autem evacuata ſtatim muria detergenda ſunt, aut cinere ſarmentorum, aut Cimolia aut argilloſa terra.

ἀσθενέστερος γίνεται. προνοητέον οὖν, ἵνα χειμῶνος μὲν θερμαίνηται, θέρους δὲ ψύχηται. δεῖ δὲ μεταγγίζειν, τῆς σελήνης (1) αὐξανομένης, καὶ ὑπὸ γῆν οὔσης. Σωτίων δέ φησι, μάλιστα ἐν ταῖς (2) περὶ σελήνης ἡμέραις μεταγγίζειν, τουτέστι τῇ α΄. καὶ β΄. ἡμέρᾳ, πρὶν φανῆναι τὴν σελήνην τοῖς ἀνθρώποις. χρὴ δὲ, ἡνίκα ἀπὸ τῶν πίθων εἰς μικρὰ ἀγγεῖα μεταβάλλομεν τὸν οἶνον, φυλάττεσθαι τὰς ἐπιτολὰς τῶν ἀστέρων· κινεῖται γὰρ ἡ τρὺξ ἐν ταῖς ἐπιτολαῖς, καὶ μάλιστα ἐν τῷ ἄνθει τῶν ῥόδων, ἔτι δὲ καὶ βλαστανούσης τῆς ἀμπέλου. Συμβουλεύουσι δὲ οἱ σοφοὶ, μάλιστα δὲ Ἡσίοδος, ἀνοιγομένου πίθου, τὸν ἐν τῇ ἀρχῇ τοῦ πίθου οἶνον, καὶ τὸν περὶ τὸν πυθμένα δαπανᾶν, τὸν δὲ μέσον τοῦ πίθου οἶνον φυλάττειν, ὡς ἰσχυρότερον καὶ μονιμώτερον, καὶ πρὸς παλαίωσιν ἐπιτήδειον. ὁ μὲν γὰρ πρὸς τῷ στόματι τοῦ πίθου οἶνος, ὡς προσομιλῶν τῷ ἀέρι, ἀσθενέστερός ἐστι διαπνεόμενος· ὁ δὲ πρὸς τῷ πυθμένι ταχέως τρέπεται, ὡς πλησιάζων τῇ τρυγί. οὕτω δέ φησιν ὁ Ἡσίοδος,

(a) Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
Μεσσόθι φείδεσθαι.——

Δεῖ δὲ τὸν μεταγγιζόμενον εἰς τὰ κεράμια οἶνον, οὐ μέχρι τοῦ χείλους τῶν κεραμίων ἐμβάλλεσθαι, ἀλλ' ἕως ὑποκάτω μικρὸν τοῦ τραχήλου, ὥστε μὴ πνίγεσθαι, ἀλλὰ διάπνοιαν ἔχειν. δεῖ δὲ τοὺς ἐκκενουμένους πίθους παραχρῆμα σμήχειν ἅλμῃ, ἢ κληματίνῃ τέφρᾳ, ἢ (b) Κιμωλίᾳ ἢ ἀργιλλώδει γῇ.

(1) *MSS.* αὐξουμένης. (2) *In MS.* Bar. ἀσελήνοις.

(a) *Lib.* 1. Ἔργων καὶ Ἡμερῶν, *ſub finem; ad quem locum conſulas* Proclum *&* Moſchopulum.

(b) Κιμωλίᾳ,] *Terra vel creta Cimolia ex* Cimolo *Inſula nomen & originem trahens, poliendis veſtibus & fullonibus apprime utilis, cujus duo genera numerat* Plinius *Lib.* 35. Sect. 57. " *Cretæ plura genera.* " *Ex iis Cimoliæ duo ad Medicos pertinentia, candidum, & ad purpuriſ-* *ſum*

ſum inclinans.--uſus in veſtibus. Totidem verbis Dioſcor. *Lib. V. Forſan diverſa non eſt ab ea, quam* Erotianus *in Gloſſ.* Hippocr. *&* Nicocharis *apud* Pollucem *γῆν σμηκτρίδα appellant. De Cimoliæ terræ qualitate paulo aliter Schol.* Ariſtoph. *ad* Ranas, Καὶ κιμωλίας γῆς--] Μία τῶν Κυκλάδων νήσων αὕτη· ἡ Κιμωλία νιτροποιὸς γῆ, ἐξ ἧς τὸ νίτρον.

ΚΕΦ. Ζ.

Περὶ καιροῦ καὶ τρόπου διαγεύσεως οἴνου. Φλωρεντίνου.

Τινὲς μὲν βορείων ὄντων ἀνέμων διαγεύονται τοὺς οἴνους· ἀμετακίνητοι γὰρ τότε καὶ ἀθόλωτοι οἱ οἶνοι μένουσιν. οἱ δὲ ἔμπειροι οἰνόπται τοῦ νότου μᾶλλον πνέοντος οἰνογευστοῦσιν. ὁ γὰρ νότος μάλιστα τὸν (1) οἶνον κινεῖ, καὶ διελέγχει ὁποῖός ἐστι. νῆστιν δὲ ὄντα οὐ χρὴ οἰνογευστεῖν, ἀμβλύνεται γὰρ ἡ γεῦσις· οὔτε δὲ ἀπὸ οἰνοποσίας, ἢ ἀδηφαγίας. Δεῖ τὸν γευόμενον μήτε δριμέων σιτίων, μήτε ἁλμυρῶν σφόδρα, μήτε τῶν ὅσα ἐξαλλάσσει τὴν γεῦσιν βεβρωκότα γεύσασθαι, ἀλλ' ὡς μάλιστα ὀλιγοσιτήσαντα, καὶ εὔπεπτον ὄντα. τοῖς δὲ ὠνουμένοις χρὴ, βορείων ὄντων τῶν ἀνέμων, παρέχειν τὴν γεῦσιν. Τινὲς δὲ διαχλευάζειν βουλόμενοι τοὺς ὠνουμένους, κέραμον (2) κενὸν ἔχουσιν, ὅνπερ ἀποβρέχουσι καλλίστῳ καὶ παλαιῷ καὶ εὐωδεστάτῳ οἴνῳ· διαμένει οὖν ἐπὶ πολὺ ἡ (3) ποιότης ἐν αὐτῷ, ὡς νομίζεσθαι τὴν ἀποφορὰν τοῦ νῦν ἐμβεβλημένου οἴνου τυγχάνειν, καὶ ἐξαπατῶσι τοὺς γευομένους. κακουργότεροι δέ τινες καπηλεύοντες ἀποτίθενται εἰς τὸν (4) οἰνεῶνα τυρὸν καὶ κάρυα, ὡς τοὺς εἰσιόντας ἐξ αὐτῶν ἐφελκύσασθαι ἐσθίειν, ἵνα διαψευσθῇ ἡ ἀκριβὴς αἴσθησις τῆς γεύσεως. Ταῦτά μοι γέγραπται, οὐχ ἵνα ποιῶμεν, ἀλλ' ἵνα μὴ πάσχω-

CAP. VII.

De tempore & modo guſtandi vini. Florentini.

Quidam borealibus ventis flantibus vinum guſtant; tunc enim immota & imperturbata vina manent. Verũ experti οἰνόπται auſtro potius ſpirante vinum guſtant. Auſter enim maxime vinum movet, & quale ſit arguit. Qui jejunus eſt vinum ne guſtet, hebes enim & ſtupidus tunc eſt guſtus; neque etiam a vini potu, aut cibi ſatietate. Oportet autem guſtantem neque acres cibos, neque valde ſalſos, neque eos qui guſtum immutant, præſumere, ſed quam minimo cibo uſum eſſe, eumque jam concoxiſſe. Emptoribus porro, borealibus ventis flantibus, vinum guſtandum præbere convenit. Quidam cum emptoribus mala fide agentes, dolium novum habent, quod optimo & vetere ac odoratiſſimo vino imbuunt. Permanet enim ad multum tempus ea qualitas, ut putent odoris fragrantiam vini jam infuſi eſſe, atque ita decipiunt guſtantes. Quidam magis vafri caupones caſeum & nuces in cella vinaria deponunt, ut ingredientes ad comedendum attrahant & illiciant, quo exactus guſtus ſenſus inde decipiatur. Hæc mihi ſcripta ſunt, non ut ipſi tali fraude agamus,

(1) *Reſtitui ex MSS. pr. Ed.* οἶνον ποιεῖ κινεῖν, καὶ διελέγχειν ... νῆστιν. *In MSS.* L. *&* Bod. ἐλέγχει. (2) Inter p. *legiſſe videtur* καινὸν, *ſed MSS. ut in textu.* (3) *Ex MSS. &* Caſ. *ante* πιότης. (4) *Emendavi ope MSS.* V. *&* Bar. *In pr. Ed. & MSS.* P. *&* Cott. αἰῶνα, *nullo plane ſenſu,* Long. *&* Bod. *habent* ἀλῶνα. ſed

ſed ne talia patiamur. Oportet autem agricolam ſæpe guſtare & novum & vetus vinum, ne lateat ipſum ſi quod ex ipſis aceſcere incipiat.

μένων. δεῖ δὲ τὸν γεωργὸν πολλάκις γεύεσθαι τοῦ οἴνου, τοῦ τε νέου καὶ τοῦ παλαιοῦ, ὡς ἂν μὴ (5) λάθῃ αὐτὸν ὁ φεύγειν μέλλων.

(5) *Ita MS.* Bar. *prius* λάθοι...φεύγων.

CAP. VIII.

De probatione vini & muſti, an aquam habeant. Democriti.

NEceſſarium eſt, herum ſæpenumero curatoribus & famulis vinum aut muſtum concredere. Similiter autem neceſſarium eſt, emptorem experimentum facere an vinum purum ſit. Malum igitur quidam in vas injiciunt, melius autem pyra ſylveſtria, alii locuſtam, alii cicadam, & ſi quidem innataverint, purum eſt vinum; ſi vero mergantur, aquam habet. Quidam arundinem, aut lignum, aut papyrum, aut fœnum, aut aliquid aliud ſarmentoſum, oleo illinunt, & deterſa in vinum immergunt, atque poſtea arundinem aut quicquid tandem injecerint extrahunt, & inde experimentum ſumunt: ſi enim aquam habuerit, guttæ in oleo congregabuntur. Quidam ſimpliciore experimento utentes, in ollam novam nondum liquore imbutam vinum infundunt, & per biduum ſuſpendunt, per ollam enim deſtillabit ſi aqua fuerit admixta. Alii calfaciunt vinum, & in ollam novam infundunt, atque ſub dio exponunt: ſi igitur aquam habeat, aceſcit. Quidam ad calcem vivam vinum injiciunt; & ſi quidem habuerit aquam, calcem diſſolvet; ſi vero purum eſt, calcem conglutinabit. Aliqui in ſar-

ΚΕΦ. Η.

Περὶ δοκιμασίας οἴνου καὶ γλεύκους, εἰ ὕδωρ ἔχει. Δημοκρίτου.

ἈΝαγκαῖόν ἐστι, τὸν κληροῦχον πολλάκις τοῖς φροντισταῖς ἢ τοῖς οἰκέταις οἶνον ἢ γλεῦκος ἐμπιστεῦσαι· ὁμοίως δὲ ἀναγκαῖον, καὶ τὸν ὠνούμενον δοκιμάζειν εἰ καθαρός ἐστιν ὁ οἶνος. μῆλον οὖν τινες βάλλουσιν εἰς τὸ ἀγγεῖον, κάλλιον δὲ ἀχράδας, ἄλλοι ἀκρίδα, ἕτεροι δὲ τέττιγα, κἂν μὲν ἐπινήχηται ταῦτα, καθαρός ἐστιν ὁ οἶνος· εἰ δὲ καταδύεται, ὕδωρ ἔχει. τινὲς δὲ κάλαμον ἠλειμμένον ἐλαίῳ, ἢ ξύλον, ἢ πάπυρον, ἢ χόρτον, ἢ ἕτερόν τι φρυγανῶδες ὁμοίως δὲ ἀλείψαντες ἐλαίῳ, καὶ ἀπομάξαντες, ἐμβάλλουσιν εἰς τὸν οἶνον, καὶ ἀνασπῶντες τὸν κάλαμον ἢ ἕτερόν τι τῶν ἐμβληθέντων δοκιμάζουσιν· ἐὰν γὰρ ὕδωρ ἔχῃ, συναχθήσονται ῥανίδες ἐν τῷ ἐλαίῳ. Οἱ δὲ ἁπλούστερόν τι ποιοῦντες, εἰς χύτραν καινὴν ἄβροχον ἐμβάλλουσι τοῦ οἴνου, καὶ ἀπαρτῶσιν ἡμέρας β'., διαστάξει γὰρ ἡ χύτρα ὕδατος μεμιγμένου. οἱ δὲ θερμαίνοντες τὸν οἶνον βάλλουσιν εἰς χύτραν καινὴν, καὶ εἰς ὑπαίθριον τιθέασιν· ἐὰν οὖν ὕδωρ ἔχῃ, μεταβάλλεται εἰς ὄξος. Τινὲς δὲ τῇ λεγομένῃ τιτάνῳ, τουτέστι (1) ζώσῃ ἀσβέστῳ, ἐπιβάλλουσι τοῦ οἴνου· κἂν μὲν ὕδωρ ἔχῃ ὁ οἶνος, διαχύσει τὴν ἄσβεστον· εἰ δὲ καθαρός ἐστι, πήξει τὴν τίτανον. οἱ δὲ ἐν τηγάνῳ ἔλαιον ἔχοντες ζεστὸν ἐπιχέουσι τοῦ οἴνου·

(1) *Ex MSS. ante* ζῶσι.

κἂν ὕδωρ ἔχῃ, ψοφήσει πομφόλυγας ποιοῦν, καὶ ἀναπηδήσεται. Τινὲς δὲ σπόγγον καινὸν ἐλαίῳ ἀλείψαντες, ἐμφράττουσι τὸ στόμα τοῦ ἀγγείου, καὶ ἐπιστρέφουσι· καὶ ἐὰν ὕδωρ ἔχῃ, διαῤῥυήσεται διὰ τῆς σπογγιᾶς. τῇ αὐτῇ δὲ δοκιμασίᾳ καὶ ἐπὶ τοῦ ἐλαίου χρώμεθα.

taginem oleo ferventi plenam vinum infundunt; & ſi aquam habeat, cum ſtrepitu bullas excitabit, & reſiliet. Quidam ſpongiam novam oleo imbutam oſculo vaſis obdunt, & invertunt; & ſi aquam habeat, per ſpongiam diffluet. Eodem experimento etiam in oleo utimur.

ΚΕΦ. Θ.

Οἶνον ἀπὸ ὕδατος (1) χωρίσαι. Ἀφρικανοῦ.

Στυπτηρίαν ὑγρὰν βάλε εἰς τὸ κεράμιον τοῦ οἴνου, εἶτα σπόγγῳ ἠλειμμένῳ ἐλαίῳ βύσον τὸ στόμα τοῦ κεράμου, καὶ ἐπινεύσας ἔασον ῥυῆναι, καὶ ῥυήσεται μόνον τὸ ὕδωρ.

CAP. IX.

Vini ab aqua ſeparandi ratio. Africani.

ALumen liquidum in dolium vini injicito, deinde ſpongia oleo imbuta oſculum obturato, & ex inclinato effluere ſinito, ſola enim aqua effluet.

(1) *Ita MSS.* V. F. Cott. *&* Barocc.

ΚΕΦ. Ι.

Κατὰ ποίους καιροὺς εἰώθασιν οἱ οἶνοι τρέπεσθαι. Παξάμου.

ΠΑς οἶνος ὡς ἐπὶ πολὺ τρέπεται περὶ Πλειάδων δύσιν, καὶ περὶ τροπὰς (1) χειμερινὰς, ἢ ἐξανθούσης ἤδη τῆς ἀμπέλου, καὶ περὶ θερινὰς τροπὰς καὶ τὰ ὑπὸ κύνα καύματα· καὶ καθόλου, περὶ πάσας τὰς ἐπισημασίας καὶ ἀπὸ καύματος καὶ ψύχους ἢ λάβρων ὄμβρων, ἢ διὰ βίαιον πνεῦμα, ἢ σκληρὰν βροντὴν, ἢ κατὰ τὸν καιρὸν καθ' ὃν ἀνθεῖ τὰ ῥόδα, ἢ ἀπὸ βιαίας ἀστραπῆς.

CAP. X.

Quibus temporibus vina in vappam perverti ſoleant. Paxami.

OMne vinum ut plurimum aceſcit circa Pleiadum occaſum, & circa ſolſtitium hybernum, aut efflorescente jam vite, & circa ſolſtitium æſtivum & caniculæ æſtum: & in ſumma, circa omnes acceſſiones & frigoris & caloris aut largorum imbrium, idem contingit & propter violentos ventos, aut vehemens tonitru, aut etiam tempore quo roſæ florent, aut a fulgure violento.

(1) *Ita legend. ſuffragantibus* Interp. *& MSS. pr. Ed. peſſime* θερινὰς ea *cum* τροπῶν θερινῶν *inferius fiat mentio.*

CAP. XI.

Ut neque tonitrua neque fulgura in vappam pervertant vina. Zoroaſtris.

ΚΕΦ. ΙΑ.

Ὥστε ὑπὸ βροντῶν καὶ ἀστραπῶν μὴ τρέπεσθαι τοὺς οἴνους. Ζωροάστρου.

FErrum operculis doliorum impoſitum noxam ex fulgure & tonitru arcet. Quidam lauri ramos imponunt per naturalem contrarietatem opem laturos.

Σίδηρος τοῖς πώμασι τῶν πίθων ἐπιτιθέμενος (1) ἀπερύκει τὴν ἀπὸ τῶν βροντῶν καὶ ἀστραπῶν βλάβην. ἔνιοι δὲ δάφνης κλάδους ἐπιτιθέασι κατὰ ἀντιπάθειαν.

(1) *Emend. ex MSS.* F. C. L. B.1. & Bar. *In MS.* Voſſ. ἀπείργει.

CAP. XII.

Quomodo prævenire liceat, & non permittere ut vina aceſcant, ſed durabilia ſint. Frontonis.

ΚΕΦ. ΙΒ.

Πῶς ἔστι προκαταλαβεῖν, καὶ τοὺς οἴνους μὴ συγχωρεῖν τρέπεσθαι, ἀλλὰ μονίμους εἶναι. Φρόντωνος.

SAl toſtus injectus vinum conſervat, impedit autem & fervorem ultra quam convenit ebullire, & ſpumam uberiorem innatare. Amygdalæ dulces in vinum nigrum conjectæ, diuturnum ipſum conſervant. Uva paſſa exempto vinaceo, & cum arena macerata muſto aut ſapa, pingue & durabile vinum facit. Quidam uvam paſſam ſua ſponte in vite factam præferunt, & ipſa ſingulatim utuntur. Gypſum injectum principio quidem acrius vinum facit, poſtea vero acris quidem ſapor tranſpirat, utilitas autem gypſi ad multum tempus permanet. Durabile etiam vinum facit, & aceſcere non permittit, fœnum græcum ſole toſtum, ſi tundatur & miſceatur vino. Vinum perverſum in vappam, ſi a propria vitioſa fæce ſepa-

Ἅλες (1) φρυκτοὶ ἐμβαλλόμενοι τὸν οἶνον τρέπεσθαι ἐπέχουσι, κωλύουσι δὲ καὶ πέρα τοῦ δέοντος ζέσαι, καὶ ἀφρὸν πλείονα ἐπιγίνεσθαι. ἀμύγδαλα γλυκέα τοῖς μέλασιν οἴνοις ἐμβληθέντα, καὶ μονίμους αὐτοὺς φυλάττουσι. σταφὶς ἐξαιρεθέντος τοῦ γιγάρτου, καὶ μετὰ ἄμμου βραχεῖσα γλεύκει ἢ ἑψητῷ, λιπαρὸν καὶ μόνιμον ποιεῖ τὸν οἶνον. τινὲς δὲ τὴν αὐτομάτως ἐπὶ τῆς ἀμπέλου γινομένην σταφίδα προκρίνουσιν, ἀμέλει καὶ κατὰ μόνας αὐτῇ χρῶνται. Γύψος ἐμβληθεῖσα κατὰ μὲν ἀρχὰς δριμύτερον τὸν οἶνον ποιεῖ, τῷ χρόνῳ δὲ τὸ μὲν δριμὺ διαπνεῖται, τὸ δὲ ἀπὸ τῆς γύψου χρήσιμον ἐπιπολὺ διαμένει. καὶ μονίμους καὶ τρέπεσθαι οὐ ποιεῖ τοὺς οἴνους καὶ τῆλις ἡλίῳ φρυγεῖσα, εἰ κοπείη καὶ (2) μιχθῇ τῷ οἴνῳ. οἱ τρεπόμενοι χωρισθέντες ἀπὸ τῆς ἑαυτῶν φαύλης τρυγὸς, καὶ εἰς οἴνου καλοῦ τρυγίαν ἐπιβληθέντες, μόνι-

(1) *Ita MSS. prius* φελκτοί. (2) Caſaub. μιχθείη, *ſed MSS. ut in textu.*

μοι

μοι ἔσονται. (3) τινὲς δὲ δᾳδας ἅψαντες ἢ σίδηρον πυρώσαντες ἐναποσβεννύουσι τῷ γλεύκει, καὶ οὐκ ἐῶσι τραπῆναι τὸν οἶνον. τινὲς δὲ κέδρου τὸν καρπὸν φρυγέντα καὶ κηκίδας φρυγείσας ἐμβάλλοντες τῷ οἴνῳ, μόνιμον τοῦτον ποιοῦσιν. Ἕτεροι (a) λίθον τὸν καλούμενον (4) Πόρινον καύσαντες, ἐμβάλλουσι τῷ οἴνῳ. ἄλλοι σποδιὰν ἀπὸ κλημάτων ἀμπέλου κεκαυμένων, καὶ σπέρμα μαράθρου κόψαντες καὶ φυράσαντες, μίσγουσι τῷ οἴνῳ. Τινὲς δὲ τοὺς τρεπομένους οἴνους εἰς (5) εὐθέως πισσωθέντα ἀγγεῖα μεταχέουσι, καὶ εἰς ἄλλον οἶκον μετακομίζουσιν. εἰ μὲν γὰρ ὑπὸ θερμότητος ἐβλάβησαν, εἰς τοὺς ἀναψύχοντας τόπους ἀποτίθενται· εἰ δὲ ὑπὸ νοτίδος καὶ (6) ψυχρότητος, εἰς τοὺς θερμοὺς καὶ ξηροὺς τόπους μετατιθέασιν. ἕτεροι σπέρμα ἢ ξύλον δρυὸς καύσαντες, ἐκ τῆς τέφρας ἐμβάλλουσι τῷ οἴνῳ. οἱ δὲ γάλα καὶ μέλι μιγνύντες, ἐμβάλλουσι (7) τῷ γλεύκει. Οἱ δὲ κογχυλίων τὰ ὄστρακα καύσαντες καὶ τρίψαντες ὡς λειότατα, ἐμβάλλουσιν ἐξ αὐτῶν τῷ οἴνῳ. ἕτεροι πυρῆνας ἐλαιῶν κατακαύσαντες, σβεννύουσιν ἑψητῷ οἴνῳ παλαιῷ εὐώδει, εἶτα κόψαντες καταχέουσιν εἰς τὸν οἶνον. μόνιμον

retur, & ſuper vini boni fæcem fundatur, diuturnum erit. Quidam tedas accenſas aut ferrum candefactum in muſto extinguunt, & vinum aceſcere non permittunt. Quidam cedri fructum torrefactum & gallas toſtas in vinum injiciunt, ipſumque durabile faciunt. Alii lapidem Porinum appellatum uſtum vino injiciunt. Alii cinerem ſarmentorum vitis uſtorum, & fœniculi ſemen contuſum & admixtum, vino miſcent. Quidam vina quæ aceſcunt in vaſa recens picata transfundunt, & in aliam domum transferunt. Si enim a calore læſa ſunt, in refrigerantes locos reponunt: Si vero ab humiditate & frigore, in calidos & ſiccos locos transferunt. Alii fructum aut lignum quercinum urunt, & cinerem in vinum mittunt. Alii lac & mel miſcentes, muſto injiciunt. Alii conchyliorum teſtas uſtas ac quam læviſſime tritas vino immittunt. Quidam nucleos olivarum uſtos defruto vetere odorato extinguunt, deinde tuſos in vinum

(3) *Ita emend. & ſupplevi ex MS.* Bar. *in pr. Ed.* τινὲς δὲ δάτλας ἅψαντες ἐναποσφεννύουσι τῷ γλεύκει. Caſ. *& MS.* V. *habent*, τῷ γλεύκει, καὶ οὐκ ἐῶσι τραπῆναι τὸν οἶνον. Οἱ δὲ σίδηρον πυρώσαντες ὁμοίως ἀποσβεννύουσι τῷ γλεύκει.

(a) Λίθον τὸν καλούμενον Πόρινον] *Porus, vel lapis Porinus, marmoris genus, colore & duritie Pario ſimile, levius tantum.* Theophr. *Lib. de Lapidibus, pag.* 392. Καὶ ὁ Πόρος ὅμοιος τῷ χρώματι καὶ τῇ πυκνότητι τῷ Παρίῳ, τὴν δὲ κουφότητα μόνον ἔχων τοῦ Πόρου· διὸ καὶ ἐν τοῖς σπουδαζομένοις οἰκήμασιν ὥσπερ διάζωμα τιθέασιν αὐτὸν οἱ Αἰγύπτιοι. *Apud* Plutarchum *in Vita* Andocidis Πώρινος Σέλινος, *male (ut monet* Salm.) *pro* Πώρινος Σειληνός, *Sileni ſimulachrum ex lapide Porino confectum.* Salm. *ad* Sol. Hieronymum Cardanum *erroris arguit, qui gemmas Poro lapide a* Veteribus *ſculpi ſolitas prodidit. Partem etiam aliquam templi* Delphici *Porino lapide ſtructam fuiſſe, auctor eſt* Herodotus *Lib. V. Cap. LXII.* Πῶρος *occurrit apud* Hippiatric. Script. *Cap.* 113.

(4) *Emend. ex* Theophraſto, *ante* πορικὸν, Interp. *legit* λίβανον τὸν καλούμενον πορικόν. (5) *An legend. cum* Interp. νέως. (6) *Emend. ex MSS. prius* ψυχρότερος. (7) *In MS.* Cotton. ἐμβάλλουσι τῷ οἴνῳ, ἤγουν τῷ γλεύκει.

diffun-

diffundunt. Durabile vinum faciamus radices vitis in muſtum injicientes. Argilla etiam poſtquam deferbuerunt vina immiſſa ipſa purgat, deferens ſecum quicquid turbidum eſt ad fæcem, atque id magis ſi fuerit toſta, & odorum vinum facit; eſt enim dulcis. Quæ igitur in hyeme ipſam paſcunt perdurant. Dulce etiam facit muſtum argilla & diuturnum. Oleum ſtillatitium cum ſapa infuſum, durabiliora vina, & infirmiora potentiora facit. Veratrum nigrum & album modice injecta vinum purgant, & durabile faciunt, & utentibus itidem proſunt. Cicer nigrum modice toſtum & molitum, vino admixtum diuturnum & diureticum facit. Sapa mixta vino durabile ipſum facit. Cera in picatione admixta acerbius vinum reddit. Lini ſemen ſapæ aut muſto admixtum diuturnum vinum facit. Ervi albi farina integrum conſervat vinum. Pix brutia, id eſt quæ in fundis doliorum reperitur, contuſa, & per cribrum in vinum excuſſa, perdurans vinum facit. Reſina pinea, maxime autem terebinthina, vina integra conſervat. Alumen ſciſſile adſtringit & durabile vinum facit, & acorem ejus ſedat.

ποιήσομεν τὸν οἶνον, ῥίζας ἀμπέλου ἐμβάλλοντες εἰς τὸ γλεῦκος. καὶ ἡ ἄργιλλος μετὰ τὸ ζέσαι τοὺς οἴνους ἐμβαλλομένη καθαίρει τούτους, καταφέρουσα σὺν ἑαυτῇ τὸ θολερὸν εἰς τὴν τρύγα, μᾶλλον δὲ εἰ φρυγείη, καὶ εὐώδη τὸν οἶνον ποιεῖ· ἔστι γὰρ γλυκεῖα. τὰ γοῦν τῷ χειμῶνι αὐτὴν σιτούμενα διαγίνεται. γλυκαίνει καὶ ἡ ἄργιλλος τὸ γλεῦκος, καὶ μόνιμον ποιεῖ. Ἔλαιον στακτὸν σὺν ἑψητῷ (8) ἐγχεόμενον, μονιμωτέρους τοὺς οἴνους καὶ τοὺς ἀσθενεστέρους δυνατωτέρους ποιεῖ. ἐλλέβορος μέλας καὶ λευκὸς πρὸς ὀλίγον ἐμβαλλόμενος καθαίρει τὸν οἶνον, καὶ μόνιμον ποιεῖ, καὶ τοὺς χρωμένους ὠφελεῖ. Ἐρέβινθοι μέλανες φρυγέντες ἐπ' ὀλίγον καὶ ἀλεσθέντες καὶ μιχθέντες, μόνιμον καὶ διουρητικὸν ποιοῦσι τὸν οἶνον. ἑψητὸς μιγνύμενος οἴνῳ μόνιμον αὐτὸν ποιεῖ. κηρὸς ἐν τῇ πισσώσει μιχθεὶς στρυφνότερον τὸν οἶνον ποιεῖ. λίνου σπέρμα μιχθὲν ἑψητῷ ἢ γλεύκει μόνιμον τὸν οἶνον ποιεῖ. ὀρόβου λευκοῦ ἄλευρον κατέχει τὸν οἶνον. (b) Πίσσα βρυτία, τουτέστιν ἡ ἐν τοῖς πυθμέσι τῶν κεραμίων εὑρισκομένη, κοπεῖσα καὶ διὰ κοσκίνου τῷ οἴνῳ ἐμβληθεῖσα, μονίμους τοὺς οἴνους ποιεῖ. ῥητίνη πιτυΐνη, μάλιστα δὲ ἡ τερεβινθίνη, κατέχει τοὺς οἴνους. στυπτηρία σχιστὴ στύφει καὶ μόνιμον ποιεῖ, καὶ τὸν ὀξίζοντα παύει.

(8) *Ita legend. prius* ἐκχεόμενον.

(b) Πίσσα βρυτία,-] *Pix Brutia & reſinæ & picis dotes habet, viſci ad inſtarounteſcens, & ad vaſa vinaria picanda in Italia maxime probata, teſtibus* Plinio *Lib. XII. &* Dioſc. *Lib.* 1. *Cap.* 97. Πίττα Βρεττία *male ſcribitur pro* Βρυτία *apud* Lucianum *in Pſeudomante, notante* Paulo Leopardo. *De pice brutia* Plin. *Lib.*16. *Sect. XXII.* “ *Sequens* “ *liquor, craſſior jam, picem fundit. Hæc rurſus in cortinas æreas con-* “ *jecta, aceto ſpiſſatur, & coagulata Brutiæ cognomen accepit, doliis dun-* “ *taxat vaſiſque cæteris utilis, lentore ab alia pice differens: item colore* “ *rutilante, & quod pinguior eſt reliqua. Hujuſce picis, ceu optima, paſſim meminere* Galenus *&* Scribonius Largus.

KE Φ.

ΚΕΦ. ΙΓ.

Ἄρτυσις θαυμαστὴ, ποιοῦσα μονίμους τοὺς οἴνους, καλουμένη πανάκεια.

Δαμογέροντος.

Ἔχε ἐν ἑτοίμῳ ταῦτα τὰ εἴδη· ἀλόης γο. β΄. λιβανωτοῦ γο. β΄. (a) ἀμώμου γο. β΄. (1) μελιλώτου γο. δ΄. κασσίας γο. α΄. νάρδου στάχυος γο. β΄. φύλλου γο. δ΄. σμύρνης γο. β΄. ταῦτα πάντα εἰς ὀθόνιον (2) ἐνδήσας, ἑκάστῳ πίθῳ, μετὰ τὸ ἐμβληθῆναι ἐν αὐτῷ τὸν οἶνον, καὶ καταστῆναι, ἔμβαλε κοχλιάριον ἕν, καὶ κίνει εἰς ῥίζαν καλάμου ἐπὶ ἡμέρας γ΄. Τινὲς δὲ οὕτως ἀρτύουσι τοὺς οἴνους. κρόκου βάλλουσι γράμματα γ΄. οὗτος δὲ εὔχροον ποιεῖ, (b) λιβάνου τοῦ ἄρσενος σεσησμένου

CAP. XIII.

Conditura mirabilis, durabilia vina faciens, πανάκεια appellata.

Damogerontis.

Habeto in promptu has ſpecies; aloes ſextantem, thuris ſextantem; amomi ſextantem, meliloti trientem; caſſiæ unciam unam, ſpicæ nardi ſextantem, folii trientem, myrrhæ ſextantem. Hæc omnia linteolo illigata habeto, & in ſingula dolia, poſt injectum in ipſa vinum, ubi jam deſederit, cochliarium unum mittito, & radice arundinis per triduum agitato. Quidam autem vina hoc modo condiunt. Croci injiciunt ſcrupulos III. hic autem vinum bene coloratum reddit, thuris ma-

(a) Ἀμώμου γο. β΄.—] *Amomum frutex odoratus in ea Armeniæ parte, quæ Otene vocatur circa Cyrum amnem, Media & Ponto naſcens, qui ex implexu & convolutione ramuſculorum Uvæ imaginem refert, hinc* Uvæ Amomi *pretium fuiſſe X. LX. in libras apud* Plinium *legimus. Aliqui Geranii odorati ſpeciem dixerunt, alii Roſam Hierichuntinam Amomum* Veterum *eſſe contendunt ex ſimili ramulorum inter ſe* βοτρυηδὸν *convolutione, ſed obſtat odoris defectus, & foliorum differentia, judice* Salmaſio; *qui Roſam iſtam* Ἀμωμίδα *a* Dioſcoride *deſcriptam eſſe mavult. Duo Amomi genera, Uva, & friatum.* Dioſcor. *Lib.* 1. *Cap.* 140. Ἄμωμόν ἐστι θαμνίσκος οἱονεὶ βότρυς ἐκ ξύλου, ἀντεμπεπλεγμένος ἑαυτῷ· ἔχει δέ τι καὶ ἄνθος μικρὸν ὡς λευκοΐου, φύλλα δὲ βρυωνίᾳ ὅμοια. Plinius *punicæ mali foliis optimum ornatum eſſe tradit, ex* Dioſcoridis *verbis male ab Anagnoſte ſuo pronunciatis, inquit* Salmaſius. Andromacho *in theriacæ compoſitione,* Ἄμωμον βοτρυόεν, *&* Damocrati *apud* Galenum, βότρυς ἀμώμου.

(1) *MSS.* L. *&* Bod. μελιλώτου γο. β΄. *& non agnoſcunt* κασσίας γο. α΄. νάρδου στάχυος γο. β΄. (2) *Ita legend. ex MS.* V. Palladio *&* Interp. *In* Cott. F. Long. *&* Bod. ἀσγίσας, *in pr. Ed.* ἐνδύσας.

(b) Λιβάνου τοῦ ἄρσενος,] Dioſcorides *Lib.* 1. *Cap.* 81. Λίβανος γεννᾶται μὲν ἐν Ἀραβίᾳ τῇ λιβανοφόρῳ καλουμένῃ. πρωτεύει δὲ ὁ ἄῤῥην καλούμενος σταγονίας, στρογγύλος φυσικῶς. i.e. *Thus quidem in ea Arabia naſcitur, quæ thurifera appellatur. At primas tenet maſculum* σταγονίας *nominatum, naturæ ſponte rotundum. Ex eo* Plinius *Lib. XII.* " *Quod ex eo rotun-*
" *ditate guttæ pependit, maſculum vocamus,——.Maſculum aliqui pu-*
" *tant a ſpecie teſtium dictum. Græci Stagoniam & Atomum tali modo*
" *appellant.*

ſculi

ſculi cribrati ſcrupulos IV. hoc vinum auſterum facit, folii pilulam unam, hoc enim bonũ odorẽ conciliat. Singula hæc contuſa & cribrata miſceto, & de rurſus cribratis in ſingulas amphoras cochlearia duo injicito, poſtquam deferbuerit vinum, & conſederit. Illud enim in omnibus vinis præſertim obſervandum eſt, ut ſedata condias. Alii vina hoc modo condiunt. Cardamomi, iridis Illyricæ, caſſiæ, ſpicæ nardi,

(3) ἥμισυ δʹ. οὗτος αὐστηρὸν τὸν οἶνον ποιεῖ, φύλλου σφαιρίον ἕν, εὐωδίαν γὰρ παρέχει. ἕκαστον τούτων διακεκομμένον καὶ σεσησμένον μίξας, καὶ πάλιν (4) σήσας ἔμβαλε εἰς ἕκαστον ἀμφορέα κοχλιάρια βʹ. ἐπειδὰν μηκέτι ζέῃ ὁ οἶνος, ἀλλὰ καταστῇ. καὶ ἐπὶ πάντων τῶν οἴνων τοῦτο ἰδικῶς παρατήρει, ὅπως καθεστῶτας αὐτοὺς ἀρτύῃς. Ἕτεροι δὲ ἀρτύουσι τοὺς οἴνους οὕτω. (c) καρδαμώμου, ἴρεως Ἰλλυρικῆς, (d) κασσίας, νάρδου στά-

(3) Interp. *legiſſe videtur* γράμματα δʹ. (4) *Reſtit. ex MSS. antea* σήσας ἕκαστον ἀμφορέα κοχλιάρια βʹ. βάλλε, ... ζέῃ.

(c) Καρδαμώμου,-] *Frutex Amomo haud abſimilis, plurimas habens ſiliquas ſemine oblongo vel angulari refertas; in Syria Comagena, Armenia, India, & Arabia naſcitur. Quatuor Cardamomi genera recenſet* Plinius; *Viridiſſimum ac pingue, acutis angulis, contumax frianti, quod maxime laudatur: proximum e rufo candicans: tertium brevius atque nigrius. Pejus varium, & facile tritu, odoriſque parvi. Hoc & apud Medos naſci perhibet.* " *Hodie (inquit* Salmaſius*) tria Cardamomi genera* " *faciunt, majus, medium, & minimum. Quod majus attinet & ficus* " *amplitudine eſt,* Matthiolus *& Alii plerique pro Meleguetta habent. Sed* " *videtur Cardamomum majus, ſive majus Cacule* Avicennæ. *Medium* " *ſimile eſt, magnitudine tantum cedens. Utrumque plura grana continet.* " *Tertium genus, quod omnium minimum, duo tantum continens grana* " *ſepimento quodam diviſa. Hoc erit fortaſſe Hilbua* Serapionis *& Car-* " *dam. minus Ejuſdem. De Cardamomi* Veterum *viribus conſul.* Dioſcoridem *Lib. I. Cap. V.*

(d) Κασσίας] *Caſſia a* Vett. Græcis, κασσία σύριγξ, *& a* Latinis, *Caſſia fiſtula vocatur; quod in fiſtulæ modum convoluta eſſet.* Salmaſius *plurima ratione fretus contendit Caſſiam nihil aliud eſſe quam Cannellam ſive Cinnamomum noſtrum, arboris utpote corticem in digiti magnitudinem convolutum, & quod cavus eſſet,* Vett. *credidere lignum a vermibus eroſum, ſed corticem ob amaritudinem intactum relinqui, inſcii nimirum arbores deglubi. Cinnamomum verum* Antiquorum *nobis hodie in uſu eſſe vix credit, id enim* ἐκ τῶν ἀκρεμόνων, *ex tenellis arborum ſurculis cum cortice reciſis conſtitiſſe nullus dubitat:* Plinius *Cinnamomi pretium ob raritatem ad duo millia Denariûm in libras proceſſiſſe, & apud Imperatores tantum inveniri ſcribit, quod cum noſtro minime convenit. Xylocaſſia eſt ſummum arboris caſſiæ ſarmentum amputatum, ut* ξυλοβάλσαμον *eſt balſami. Caſſia noſtra Officinarum, quæ in medicamentis purgantibus adhibetur, fiſtulaceæ Arboris Ægyptiacæ ſiliquæ ſuccus eſt. Plura vid. apud* Dioſcor. *Lib. I.* Plinium, Cl. Salm. *in* Sol. *& de Homonymis Hyles Iatricæ,* Garciam, *&* Scaligerum *in* Theophraſtum.

N ς

χυος, μελιλώτου, (e) ξυλοβαλσάμου, σχοίνου Ἀλεξανδρίνης, (f) κόστου, νάρδου Κελτικῆς, πάντα ἴσα κόπτουσι καὶ σήθουσι, καὶ ἐμβάλλουσι τῷ οἴνῳ. τινὲς δὲ γλεῦκος ἕψοντες καὶ ἀποτριτοῦντες, μιγνύουσι τῷ οἴνῳ. τινὲς δὲ γύψον ἐμβάλλουσιν.

meliloti, xylobalſami, junci odorati Alexandrini, coſti, nardi Celticæ, omnium par pondus tundunt & cribrant, & in vinum mittunt. Quidam vero muſtum coquentes & ad tertias redigentes, vino admiſcent. Quidam gypſum injiciunt.

(e) Ξυλοβαλσάμου,-] *Xylobalſamum ſarmenta tantum Balſami arboris eſſe, auctor* Plinius *Lib. XII. Sect.* 54. " *Et ſarmenta quoque in merce* " *ſunt. DCC. III. amputatio ipſa ſurculuſque veniit intra quintum de-* " *victæ annum. Xylobalſamum vocatur & coquitur in unguentis: pro* " *ſucco ipſum ſubſtituere officinæ.*

(f) Κόστου,--] *Coſtus ſive Coſtum* Antiquorum *radix fuit, non lignum, fruticis in Arabia, India, & Syria naſcentis, guſtu fervens, odore eximio, unde ad aromata & thymiamata, plerumque etiam aris adhiberi ſolita. Tria coſti genera enumerat* Dioſcor. *Lib.* 1. *Arabicum optimum, candidum & leve, ſuaviſſimi odoris: Indicum ſecundum, craſſum, & ferulæ inſtar nigrum: Tertium Syriacum, grave, colore buxeum. Validioribus Helenii Comageni radicibus adulterari idem tradit.* Macro, *& recentioribus Medicis Græcis Latiniſque, Coſti duo genera, dulce, & amarum, paſſim memorantur.* Garcias (*citante* Salm.) *tradit coſti hodierni arborem in Malaca naſcentem, eſſe Sambuci ſimilem, arbuti magnitudine, odorato flore. Sunt quibus perſuaſum eſt, Zedoariam ſeu Zerumbeth Officinarum unam eſſe ex coſti generibus, ſed odoris in Zedoaria defectus id negat.* "*Pretium Coſti in Libras X. IV. inquit* Plinius.

ΚΕΦ. ΙΔ.

Ἐπίγραμμα ἀπαράβαλον, εἰς τὸ μηδέποτε τρέπεσθαι τὸν οἶνον. Ἀφρικανοῦ.

CAP. XIV.

Inſcriptio efficaciſſima, quæ vinum integrum conſervat. Africani.

Ἀμήχανον τραπῆναι (1) ποτε τὸν οἶνον, ἐὰν ἐπιγράψῃς ἐν τῷ ἀγγείῳ, ἢ ἐν τοῖς πίθοις, ταῦτα τὰ θεῖα ῥήματα. (a) Γεύσασθε καὶ ἴδετε ὅτι (2) χρηστὸς ὁ Κύριος. καλῶς δὲ ποιήσεις, καὶ εἰς μῆλον οὕτω γράφων, ἐμβάλλων τὸ μῆλον εἰς τὸν οἶνον.

Impoſſibile eſt vinum in vappam perverti, ſi in vaſe inſcripſeris, aut in ipſis doliis, hæc divina verba. Guſtate & videte quod bonus eſt Dominus. Recte feceris, ſi etiam malum his verbis inſcriptum vino injeceris.

(1) *Supplevi ex MSS.* F. C. L. B. 1, & 2.

(a) *Ridicula hæcce & ſuperſtitioſa inſcriptio deſumpta eſt ex Pſalmo* 34. *Com.* 8. *ſecundum* Τοὺς Ο'.

(2) *In MSS.* V. L. Bod. & Cotton. *ſcribi videtur* Χριστὸς, *ſed* F. Bar. & Septuag. Interpp. *ut in textu.*

CAP.

CAP. XV.

Indicatio & prænotiones vinorum aceſcentium & durabilium. Sotionis.

COnditũ in dolio vinũ paulo poſt in aliud vas leniter evacuetur, ipſaque fæx in dolio relinquatur, ac diligenter cooperiatur dolium: deinde ſæpe advertendum, per olfactum ſumpto experimento, an fæx aceſcat, aut culices in eo generentur, vel ſimile quid: quæ ſigna indicant vinum corruptum iri. Si vero nihil tale circa fæcem contingat, bene de vino ſperandum eſt. Quidam arundinem directe perforatam uſque ad fundum in fæcem demittunt, & ſupernum arundinis foramen digito magno obturant, deinde ablato digito per olfactum attrahunt halitum ex ipſa fæce prodeuntem: Imo & exugentes partem aliquam fæcis adducunt, & juxta fæcis qualitatem, vinum etiam futurum conjectant. Quidam aliquantulum vini fervefaciunt, & refrigeratum guſtant, & quale repererint ſapore, tale etiam reliquum vini fore credunt. Verum ex medio vaſe guſtare oportet. Alii ex operculis vaſorum indicationem hauriunt: Detecto enim dolio, humorem in operculis hærentem deguſtantes, tale etiam vinum fore conjectant: vinoſus enim ſapor optimum ſignificat; aquoſo non tuto creditur. Quidam etiam ex ipſo vini ſapore experimentum ſumunt. Si enim a principio auſterum fuerit vinum, bonitatis duraturæ indicium eſt: ſin flaccidum, contra. Licet etiam vinum ex incumbente ac inna-

ΚΕΦ. ΙΕ.

Σημείωσις καὶ προγνωστικὰ τῶν τρεπομένων οἴνων καὶ τῶν μονίμων. Σωτίωνος.

Ἐμβληθέντος τοῦ οἴνου ἐν τοῖς πίθοις, μετά τινα χρόνον μετακενωτέον εἰς ἕτερον ἀγγεῖον πράως, καὶ (1) ἀπολειπτέον τὴν τρύγα ἐν τῷ πίθῳ, καὶ πωμαστέον ἐπιμελῶς· εἶτα σκοπητέον πλεονάκις ὀσφραινομένους, μή τις μεταβολὴ (2) γίνεται περὶ τὴν τρύγα, ἢ ζωογονοῦνται κώνωπες, ἤ τι τῶν τοιούτων· καὶ νομιστέον, καὶ τὸν οἶνον διαφθαρήσεσθαι. ἐὰν δὲ μηδὲν τοιοῦτον γένηται, πιστευτέον καὶ τῷ οἴνῳ. Τινὲς δὲ κάλαμον ἐπ᾽ εὐθείας τρήσαντες, καθιᾶσι μέχρι τοῦ πυθμένος ἐπὶ τὴν τρύγα, καὶ πωμάσαντες τοῦ καλάμου τὸ ἄνω τρῆμα τῷ μεγάλῳ δακτύλῳ, μετὰ ταῦτα ἀφελόντες τὸν δάκτυλον, διὰ τῆς ὀσφρήσεως ἐπισπῶνται τὴν ἀπὸ τῆς κάτω τρυγὸς ἀναπνοήν· εἶτα διεκμυζῶντες ἀνασπῶσι μέρος τῆς τρυγὸς, καὶ πρὸς τὴν ποιότητα τῆς τρυγὸς, καὶ τὸν οἶνον ἔσεσθαι τεκμαίρονται. Τινὲς δὲ ὀλίγον ἐκ τοῦ οἴνου ἀναζέσαντες, καὶ ψύξαντες γεύονται, καὶ ὁποῖος ἂν εὑρεθῇ ἐν τῇ γεύσει, τοιοῦτον ἔσεσθαι καὶ τὸν οἶνον τὸν λοιπὸν πιστεύουσι. δεῖ δὲ ἐκ μέσου τοῦ ἀγγείου τὴν ἀναβολὴν τῆς γεύσεως γίνεσθαι. Ἕτεροι ἐκ τῶν πωμάτων τῶν ἀγγείων τὴν σημείωσιν λαμβάνουσιν· ἀποσκεπασθέντος γὰρ τοῦ πίθου, τῆς ἐν τοῖς πώμασιν ὑγρασίας ἀπογευόμενοι, τοιοῦτον ἔσεσθαι καὶ τὸν οἶνον τεκμαίρονται· οἰνώδης μὲν γὰρ οὖσα ἡ γεῦσις σημαίνει κάλλιστον τὸν οἶνον· ὑδατώδης δὲ οὐκ ἀσφαλής. Δοκιμάζουσι δέ τινες καὶ ἐξ αὐτῆς τῆς γεύσεως τοῦ οἴνου· ἐὰν γὰρ ἐξ ἀρχῆς αὐστηρὸς ᾖ ὁ οἶνος, σημαίνει ἀσφάλειαν· εἰ δὲ χαῦνος, τὸ ἐναντίον. Ἔστι δοκιμάσαι τὸν οἶνον καὶ ἀπὸ τοῦ ἐπι-

(1) *Emend. ex MSS.* F. Cott. L. Bar. *&* Bod. *In pr. Edit.* ἀποληπτέον αὐτὴν τήν. (2) *Potius* γένηται *&* ζωογονῶνται.

κειμένου καὶ ἐπιπολάζοντος αὐτῷ ἄνθους. ἐὰν ἐπιγένηται πορφυρίζον ἄνθος πλατύ τε καὶ μαλακὸν, ἀσφαλέστερός ἐστιν ὁ οἶνος· ἐὰν δὲ γλοιῶδες ᾖ τὸ ἄνθος, οὐκ ἀγαθόν. τὸ δὲ (a) μελανὸν ἢ ξανθὸν ἄνθος ἐπιπολάζον τῷ οἴνῳ, ἀσθενῆ τὸν οἶνον (3) δηλοῖ· τὸ δὲ λευκὸν, μόνιμον. τὸ δὲ συνημμένον εἰς τύπον ἀραχνίων ἄνθος, ὀξίζειν εὐθὺς προσημαίνει. πάλιν ἐὰν ὄφιν ἐν τρυγητῷ ἐμπεπλεγμένον (4) τῇ ἀμπέλῳ ἴδῃς, ὀξίζειν τὸν οἶνον προσδόκα. Ἐὰν δὲ ἅμα τῷ πατηθῆναι τὸν οἶνον, ἢ ἐμβληθῆναι εἰς (5) τοὺς πίθους, παχὺ καὶ κολλῶδες ᾖ τὸ γλεῦκος, (τοῦτο δὲ τῇ ἁφῇ δοκιμάσῃς) μονιμώτερος ἔσται ὁ οἶνος· ἐὰν δὲ (6) λεπτὸν καὶ ἀσθενὲς, εὔτρεπτος. οἱ δὲ ἐν τῷ γλεύκει αὐστηροὶ οἶνοι, μονιμώτεροί εἰσι, καὶ εἰς ὕστερον ἡδίους· οἱ δὲ ἐν ἀρχῇ γλυκεῖς καὶ ἁπαλοὶ, ὀλιγοχρόνιοι. τοῦ δὲ τρεπομένου οἴνου τὸ ἀγγεῖον θερμὸν τῇ ἁφῇ ὑποφαίνεται· τοῦ δὲ μονίμου τὸ ἀγγεῖον (7) ψυχρόν. Ὁ οἶνος εἰ μὲν ἐν τῷ (8) ἔαρι θερμὸς εἴη τῇ γεύσει, (9) ταχέως τραπήσεται· εἰ δὲ ψυχρὸς, μόνιμος ἔσται. ἐὰν τὸ πῶμα τοῦ πίθου ἀεὶ ξηρὸν εὑρίσκηται, μονιμώτατον ἀποφαίνει τὸν οἶνον· εἰ δὲ νοτιζόμενον, τροπὴν σημαίνει. ἐὰν ὁ οἶνος ὀξυμέλιτος ἀποφορὰν ἔχῃ, αἴτιον εἶναι (10) τούτου τὸν πίθον γίνωσκε, ὅθεν αὐτὸν καὶ μεταβάλλειν χρὴ εἰς ἄλλο ἀγγεῖον. Τινὲς οὕτω δοκιμάζουσιν εἰ μόνιμός (11) ἐστιν ὁ οἶνος· τὰς γὰρ χεῖρας αὐτῶν βάψαντες εἰς τὸν οἶνον, διαψυχθεισῶν τῶν χειρῶν ἐκ τῆς ἀποφορᾶς κρίνουσιν· ὀξυτέρα γὰρ ἡ ἀποφορὰ φαίνεται τοῦ τρεπομένου. ἔνιοι εἰς ἀγγεῖον στενόστομον ἐμβάλλουσι

tante flore probare. Si enim purpurei coloris ſit flos, latuſque & mollis, ſecurius vinum eſt: Si vero glutinoſus fuerit flos, non bonum ſignum eſt. Niger autem aut flavus flos vino innatans, imbecille vinum indicat; Albus vero, diuturnum. Qui vero ad figuram telarum araneæ fuerit connexus, acidum ſtatim fore ſignificat. Rurſus ſi ſerpentem viti implexum vindemiæ tempore videris, vinum acidum expecta. Si vero ſimul ut exprimitur vinum, aut in dolia conditur, craſſum & glutinoſum fuerit muſtum, (quod tactu deprehendas) durabilius vinum erit: Si tenue & infirmum, facile aceſcet. Vina porro in muſto auſtera, durabiliora ſunt, & in poſterum jucundiora: Quæ vero ab initio dulcia ſunt & tenera, non erunt diuturna. At vero vas vini quod aceſcit tactum calidum videtur: contra diuturni vini vas frigidum eſt. Vinum in vere guſtatum ſi calidum ſit, cito aceſcet: ſi frigidum, durabile erit. Si operculum dolii ſemper ſiccum reperiatur, diuturnum vinum promittit; ſi humectum, acorem portendit. Si vinum aceti mulſi odorem habeat, dolium ejus cauſam eſſe ſcito, quare ipſum in aliud vas transfundendum. Quidam ſic probant an diuturnum ſit vinum; manus in vinum mergunt, hiſque ſiccatis ex odore judicant: vini enim quod in vappam pervertitur acidior halitus videtur. Quidam vinum in vas an-

(a) Du Freſne *in* Gloſſario. Μελανός. Lividus, πελιδνός. Vett. Gloſſæ. Nigellum. Μελανόν.

(3) *Reſtitui ex MSS.* F. Cotton. Long. *&* Bod. (4) *Ita MSS. prius* ἴδῃς τῇ. (5) *Ex MSS. ante* τὸν πίθον. (6) *Ita legend. cenſeo, prius* λεπτὸς καὶ ἀσθενής. (7) *Reſtit. ex MSS.* F. L. *&* Bod. *ante* ψυχρὸς ὁ οἶνος, *peſſime.* (8) *In MS.* Cott. *&* Interp. ἀέρι. (9) *Supplevi ex* Caſ. *& MSS.* (10) *Ita* Caſ. *& MSS. prius* τοῦτον. *MSS.* Long. *&* Bod. γινώσκομεν. (11) *Ex MSS. prius* ἔσται.

guſtum

guſtum injiciunt, & exacte obturatum in aquam per triduum mittunt, poſteaque extractum probant. Quidam ſuper arenam vinum fundunt, & percolant, & ſi quidem non tranſmutetur, optimum judicant. Vina ſolent aceſcere maxime in ſolſtitiis, & vite germen fundente: Quare ſub ea tempora imprimis probare oportet. Alii vero ſic vini bonitatem probant: Laminas longitudine & latitudine digitorum trium ex plumbo, aut ſtanno, aut ære faciunt, eaſque puriſſimas operculo dolii cum cera agglutinant, & opercula doliis obdunt, ipſaque dolia poſt quadrageſimum diem aperiunt. Siquidem igitur vina repererint habentia florem, & odorem ſuavem ac odoratum, & laminas omnes puras, ſanum eſſe vinum judicant. Si vero quid paſſurum erit, reperies laminam plumbi albicantem, & ſquamas habentem inſtar ceruſſæ. Si vero ſtannea ſit lamina, & vinum aceſcat, invenies ſudorem in ſtanno nigrum & acidum. Si vero ærea fuerit lamina, & vinum nihil patiatur, reperies laminam puram & ſplendidam, qualis impoſita fuit: Si vero aceſcat vinum, reperies laminam fœtidam & bullis plenam. Aliqui farinam admiſcent, & ubi deſederit guſtant. Quidam apii ſemen, & hordei furfurem, & lauri folia, & vitis nigræ ſarmenta in efferveſcens & ebulliens vinum injiciunt, & refrigeratum guſtant, atque hoc modo vinum probant.

τοῦ οἴνου, καὶ ἐμφράξαντες ἀκριβῶς, ἐμβάλλουσιν εἰς ὕδωρ τρεῖς ἡμέρας, καὶ μετὰ ταῦτα ἀναλαβόντες δοκιμάζουσι. Τινὲς εἰς ἄμμον ἐμβάλλοντες τοῦ οἴνου, καὶ διηθήσαντες, εἰ (12) μὴ μεταβάλλοι, δοκιμώτατον κρίνουσιν. εἰώθασι δὲ οἱ οἶνοι τρέπεσθαι ἐν ταῖς τῶν τροπῶν μεταβολαῖς, καὶ ἀρχομένης βλαστάνειν τῆς ἀμπέλου· δεῖ οὖν τότε δοκιμάζειν αὐτοὺς μάλιστα. Ἕτεροι τὸν οἶνον δοκιμάζουσιν οὕτω· πέταλα (13) τριδακτυλιαῖα μήκει καὶ πλάτει ἀπὸ μολίβδου, ἢ κασσιτέρου, ἢ χαλκοῦ ποιήσαντες, καθαρὰ σφόδρα τῷ πώματι τοῦ πίθου μετὰ κηροῦ προσκολλῶσι, καὶ (14) ἐπιτιθέασι τοῖς πίθοις τὰ πώματα, καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἀνοίγουσι τοὺς πίθους· καὶ ἐὰν εὕρωσιν ἄνθος ἔχοντας τοὺς οἴνους, καὶ ὀσμὴν γλυκεῖαν καὶ εὐώδη, καὶ τὰ πέταλα πάντα καθαρὰ, ὑγιαίνειν νομίζουσι τὸν οἶνον. ἐὰν δέ τι μέλλῃ πάσχειν, εὑρήσεις τὸ (15) πέταλον τοῦ μολίβδου λευκαινόμενον, καὶ λεπίδας ἔχον ψιμμυθοειδεῖς. ἐὰν κασσίτερος ᾖ, καὶ μέλλῃ τρέπεσθαι ὁ οἶνος, εὑρήσεις ἱδρῶτα ἐν τῷ κασσιτέρῳ γινόμενον μέλανα, καὶ τὸν ἱδρῶτα ὀξὺν ὄντα. ἐὰν δὲ χαλκοῦν ᾖ τὸ πέταλον, καὶ μηδὲν πάσχῃ ὁ οἶνος, εὑρήσεις αὐτὸ καθαρὸν καὶ λαμπρὸν, οἷον ἐπετέθη· ἐὰν δὲ παρακινεῖσθαι μέλλῃ ὁ οἶνος, εὑρήσεις τὸ πέταλον δυσῶδες καὶ πομφόλυγας ἔχον. ἔνιοι ἄλφιτα μιγνύουσι, καὶ καταστήσαντα γεύονται. Τινὲς σελίνου σπέρμα, καὶ κριθῆς πίτυρα, καὶ δάφνης φύλλα, καὶ κλήματα μελαίνης ἀμπέλου (16) ἐνζέσαντι καὶ βράσαντι οἴνῳ βάλλουσι, καὶ ψύξαντες (17) γεύονται, καὶ οὕτω δοκιμάζουσι.

(12) *Emend. ex MSS. in priori Ed.* μὲ, *MSS.* V. F. *&* Cott. μεταβάλλοι, Barocc. μεταβάλλεται. (13) *Ita legend. cenſeo, prius* τριδακτυλαῖα. (14) *Ex MSS. antea* ἐπιτιθέντες. (15) *Reſtitui ope MSS. pr. Ed.* μέταλλον. (16) *Potius* ἐκζέσαντι, *cum* ἐνζέω *mihi nondum occurrerit; niſi quis malit diviſim ſcribi* ἐν ζέσαντι. (17) *Revoc. ex MSS.*

ΚΕΦ. Ιϛ.

Πῶς οἶνον ἀρχόμενον ὀξίζειν θεραπεῦσαι. Ταραντίνου.

(1) Χύτραν καινὴν ὕδατος καλοῦ πληρώσας, καὶ ταύτην ἐπιμελῶς πωμάσας, ἔμβαλε κάτω εἰς τὸν πίθον, εἶτα πώμασον τὸν πίθον, ὀλίγην ἀναπνοὴν διδοὺς, καὶ μετὰ τρεῖς ἡμέρας εὑρήσεις ἀναῤῥωσθέντα τὸν οἶνον, τὸ δὲ ὕδωρ ὄζον. ἕως ἂν οὖν τελείως ἀναῤῥωσθῇ ὁ οἶνος, τοῦτο ποίει. Ἄλλοι δὲ γάλακτος αἰγείου τὸ πεντηκοστὸν μέρος [(2) τοῦ οἴνου] βάλλουσι, καὶ καλύπτουσι τὸν οἶνον ἐπὶ ἡμέρας πέντε, καὶ μετὰ ταῦτα εἰς ἕτερον σκεῦος ἐκχέουσι τὸν οἶνον, καὶ (3) καλύπτουσιν ἐπὶ ἡμέρας δέκα, καὶ οὐ τρέπεται ὁ οἶνος.

CAP. XVI.

Vini aceſcentis curandi ratio. Tarentini.

OLlam novam aqua plenam & diligenter obturatam in dolium demittito, deinde occluſo dolio, modico tamen ſpiramine relicto, vinum poſt triduum ſanatum reperies, aquam vero fœtentem. Quare uſque quo perfecte convaleſcat vinum, hoc fiat. Alii lactis caprini quinquageſimam partem injiciunt, & vinum per dies quinque contegunt, poſtea vero in aliud vas effundunt, rurſumque ad quinque dies tegunt, & non pervertitur in vappam.

(1) *MSS. habent* Κύθραν--. (2) *Hæc ſalvo ſenſu abeſſe poſſint.* (3) *Reſtitui ex MSS. prius* καλύπτουσι τὸν οἶνον ἐπὶ ἡμέρας πέντε διπλᾶ.

ΚΕΦ. ΙΖ.

Οἶνον διὰ θαλάττης περαιούμενον μόνιμον εἶναι. Διοφάνους.

Ἀμόργην διὰ λίνου διηθήσας, καὶ ἑψήσας ἐφ' ἡμισείας, μέλι Ἀττικὸν ἔγχεε εἰς τὸν πυθμένα τοῦ κεραμίου, πρὶν βληθῆναι τὸν οἶνον· διαμένει γὰρ ἐπὶ πλεῖστον χρόνον.

CAP. XVII.

Ut vinum per mare tranſvectum durabile ſit. Diophanis.

AMurcam per linteolum excolatam, & ad dimidium decoctam, cum melle Attico in fundum dolii injicito, antequam vinum infundatur: Hoc enim modo ad plurimum tempus perdurat.

CAP.

CAP. XVIII.

Quomodo tractandæ ſint vites, ut vinum ex ipſis futurum dulce reddant.

Didymi.

IN Bithynia quidam vinum dulce ſic faciunt. Triginta diebus ante vindemiam ſarmentum racemos ferens intorquent, omniaque folia auferunt, quo ſol incidens humorem conſumat, & vinum dulce faciat, quemadmodum nos coquendo. Intorquent autem ſarmenta ob hanc cauſam, nimirum ut racemos ab humore & alimento ex vite abſtrahant, ut non amplius ex ipſa capiant. Quidam poſtquam racemos foliis denudaverint, & uvæ jam corrugari incipiant, collectas racematim ad ſolem exponunt, donec omnes paſſæ factæ fuerint. Poſtea vero ſub eodem ardore ſolis meridiano ſublatas in torcular transferunt, & reliquum diei ac inſequentem noctem totam ſinunt, & ſub diluculum calcant.

ΚΕΦ. ΙΗ.

Πῶς μεταχειριστέον τὰς ἀμπέλους, εἰς τὸ γλυκὺν ἡμῖν ἀποδοῦναι τὸν ἐξ (1) αὐτῶν ἐσόμενον οἶνον. Διδύμου.

ΕΝ Βιθυνίᾳ τινὲς οὕτω γλυκὺν τὸν οἶνον ποιοῦσι. πρὸ τριάκοντα ἡμερῶν τοῦ τρυγητοῦ τὸ φέρον κλῆμα τοὺς βότρυας λυγίζουσι, καὶ ἀφαιροῦσι πᾶσαν τὴν (2) φυλλίδα, ἵνα ἐμπίπτων ὁ ἥλιος τὸ ὑγρὸν ἀναλίσκῃ, καὶ γλυκὺν τὸν οἶνον ποιῇ, ὥσπερ ἡμεῖς ἑψοῦντες. λυγίζουσι δὲ τὰ κλήματα διὰ τοῦτο, ἵνα τῆς ἀπὸ τῆς ἀμπέλου νοτίδος καὶ τροφῆς ἀποσπῶσι τοὺς βότρυας, καὶ μηκέτι λαμβάνωσι τὸ ὑγρὸν ἀπ᾽ αὐτῆς. Τινὲς δὲ μετὰ τὸ γυμνωθῆναι τοὺς βότρυας ἀπὸ τῶν φύλλων, καὶ ἄρξασθαι (3) ῥυσοῦσθαι τὰς σταφυλὰς, τρυγήσαντες ἐπὶ βότρυν (4) διατιθέντες ὑπὸ τὸν ἥλιον, ἕως ἂν ἅπασαι ἀποσταφιδωθῶσι. μετὰ δὲ ταῦτα (5) ἀνελόμενοι εἰς αὐτὸ τὸ καῦμα, μετακομίζουσιν εἰς τὴν ληνὸν, καὶ ἐῶσι τὸ λοιπὸν τῆς ἡμέρας καὶ τὴν νύκτα τὴν ἐπιοῦσαν ὅλην, πατοῦσί τε πρὸς ὄρθρον.

(1) *Ita MSS.* F. C. & Bar. *prius male* αὐτῆς. (2) *An legend.* φυλλάδα. (3) *Ita MS.* F. *ante* ῥυσοῦσθαι. (4) *Malim* διατιθεῖσιν. (5) *Ex MSS. prius* ἀνηλόμενοι.

CAP. XIX.

Quomodo ex muſto vinum dulce faciemus.

Ejuſdem.

SI dulce velis facere expreſſum vinum, poſtquam in doliis conditum fuerit muſtum, dolia per triduum aperta relinquito, atque ita deinde opercula obdito oſculis doliorum non admodum congruentia, ſed

ΚΕΦ. ΙΘ.

Πῶς ἀπὸ τοῦ γλεύκους γλυκὺν ποιήσομεν οἶνον. Τοῦ Αὐτοῦ.

ΕΙ βούλει γλυκὺν ποιῆσαι τὸν πατηθέντα οἶνον, μετὰ τὸ βαλεῖν τὸ γλεῦκος ἐν τοῖς πίθοις, ἔασον ἀπωμάστους τοὺς πίθους ἐπὶ τρεῖς ἡμέρας, καὶ οὕτως ἐπιτίθει τὰ πώματα μὴ πάνυ συναρμόζοντα τοῖς χείλεσι

τῶν πίθων, ἀλλ' ὀλίγῳ ὑπερκρεμάμενα, ῥάβδων τινῶν ἢ καλάμων μέσον τεθέντων. μετὰ δὲ πέμπτην ἡμέραν χρὴ τελείως ἐπιτιθέναι τὰ πώματα τέφρας ὕδατι δεδευμένης ἐπιχρισθέντα, μικρῶν ὀπῶν καταλειφθεισῶν, μετὰ δὲ ἑβδόμην ἡμέραν καὶ ταύτας τὰς ὀπὰς ἐπιχριστέον. εἰ δὲ γλυκύτερον τὸν οἶνον εἶναι βούλοιο, ἐπὶ ἡμέρας πέντε ἀσκεπάστους (1) ἔασον τοὺς πίθους. καὶ μετὰ τὴν πέμπτην ἡμέραν ἐπίθες τὰ πώματα, καθὼς προείρηται.

paululum ſuperpendentia, virgis quibuſdam aut arundinibus in medio interpoſitis. Cæterum poſt quintum diem opercula exacte obdenda ſunt cinere aqua ſubacto illita, parvis foraminibus relictis, quæ etiam poſt ſeptimum diem oblinantur. Si vero dulcius adhuc vinum eſſe velis, ad dies quinque dolia aperta ſinito, & poſt quintum diem opercula impone, quemadmodum eſt prædictum.

(1) *MSS.* V. *&* Barocc, ἔα.

ΚΕΦ. Κ.

(1) Οἶνον εὔοσμον καὶ ἡδὺν ποιῆσαι. Παμφίλου.

CAP. XX.

Vini odorati & dulcis conficiendi ratio. Pamphili.

Μυρτίδας (2) ὀλίγας ὡρίμους συλλέξας ξήρανον καὶ κόψον, καὶ ἔμβαλε ἐν τῷ (a) κάβῳ τῷ λε-

BAccas myrti paucas maturas collectas ſiccataſque tundito, & in cabum chœnicem appellatum injici-

(1) *Delevi* Πῶς *auctor. MSS. qui etiam habent* ποιῆσαι, *prius* ποιεῖν.
(2) *Emend. ex MSS.* V. Bar. *&* Caſaub.

oblinito, & repoſitis poſt diem trigeſimum utere. Quidam acetum dulceſcens hoc modo faciunt. Muſti quod ex calcatione defluit metretam ad duas aceti metretas addunt, ſimulque coquunt, donec tertia pars decoquatur. Alii muſti metretas duas, aceti metretam unam, & aquæ coctæ potabilis metretas tres ſimul coquunt, donec tertia pars de toto decoquatur, & reliquæ ſint partes duæ.

(1) *Reſtitui ex* Caſaub. *& MSS. in pr. Ed.* δεύτερον.

ΚΕΦ. ΛΖ.

Ὄξους δριμέος σκευασία. Τοῦ Αὐτοῦ.

Γίγαρτα σταφυλῆς ξήρανον ἐπὶ ἡμέρας β΄. καὶ βάλλε εἰς γλεῦκος, καὶ ὀλίγους ὄμφακας, καὶ ποιήσεις δριμὺ, μετὰ δὲ ἡμέρας ζ΄. χρῶ. ἢ (a) πύρεθρον ἔμβαλλε, καὶ ἔσται δριμύ. ὁμοίως δὲ ποιήσεις αὐτὸ δριμὺ, ἐὰν λαβὼν ἀπ᾽ αὐτοῦ τοῦ ὄξους τέταρτον ἢ πέμπτον μέρος, καὶ ζέσας πυρὶ (1) ἐπιβάλῃς τῷ λοιπῷ, καὶ ἐν ἡλίῳ ἐπὶ η΄. ἡμέρας ἀποθοῖο. Δριμύτατον ποιοῦσι καὶ ἡδὺ τὸ ὄξος (2) ἀγρώστεως ῥίζαι παλαιαὶ βληθεῖσαι, καὶ σταφίδες, καὶ ἀχέρδου (τουτέστιν ἀγριοαπιδίου) φύλλα θλασθέντα, καὶ (3) βατόῤῥιζα, καὶ γάλακτος ὀῤῥός. καὶ δρυὸς καυθείσης ἄνθρακες διάπυροι, καὶ ζέμα ἐρεβίνθων, καὶ ὄστρακα διάπυρα ἐμβαλλόμενα δριμὺ ποιοῦσι τὸ ὄξος.

CAP. XXXVII.

Aceti acris confectio. Ejuſdem.

Vinacea uvæ ad biduum ſiccato, & in muſtum conjice, adjectis paucis uvis acerbis, & facies acetum acre, quo poſt ſeptimum diem utaris. Aut pyrethrum immitte, & acre erit. Porro ſi quartam aut quintam partem aceti fervefeceris, & ad reliquum addideris, expoſuerisque per dies VIII. ad ſolem, acre facies. Acerrimum & jucundum acetum faciunt graminis radices veteres injectæ, & uvæ paſſæ, & pyri ſylveſtris folia contuſa, & rubi radix, & lactis ſerum. & quercus uſtæ prunæ ignitæ, & cicer decoctum; & teſtæ ignitæ in acetum conjecta acre faciunt.

(a) Ἢ πύρεθρον] *De Pyrethro* Dioſcor. *Lib. III.* Πύρεθρον πόα ἐστὶ καυλὸν ἀνιεῖσα καὶ φύλλα, ὥσπερ δαῦκος ἄγριος καὶ μάραθρον· σκιάδιον δὲ ὡς ἀνήθου τροχοειδὲς (vel τροχοειδές). ῥίζα δακτύλου μεγάλου τὸ πάχος, μακρὰ, γευομένῳ πυρωτικωτάτη. i. e. *Pyrethrum herba eſt, quæ caulem foliaque profert, uti daucus ſylveſtris & fœniculum, umbellam vero ceu anethi* [circinatæ rotunditatis]. *Radix longa eſt, pollicari craſſitudine, guſtu fervidiſſimo.* Latinis, *Herba ſalivaris;* Gallis, *Pied d' Alexandre.*

(1) *MS.* F. ἐμβάλῃς....ἐπὶ πεντήκοντα ἡμέρας ἀποθῇς. *ſed MSS.* V. Bar. Long. *&* Bod. *ut in textu.* (2) *Emend. ex MSS. male in pr. Ed.* ἀγράτεως. (3) *An legend. cum* Interp. βάτου ῥίζα.

CAP

CAP. XXXVIII.

Ut acetum acre permaneat. Apuleii.

FAbas cum citro acido permixtas in vas acetum habens mittito.

ΚΕΦ. ΛΗ.

Ὄξος δριμὺ διαμένειν. Ἀπουληΐου.

ΚΥάμους μίξας μετὰ (1) ὀξέος κίτρου, βάλλε εἰς ἀγγεῖον.

(1) *Ita* Caſ. L. & Bod. *prius* ὄξους, *in MSS.* V. F. ὀξέως.

CAP. XXXIX.

Aceti piperati confectio. Ejuſdem.

PIper integrum in linteolum mitte, & ad dies octo in aceto ſuſpende, eoque ſic utere.

ΚΕΦ. ΛΘ.

Ὄξος πεπερᾶτον ποιῆσαι. Τοῦ Αὐτοῦ.

ΒΑλλε εἰς ὀθόνιον (1) πέπερι ὁλόκληρον, καὶ ἀποκρεμάσας εἰς τὸ ὄξος ἡμέρας η΄. οὕτω χρῶ.

(1) *Emend. ex* Barocc. *ante* πέπερ.

CAP. XL.

Probatio aceti, an aquam habeat.

NItrum in acetum mittito, & ſi velut efferveſcens intumuerit, aquam ipſum habere judica.

ΚΕΦ. Μ.

Ὄξους δοκιμασία, εἰ ὕδωρ ἔχει.

(1) ΝΙτρον εἰς τὸ ὄξος βάλλε, καὶ ἐὰν ὡς ζέον οἰδήσῃ, (2) ὕδωρ αὐτὸ ἔχειν νόμιζε.

(1) *Ita MSS.* Caſaub. & Interp. *prius* Κίτρον—. (2) *Emend. ex optimo MS.* Barocciano, *ante* οἰδήσει, ὕδατος ἔχειν, Caſaub. *legit* ὕδατος μετέχειν, *in MSS.* V. F. L. & Bod. ὕδατος αὐτὸ ἔχειν.

CAP. XLI.

Ut acetum duplicetur. Democriti.

ACeti certam menſuram accipito, velut verbi gratia metretam, & ad ipſam aquæ marinæ ad medietatem coctæ metretam unam

ΚΕΦ. ΜΑ.

Ὥστε διπλασιάσαι τὸ ὄξος. (1) Δημοκρίτου.

ΛΑβὼν φανερὸν μέτρον ὄξους, οἷον λόγου χάριν μετρητὴν, ἀπὸ θαλαττίου ὕδατος ἐφ' ἡμισείας ἑψηθέντος βάλλε μετρητὴν ἕνα,

(1) *MS.* V. *rejicit* Δημοκρίτου *ad caput ultimum; ſed MS.* F. *ut in textu.*

καὶ συγκεράσας ἀπόθου ἐν ἀγγείῳ. τινὲς δὲ ἀποβρέξαντες κριθὰς καὶ διηθήσαντες, ἐκ τοῦ ἀποβρέγματος μίσγουσιν ἕνα μετρητὴν τυχὸν ἑνὶ μετρητῇ ὄξους, καὶ συνανακινοῦσι, καὶ ἐμβαλόντες ἁλῶν πεφρυγμένων ἔτι θερμῶν ὄντων μέρος τὸ ἀρκοῦν, πωμάζουσι τὸ ἀγγεῖον, καὶ καταλιμπάνουσιν ἡμέρας (2) κ'. τινὲς δὲ ἐκ τῶν σύκων τῶν ἐπὶ τοῖς δένδροις βρεχομένων καὶ σηπομένων ἐμβάλλουσιν εἰς ὕδωρ, καὶ ἐάσαντες συσαπῆναι ὄξος ἐποίησαν.

(2) Interp. *legit* η'.

adjice, & permixta in vaſe reponito. Quidam hordeum macerant & percolant, & cremoris metretam, exempli gratia, unam ad unam aceti metretam admiſcent, & ſimul agitant, & ſalis toſti adhuc calentis quantum ſufficit injiciunt, quo facto vaſi operculum obdunt, ipſumque ad dies viginti relinquunt. Aliqui vero ficus, quæ in arboribus complutæ putreſcunt, in aquam conjiciunt, computreſcereque ſinentes acetum faciunt.

ΚΕΦ. ΜΒ.

Ὄξος σκιλλιτικὸν ποιῆσαι. Πυθαγόρου.

(a) Βάλε εἰς κεράμιον ὄξους καλλίστου καὶ δριμυτάτου ξέστας λϛ'. καὶ σκίλλης λευκῆς τῶν ἐντὸς πλακῶν κεκομμένων εἰς λεπτὰ, καὶ ἐψυγμένων ἐν ἡλίῳ ἐπὶ ἡμέρας λ'. ἔμβρεξον τῷ ὄξει ἐπὶ ἡμέρας ιβ'. εἶτα ἀφελὼν τὸ ὄξος καὶ ἀποθέμενος ὅταν θέλῃς χρῶ. οὐκ ἔλαττον γὰρ τοῦ σκιλλιτικοῦ οἴνου τὸ σκιλλιτικὸν ὄξος ὠφελήσει.

CAP. XLII.

Aceti ſcillitici confectio. Pythagoræ.

Aceti optimi & acerrimi ſextarios triginta ſex in dolium fundito, & ſcillæ albæ cruſtula interna in tenuiſſimas partes conciſa, & in ſole ad dies triginta ſiccata, in aceto ad diem duodecimum macerato, deinde repoſito aceto ubi volueris utere. Acetum enim ſcilliticum non minus proderit quam vinum ſcilliticum.

(a) *Paulo aliter* Palladius *in* Julio *Tit. VIII.* " *Squillæ albæ crudæ, projectis duris atque extrinſecus poſitis omnibus, teneram medietatem ad libram & ſex uncias per minutas partes recides, & in aceti acerrimi duodecim ſextariis merges. Vas ſignatum XL diebus patieris eſſe ſub ſole: poſt abjecta ſquilla acetum diligentius excolabis, & in bene picato vaſe transfundes. Vini autem & aceti ſcillitici parandi rationem tradunt, & remedia enumerant* Dioſcor. *Lib.V. Capp.* 25, 6. *&* Columella *Lib. XII. Capp.* 33, 4.

LIBER

LIBER IX.

ΒΙΒΛΙΟΝ Θʹ.

ARGUMENTUM Lib. IX.

HÆC inſunt in hoc libro, qui nonus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de plantatione & cura olearum, & præparatione olei omphacini, & de omni alia cura ac ſtudio circa oleum adhibendo, & de variis oleas condiendi modis.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ Θʹ.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, ἐννάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ πᾶσαν σύνταξιν περὶ φυτείας καὶ ἐπιμελείας ἐλαιῶν, καὶ ἐργασίας ἐλαίου ὀμφακίνου, καὶ πάσης ἑτέρας περὶ τοῦ ἐλαίου σπουδῆς καὶ θεραπείας, καὶ (1) διαφόρου συνθέσεως ἐλαιῶν.

(1) *Præcedentem voculam delevi auctor. MSS.*

CAP. I.

De oleis.

OLeam hoc modo productam eſſe ferunt. Cum terra tota ab initio aqua cooperta eſſet, primumque Athenis appareret, Minerva & Neptunus loci amore capti, inter ſe contenderunt utrius nomine civitas iſthic conderetur. Jupiter autem litem inter ipſos dirimere geſtiens, præconio edicere juſſit, quod uter ipſorum optimum donum urbi præberet, ille ipſe hanc obtineret. Neptunus igitur portibus & navalibus ipſam exornabat. Minerva autem oleam in

ΚΕΦ. Α.

(1) Περὶ ἐλαιῶν.

ΕΛΑΙΑΝ παρῆχθαί φασιν οὕτω. Τῆς γῆς ἁπάσης ἀρχῆθεν ὕδασι καλυπτομένης, πρῶτον δὲ ἐν Ἀθήναις ἀναφανείσης, Ἀθηνᾶ τε καὶ Ποσειδῶν ἐρασθέντες τοῦ τόπου, ἅμιλλαν εἶχον κτίσαι πόλιν ἐπὶ τῷ (2) τούτων ὀνόματι. Ζεὺς δὲ ἀμφοτέρων τὴν ἔριν βουληθεὶς διαλῦσαι, φησὶν, ὃς ἂν κάλλιστον τῇ πόλει κτῆμα ἐπιδοίη, οὗτος ἐχέτω ταύτην. Ποσειδῶν μὲν οὖν λιμέσι καὶ νεωρίοις ταύτην ἐκόσμει· ἡ δὲ (a) Ἀθηνᾶ ἐλαίαν ἐν τῇ Ἀκροπόλει ἀνέδωκεν, εὐθαλῆ τε καὶ εὔκαρπον, καὶ

(1) *Delevi* Ἱστορία *auctor. MSS.* (2) *Malim cum* Caſaubono ἑαυτῶν; *ſed MSS. ut in textu.*

(a) Ἀθηνᾶ ἐλαίαν-] *Oleam a* Minerva *in certamine editam maxime* μακρόβιον *fuiſſe, uno ore* Vett. *tradiderunt*; Plinius *Lib. XVI.* " *Athenis* " *quoque Olea durare traditur in certamine edita a Minerva.* Cicero *de* *Leg.* Lib. *I.* " *Niſi forte Athenæ tuæ ſempiternam in arce oleam tenere po-* " *tuerunt.* Theophraſtus *autem* L.4. H. P. C.14. *præter oleam plures iſtiuſmodi arbores* μακροβίους *recenſet.* Ἐλαίαν μὲν γὰρ λέγουσι τὴν Ἀθήνησι· φοίνικα δὲ, τὸν ἐν Δήλῳ. Κότινον δὲ τὸν ἐν Ὀλυμπίᾳ, ἀφ' οὗ ὁ στέφανος· φηγοὺς δὲ τὰς ἐπὶ τῷ Ἰλίου μνήματι· τινὲς δέ φασι καὶ τὴν ἐν Δελφοῖς πλάτανον Ἀγαμέμνονα φυτεῦσαι, καὶ τὴν ἐν Καφύαις τῆς Ἀρκαδίας. *Quibus merito annumerari poſſunt Lotus in Vulcanali* Romæ *a* Romulo *poſita, & Cupreſſus ei æqualis, circa ſuprema* Neronis *prolapſa.*

ταύτην ἐστεφανωσαμένη, καὶ ὑπὸ πάντων ὀφθεῖσα, νενίκηκε, καὶ ἐπ' ὀνόματι ταύτης τὴν πόλιν (b) Ἀθήνας ὠνόμασαν. Ἡττηθεὶς οὖν ὁ Ποσειδῶν ὑπεχώρησεν εἰς τὰ συνήθη. ἀφ' οὗ δὲ τοὺς νικῶντας ἐν ἄθλοις (c) τὸν κότινον στέφανον ἀναδοῦσιν οἱ τῶν ἀγώνων ἐπόπται. † ὤνησε δέ ποτε καὶ ἀπήλλαξε κεφαλῆς ἄλγημα φυσικῶς, φύλλῳ ἐλαίας ἐπιγράψαντες Ἀθηνᾶ, καὶ μίτῳ τὸ φύλλον (3) τῇ κεφαλῇ ἀναδήσαντες.

Arce produxit floridam & fructuoſam, & ex hac coronata, & ab omnibus conſpecta, vicit, & de nomine ipſius urbem Athenas nominarunt. Victus itaque Neptunus ad conſueta munia ſeceſſit. Verum ab hac victoria, etiam certaminum victores ex oleaſtro facta corona cingunt certaminum arbitri. Cæterum remedium quandoque ſenſerunt, & a capitis dolore phyſice liberati ſunt, qui oleæ folio Ἀθηνᾶ inſcripſerunt, foliumque filo circa caput religârunt.

(b) Ἀθήνας ὠνόμασαν.] Pindarus *Olymp. Od. VII. aliam* Minervæ *amoris erga Athenienſes cauſam memorat, quod primi poſt partum juſta ei ſacra fecerint; cum Rhodii, quamvis ab* Apolline *præmoniti, arcem ſine igne conſcendiſſent.*

(c) Τὸν κότινον] Pindarus *Olymp.* 3. *auctor eſt, oleaſtrum ab Iſtri fontibus ab* Hercule *allatum, poſtea ipſius juſſu victoribus in præmium dari.*

† *Conſtructioni melius conſuletur, ſi legamus* ὤνησαν *&* ἀπήλλαξαν.

(3) *MSS.* F. L. *&* Bod. *habent* τὴν κεφαλήν.

Κ Ε Φ. Β.

Περὶ φυτείας καὶ ἐπιμελείας ἐλαιῶν, καὶ ὅτι μέγιστόν ἐστιν ἀγαθὸν ἡ περὶ (1) ταῦτα σπουδή. Φλωρεντίνου.

C A P. II.

De plantatione & cura olearum, & quod maximum bonum ſit circa hæc ſtudium. Florentini.

ΤΗς ἀπὸ τῆς ἐλαίας προσόδου ἀναγκαιοτάτης τυγχανούσης, (οὐδεμία γὰρ ἑτέρα πρόσοδος οὕτως ἐπὶ πλεῖστον (2) φυλάττεσθαι δύναται χρόνον) δεῖ μάλιστα τοὺς περὶ γεωργίαν ἐσπουδακότας, τῆς ἐλαίας πλείστην τίθεσθαι πρόνοιαν. οὐ μόνον γὰρ ἀσφαλεῖς καὶ βεβαίους ἔχει τοὺς πόρους ἡ ἀπὸ τῆς ἐλαίας πρόσοδος, ἀλλὰ καὶ μέγιστόν ἐστιν ἀγαθὸν πρὸς πᾶσαν τοῦ βίου θεραπείαν ὁ (3) τῆς ἐλαίας καρπός. † προσημαίνει δὲ καὶ τὰς τροπὰς τὰς θερινὰς στραφέντα τὰ

QUum proventus qui ex olea redit maxime neceſſarius ſit, (nullus enim alius proventus tamdiu conſervatur) oportet eos qui rei ruſticæ ſtudio tenentur, plurimum circa oleam curæ ac diligentiæ adhibere. Non ſolum enim ſecuros ac certos reditus habet ex olea proventus, ſed & maxime conducit ad omnem vitæ curam ac medelam oleæ fructus. Prænunciant autem

(1) *In MS.* F. *(melius forſan) ſcribi videtur* ταύτας, *MS.* V. *&* Interp. *ut in textu.* Bar. *habet* ταύτην, Bod. ταύτης. (2) *Reſtitui ex MS.* Bar. *prius* φυλάττεται χρόνον. (3) *MSS. ſupplent* ἀπό. † *Vid.* Agellium *Lib. IX. Cap.* 7. *&* L. Allatium *ad* Euſtath. *Hexaem. pag.* 66.

ſolſti-

ſolſtitium æſtivum oleæ folia inverſa, quemadmodum etiam tilia, & ulmus, & populus alba. Fertilem autem oleam judica, ſi non a lateribus, ſed in ſummo ramo fructum ferat. At vero quum pura ſit olea, puros etiam eſſe vult fructus ſui collectores, & jurare quod a ſola propria uxore veniant, & non ab alieno thoro. Sic enim & in poſterum plurimum fructum feret. Aiunt ſane in Anazarbo Ciliciæ urbe pueros caſtos oleam colere, & propterea oleam apud ipſos maxime fructuoſam eſſe.

φύλλα τῆς ἐλαίας, ὥσπερ ἡ φιλύρα, καὶ ἡ πτελέα, καὶ ἡ λεύκη. Εὐφορεῖν δὲ νόμιζε τὴν ἐλαίαν, εἰ μὴ ἐν τοῖς πλαγίοις, ἀλλ' ἐν τοῖς ἄκροις τοῦ ὄρπηκος τὸν καρπὸν φέρει, καθαρὰ δὲ οὖσα ἡ ἐλαία βούλεται καθαροὺς εἶναι καὶ τοὺς δρέποντας αὐτήν, καὶ ὀμνύναι ἀπὸ μόνης τῆς ἑαυτῶν γυναικὸς ἀφικνεῖσθαι, οὐκ ἀπ' ἀλλοτρίας εὐνῆς. οὕτω γὰρ καὶ ἐν τῷ ἐπιόντι καιρῷ πλεῖστον παρέξει καρπόν. Φασὶ δὲ ἐν (4) Ἀναζάρβῳ τῆς Κιλικίας (a) παῖδας ἁγνοὺς γεωργεῖν τὴν ἐλαίαν, καὶ διὰ τοῦτο (5) εὐφορωτάτας εἶναι τὰς παρ' αὐτοῖς ἐλαίας.

(4) *Emend. ex MSS. in pr. Ed.* Ἀζάρβῳ.

(a) Παῖδας ἁγνοὺς] Palladius *Lib. I. Tit. VI.* “ *Græci jubent olivam,* “ *cum plantatur, & legitur, a mundis pueris atque virginibus operan-* “ *dum: credo recordati arbori huic præſulem eſſe Caſtitatem.*

(5) *MSS. & Interp. habent* εὐφορωτάτην εἶναι τὴν παρ' αὐτοῖς ἐλαίαν.

CAP. III.

De aere oleis commodo, & terræ figuris. Ejuſdem.

AER calidus & ſiccus oleæ commodus eſt, quod in Libya & Cilicia videre eſt, & ibi provenientibus oleis. Conducunt autem ad aeris commoditatem etiam terræ figuræ acclives & altæ. In talibus enim, propterea quod nimius ſolis ardor a ventis perfrigeretur, optimum oleũ provenit, & ejuſmodi quale ὠμοτριβὲς appellatum præparatur. Quæ vero in campeſtribus ſunt oleæ, & minus a ventis moventur, & vehementius a ſole incumbente aduruntur, craſſum oleum remittunt. In univerſum autem obſervandum, quod venti non plantas modo ſed omnia vivificant, quemadmodum vehementes & im-

ΚΕΦ. Γ.

Περὶ ἀέρος ἐπιτηδείου ἐλαίαις, καὶ γῆς σχημάτων. Τοῦ Αὐτοῦ.

Θερμὸς ἀὴρ καὶ αὐχμηρὸς τῇ ἐλαίᾳ ἐπιτήδειος, καὶ ἔστι τοῦτο ἰδεῖν ἐπὶ τῆς Λιβύης καὶ Κιλικίας, καὶ τῶν ἐν αὐταῖς ἐλαιῶν. Συναίρεται δὲ τῇ τοῦ ἀέρος ἐπιτηδειότητι καὶ τὰ τῆς γῆς σχήματα πρόσκλινῆ καὶ ὑψηλά. αἱ γὰρ ἐν τοῖς τοιούτοις τόποις, διὰ τὸ ὑπὸ τῶν ἀνέμων καταψύχεσθαι τὸ ὑπερβάλλον τοῦ ἡλίου πυρῶδες, κάλλιστον ἔλαιον ποιοῦσι, καὶ τοιοῦτον, οἷον τὸ ὠμοτριβές, κατασκευάζεται. αἱ δὲ ἐν τοῖς πεδινοῖς ἐλαῖαι, ἧττον μὲν ὑπὸ τῶν ἀνέμων κινούμεναι, σφοδρότερον δὲ ὑπὸ τοῦ ἡλίου ἐγκαθημένου καιόμεναι, παχὺ τὸ ἔλαιον (1) ποιοῦσι. Καθόλου δὲ παρατηρητέον, ὅτι οἱ ἄνεμοι οὐ τὰ φυτὰ μόνον, ἀλλὰ καὶ πάντα ζωογονοῦσιν, ὥσπερ οἱ σφοδροὶ καὶ

(1) *In MSS. & Interp.* πέμπουσι.

(2) λαῦροι τοῖς πᾶσιν ἐναντίοι ἄνεμοι· μάλιστα δὲ τὸ πᾶν, πᾶσι μὲν τοῖς φυτοῖς, ἐξαιρέτως δὲ τῷ τῆς ἐλαίας συμβάλλον). Εὐθαλῆ γοῦν ἐκεῖνα μάλιστα τὰ φυτὰ τῶν ἐλαιῶν εὑρήσεις, αἷς τὸ τοῦ ἀνέμου πνεῦμα εἰσδύεται, πλατέων ὄντων τῶν ἐν τοῖς φυτοῖς διαστημάτων, δι' ὧν εὐμαρῶς εἰσπνεῖν ὁ ἄνεμος δύναται. Διὰ τοῦτο γὰρ καὶ τὰ προσκλινῆ καὶ ἀνάντη σφόδρα (3) πρὸς ἐλαίαν ἐπιτήδεια ὑπάρχειν εἰρήκαμεν, διότι δέχεται ἀεὶ εὔδιον ἄνεμον, ὡς μηδὲν διαπνεῦσαι, ἀλλὰ καθ' ἕκαστον δένδρον ὁμαλῶς διϊέναι, καὶ τρέφειν καὶ διεγείρειν τὴν αὔξησιν τοῦ φυτοῦ.

petuoſi venti omnibus nocent: In totum vero, plantis quidem omnibus, præcipue vero oleæ conferunt. Virides igitur potiſſimum illas olearum plantas reperies, quas ventus perflat, latis ſpatiis inter plantas relictis, per quæ ventus libere inſpirare poteſt. Ob id enim & ardua & acclivia loca oleæ valde commoda eſſe diximus, quod videlicet ſemper ventum ſerenum ſuſcipiant, ut nihil præterſpirare poſſit, ſed æqualiter ad ſingulas arbores penetret, plantæque augmentum excitet ac nutriat.

(2) *Potius ut in MSS.* F. Long. *&* Bod. λάβροι, *apud* Homerum *enim Iliad.* Γ. *occurrit* Ζέφυρος λάβρος. (3) *Ex MSS. in pr. Ed.* ἐπιτήδεια πρὸς ἐλαίαν.

ΚΕΦ. Δ.

Περὶ καιροῦ φυτείας ἐλαιῶν, καὶ ποίαν γῆν φυτευτέον. Τοῦ Αὐτοῦ.

Φυτευτέον τὰς ἐλαίας ἀπὸ Ὑάδων δύσεως, μέχρι τροπῶν χειμερινῶν, τουτέστιν ἀπὸ ιε΄. τοῦ Νοεμβρίου μηνὸς, ἕως κ΄. τοῦ Δεκεμβρίου μηνός. φυτευτέον δὲ τῷ ἔαρι τὴν ἐλαίαν· μιμοῦνται γὰρ ἀλλήλους οἱ δύο καιροὶ, ἔχοντες τὸ ὑγρὸν καὶ τὸ θερμόν. τὸ μὲν [(1) γὰρ] φθινόπωρον ἔχει θερμὴν ἔτι τὴν γῆν ἀπὸ τοῦ ἡλίου, τὴν δὲ ὑγρότητα ἀπὸ τῶν μετοπωρινῶν ὄμβρων. τὸ δὲ ἔαρ ἔχει μὲν τὸ ὑγρὸν ἀπὸ τῶν ἡγησαμένων ὄμβρων, προσλαμβάνει δὲ τὸ θερμὸν ἀπὸ τῆς ἡλιακῆς προσελεύσεως. (a) Ἡ ὑγροτέρα γῆ εὐθαλεστέρας δὲ

CAP. IV.

De tempore plantationis olearum, & in quali terra plantandæ ſint. Ejuſdem.

OLeæ plantandæ ſunt ab Hyadum occaſu, uſque ad ſolſtitium hybernum, hoc eſt a decima quinta menſis Novembris uſque ad vigeſimam menſis Decembris. Plantandæ ſunt & in vere oleæ; imitantur enim ſe mutuo hæc duo tempora, humidum habentia & calidum. Autumnus enim calidam adhuc terram habet a ſole, humiditatem vero ex autumnalibus pluviis. Ver autem humiditatem quidem habet a pluviis hybernis, aſſumit autem caliditatem a ſolis acceſſione. Et humidior ſane terra floridiores & pinguiores

(1) *MSS.* V. F. Long. *&* Bod. *hanc voculam non agnoſcunt, ſed* Bar. *habet.*

(a) *Ita* Columella *Lib.V. Cap.* 8. " *Denſior terra, ſi uvida & læta* " *eſt, commode recipit hanc arborem. Creta ex toto repudianda eſt, magis etiam ſcaturiginoſa, & in qua ſemper uligo conſiſtit. Inimicus eſt* " *etiam ager ſabulo macer, & nuda glarea.*

guiores oleas producit, quam ob cauſam hæc terra præferenda eſt. Secundum autem locum habet argilla alba; Tertium, argilla dura. At vero profundam terram non laudamus, neque item rubram, calida enim cum ſit plantas adurit. Multo vero magis fugienda eſt defoſſa: Fructum enim macrum fert, & germen aquoſum. Aptiſſima autem eſt oleis terra tenuis, cui teſtimonium Attica præbet.

λιπαρωτέρας φέρει τὰς ἐλαίας, δι' ἣν αἰτίαν ταύτην προκριτέον τὴν γῆν. δευτέρα δὲ ταύτης, ἡ λευκάργιλλος· τρίτη, ἡ σκληράργιλλος. τὴν δὲ βαθύγειον οὐκ ἐπαινοῦμεν, οὔτε δὲ τὴν ἐρυθράν, θερμὴ γὰρ οὖσα συγκαίει τὰ φυτά. πολὺ δὲ μᾶλλον φευκτέον τὴν κατωρυγμένην· τὸν γὰρ καρπὸν ἀλιπῆ φέρει, καὶ τὸ γέννημα ὑδατῶδες. ἡ δὲ (b) λεπτόγειος ἐπιτηδεία, καὶ μαρτυρεῖ ἡ Ἀττική.

(b) Florentino *ſuffragatur* Colum. *loco cit.* " *Aptiſſimum* (inquit) " *genus terræ eſt oleis, cui glarea ſubeſt, ſi ſuperpoſita creta ſabulo admiſta eſt.*

CAP. V.

De plantario.
Didymi.

Magis compendioſa quidem eſt prædictarum plantarum depoſitio in ſua ipſarum terra, citra cunctationem quæ ex mora in plantariis contingit. Quandoquidem vero ea quæ ex plantariis transferuntur certius vivificantur, etiam plantariorum modum indicabimus. Oportet igitur, velut ſæpe jam diximus, plantarium par eſſe terræ in quam tranſplantabimus, non qualitate ſolum & figura, ſed etiam aeris conſtitutione, ne percellatur novitate planta in ipſo pangenda. Deligendi autem ſunt in plantaria a novis & fertilibus oleis ramuli me-

ΚΕΦ. Ε.

Περὶ φυτωρίου.
(1) Διδύμου.

Συντομωτέρα μὲν ἡ τῶν προειρημένων φυτῶν κατάθεσις ἐν τῇ ἑαυτῆς γῇ, παρὰ τὸν ἐκ τῆς τῶν φυτωρίων ἀναβολῆς (2) μελλησμόν. ἐπειδὴ δὲ τὰ ἐκ τῶν φυτωρίων μετατιθέμενα ἀσφαλεστέραν ἔχει τὴν ζωογονίαν, καὶ τὸν τρόπον τῶν φυτωρίων ἐπιδείξομεν. δεῖ τοίνυν, ὡς πολλαχοῦ εἰρήκαμεν, πάντη ἴσον εἶναι τὸ φυτώριον τῇ φυτευθησομένῃ γῇ, οὐ ποιότητι μόνον καὶ σχήματι, ἀλλὰ καὶ ἀέρων καταστάσει, ἵνα μὴ ξενίζηται τὸ μέλλον ἐν αὐτῇ καταθέσθαι φυτόν. (a) Ληπτέον δὲ εἰς τὰ φυτώρια ἀπὸ τῶν νέων ἐλαιῶν καὶ εὐφόρων (3) ἐν οὖν μέτρῳ παχεῖ,

(1) *Reſtitui ex MSS. &* Caſaub. *prius* Τοῦ Αὐτοῦ. (2) *Ita MSS.* V. *&* F. *in pr. Ed.* μελησμόν.

(a) *Eadem præcipit* Columella *Lib. V. Cap.* 9. " *Ramos* [*oleæ*] *novellos proceros & nitidos, quos comprehenſos manus poſſit circumvenire, hoc eſt manubrii craſſitudine, feraciſſimos arboribus adimito, & ex his quam recentiſſimas taleas recidito; ita ut ne corticem, aut ullam aliam partem, quam quæ ſerra præciderit, lædas.*

(3) *Ita MSS.* F. Bar. L. *&* Bod. *antea* ἐνοῦν. *An vero legend. cum* Interp. *κλωνία (vel κλωνίον) μετρίῳ παχει, in MSS.* Bar. *&* F. *ἐν οὖν μέτρῳ παχει. quod propius accedit* Interp. *lectioni.*

οὐκ ἀπὸ τοῦ πρέμνου ἐκπεφυκότα, ἀλλὰ ἄνωθεν ἀπὸ τῶν ὀρπήκων καὶ τῶν νέων κλάδων. ἔστω δὲ μέτρον πηχυαῖον, ὡς μὴ σπαραχθῆναι ὑπὸ τῆς τομῆς τὸν φλοιόν· τοῦτο γὰρ (4) μᾶλλον χρὴ παραφυλάττειν ἀκριβῶς. δρεπάνῳ δὲ ὀξεῖ τὴν τομὴν λειωτέον πανταχόθεν, διασώζοντας ἀκέραιον καὶ ὁλόκληρον τὸ φυτόν. (b) χριέσθω δὲ τὰ κατώτερα τοῦ ὄρπηκος βολβίτῳ τέφρᾳ μεμιγμένῳ, ἐνθήσομεν δὲ αὐτὸ τῇ γῇ, ὡς ὑπερέχειν δ'. δακτύλους, καὶ ἐνταῦθα τὸν βόθρον (5) φιαλώσαντες, ὡς προείρηται, πρὸς ὑποδοχὴν τῶν ὄμβρων. (c) Χρὴ δὲ, ὡς ἤδη προειρήκαμεν, φυλάττεσθαι προηγουμένως, ὅπως μὴ κατὰ κορυφὴν τεθῇ ὁ ὄρπηξ. παραπήξομεν δὲ κάλαμον, πρὸς τὸ τοὺς σκάλλοντας ἐπιγινώσκειν τὴν ὄψιν τοῦ φυτοῦ. δεῖ δὲ τὰ ἐν τοῖς φυτωρίοις φυτὰ κατὰ μῆνα κινεῖν ἐπὶ μῆνας ζ'. Τριῶν τοίνυν ἐτῶν ἡ φυτοτροφία καλῶς αὕτη ἂν γένοιτο, τῷ δ'. δὲ ἔτει κλαδευτέον τοὺς (6) περιττοὺς κλάδους, καὶ οὕτω (d) μεταλισχευτέον εἰς τὴν μέλλουσαν φυτεύεσθαι γῆν, συνεπάραντά τι τοῖς φυτοῖς τῆς οἰκείας καὶ συντρόφου γῆς. καὶ καλλίων μὲν ὁ διὰ τῶν ὀρπήκων τῆς τῶν ἐλαιῶν φυτείας τρόπος. Τινὲς δὲ ξύλα ὡς ἔτυχε κοπέντα ἀπὸ τῶν κατωτάτω ῥιζῶν, τὰ λεγόμενα παρὰ Σύροις (e) γορφία, καταθέμενοι ἐν

diocris craſſitudinis; non ex trunco enati, ſed ſuperne ex ſurculis & novellis ramis. Menſura autem ſit cubitalis, ne laceretur a cæſura cortex; hoc enim maxime diligenter cavere oportet. Plaga autem falce acuta undiquaque lævigetur, planta integra & incolumi ſervata. Infernæ vero ramuli partes illinantur ſtercore bubulo cineri admixto, depangemus autem ipſum in terram ut quatuor digitorum altitudine ſupereemineat, deindeque ſcrobem, ſicut prædictum eſt, excavabimus, ad imbres commode ſuſcipiendos. Oportet autem, velut jam prædiximus, imprimis cavere, ne inverſus ramus pangatur. Depangemus autem juxta ipſum arundinem, quo foſſores ſignum habeant, quo dignoſcant plantam. Cæterum plantas quæ in plantariis poſitæ ſunt ſingulis menſibus movere oportet, uſque ad ſeptimum menſem. Trium igitur annorum ſpatio plantæ probe nutriri poſſint, quarto anno & ſuperflui rami amputandi ſunt, & ſic plantæ transferendæ in terram quam plantare inſtituiſti, ſimul ſublata cum plantis propria terra. Et ſane præſtantior eſt plantandi oleas per ramos modus. Quidam vero ligna ut deſecta ſunt ab infimis radicibus, quæ apud Syros γορφία appellantur, in plantariis de-

(4) *Revocavi ex MSS. in* Bar. *ſcrib.* μᾶλλον δεῖ.

(b) *Ita etiam* Columella *loco cit.* " *Sed oportebit talearum capita &* " *& imas partes miſto fimo cum cinere oblinire, & ita totas eas immer-* " *gere, ut putris terra quatuor digitis alte ſuperveniat.*

(5) *Supplevi & Emend. ex MSS. antea,* ἐνταῦθα τὸν βόθρον φυλάσσοντες.

(c) Colum. *loco cit.* " *Si inverſa [talea] mergatur, difficulter com-* " *prehendet, & cum validius convaluerit, ſterilis in perpetuum erit.*

(6) *Emend. ope MSS. in pr. Edit.* περὶ τοὺς κλάδους.

(d) *Ita MSS. Hæc vox originem ducere videtur a* Λίσγος *vel* Λίχος, Occa, Ligo. Theocriti *Scholiaſta Idyll. IV. habet* Λισγάριον, *&* Du Freſne *in Gloſſario,* Λιχάριν. *Vid.* Colum. *p.*196. " *Sic exculta*-- &c.--.

(e) Γορφία,] גְרוּפִּית Ramus, Termes; *proprie olivarum, Lingua* Chaldaica, *cui affinis eſt* Syriaca: *Deducitur a* גְרַף Detrahere, *quaſi* Planta detracta. *Vid.* Buxtorfii *Lex.* Chald. *pag.* 483. *&* Caſtelli *Lex.* Heptaglotton. *col.* 622.

ponentes,

ponentes, cum ad tranſlationem apta viderint, tranſplantant. Multi non in plantariis, ſed in propria terra plantas depangentes, ſpe non exciderunt. Melius tamen eſt talia maxime in plantariis deponere: In his enim aſſidue rigata cito germinant, atque ita etiam facile transferuntur.

τοῖς φυτωρίοις, ὅταν ἐπιτήδεια πρὸς μετάθεσιν ἴδωσι, μεταφυτεύουσι. πολλοὶ δὲ οὐκ ἐν φυτωρίοις, ἀλλὰ καὶ ἐν τῇ ἰδίᾳ γῇ καταθέμενοι, οὐ (7) διήμαρτον. κάλλιον δὲ τὰ τοιαῦτα μάλιστα ἐν τοῖς φυτωρίοις καταθέσθαι· συνεχῶς γὰρ ἐν τούτοις ἀρδόμενα ταχεῖαν ἔχει τὴν βλάστησιν, καὶ οὕτως εὐμαρῆ τὴν μετάθεσιν.

(7) *Ex MSS. &* Interp. *prius* διαμαρτάνουσι.

CAP. VI.

De ſcrobibus ad plantationem olearum. Ejuſdem.

Quum oleas plantamus, locos purgare oportet, in quibus earum plantationem inſtituimus, & quicquid eſt alterius generis eximere, & murum aut ſepem circumdare. Quædam tamen maxime ante plantationem ſcrobes ſibi effodi poſtulant, quo a ſole, & ventis, & imbribus, terra friabilior reddatur, & plantæ radicem agere facilius queant. Si vero plantare feſtinemus, duobus menſibus ante, aut minimum uno, ſarmenta & arundinem, & quæ facile comburuntur, in ſcrobibus ad multos dies uremus. Oportet autem ſcrobium altitudinem eſſe cubitorum trium, aut non minus quam duorum & dimidii. Diſtent inter ſe ſcrobes ſpatio cubitorum quinquaginta, quo trunci perflari poſſint, & intermedius locus conſeratur. Quidam contempta ſatione denſam plantationem faciunt, ita tamen ut

ΚΕΦ. ϛ.

Περὶ βόθρων τῶν εἰς φυτείαν ἐλαιῶν. Τοῦ Αὐτοῦ.

Ἡνίκα ἡ τῆς ἐλαίας γίνεται φυτεία, χρὴ καθαίρειν τοὺς τόπους, (1) ἐν οἷς αὕτη γενήσεται, καὶ πᾶν τὸ ἑτερογενὲς ἐξαιρεῖν, καὶ περιβάλλειν τειχίον ἢ φραγμόν. (a) βοθρεύειν δὲ μάλιστα μὲν ἔνια τὸ πρότερον τῆς φυτείας, ἵνα ὑπὸ τοῦ ἡλίου, καὶ τῶν πνευμάτων, καὶ τῶν ὄμβρων, ἡ γῆ ψαθυρωτέρα γένηται, καὶ τὰ φυτὰ ῥιζοβολήσῃ. εἰ δὲ φυτεῦσαι ἐπειγόμεθα, πρὸ δύο μηνῶν, ἢ ἑνὸς τὸ ἐλάχιστον, φρύγανα καὶ κάλαμον, καὶ ὅσα εὔφλεκτα, ἐγκαταφλέξομεν τοῖς βόθροις ἐπὶ πολλὰς ἡμέρας. δεῖ δὲ τὸ βάθος ἔχειν (2) τῶν βόθρων τρεῖς, ἢ μὴ ἔλαττον τῶν δύο ἥμισυ πηχῶν. Ἀπεχέτωσαν δὲ ἀπ᾽ ἀλλήλων οἱ βόθροι (b) πήχεις ν᾽. ὥστε καὶ διαπνεῖσθαι τὰ στελέχη, καὶ τὸν μεταξὺ σπείρεσθαι τόπον. οἱ δὲ τοῦ σπόρου καταφρονοῦντες πυκνὴν τὴν φυτείαν

(1) *In MSS.* ἐν οἷς ἡ ταύτης γίνεται φυτεία.

(a) *Haud aliter* Columella *Lib. V. Cap.* 9. " *Scrobes* [*plantis*] *quaternûm pedum præparantur anno ante: vel ſi tempus non largitur, priuſquam deponantur arbores, ſtramentis incendantur ſcrobes, ut eos ignis putres faciat, quos Sol & pruina facere debuerunt.*

(2) *Emendavi ex MS.* Bar. *ante* τῶν βόθρων ἔχειν.

(b) Colum. *loco cit.* " *Spatium* (inquit) *inter ordines minimum eſſe debet, pingui & frumentario ſolo, ſexagenûm pedum*——.

ποιοῦνται,

ποιῶνται, (3) ὥστε ὑπ᾽ ἀλλήλων τὰ φυτὰ μὴ σκιάζεσθαι.

plantæ mutuam ſibi umbram non offundant.

(3) *In MS.* F. *ſcribitur* ὥς θ᾽ ὑπ᾽ ἀλλήλων, *in* Barocc. ὥστε ἀπ᾽ ἀλ.

ΚΕΦ. Ζ.

Ὁποῖα εἶναι δεῖ τὰ μέλλοντα φυτεύεσθαι τῶν ἐλαιῶν φυτά. Τοῦ Αὐτοῦ.

ΔΕῖ τὰ φυτὰ τῶν ἐλαιῶν, ἀπὸ ἐπιτηδείων τόπων, καὶ δένδρων νέων καὶ κατ᾽ ἐνιαυτὸν καρποφόρων, τὸ (1) πάχος ἔχοντα στελέχους, ἢ παχύτερα, λεῖά τε καὶ ὀρθά (2).

CAP. VII.

Quales oporteat eſſe olearum plantas, quas plantaturi ſumus. Ejuſdem.

OPortet olearum plantas, ex commodis locis, & arboribus novellis quæ ſingulis annis fructum ferunt, craſſitudinem habentes trunci, aut craſſiores, læveſque ac rectas eſſe.

(1) *Emend. ex MSS. ante* τάχος ... στελέχου. (2) *Supplend.* εἶναι, *vel quid tale, ut ſenſus ſit integer.*

ΚΕΦ. Η.

Ἐλαίαν πολυφόρον ποιῆσαι. Ἀφρικανοῦ.

ΤΡύπησον τρυπάνῳ (1) τὸ στέλεχος διαμπάξ, καὶ (a) λαβὼν κλάδους β΄. ἀπὸ ἑτέρας πολυκάρπου ἐλαίας, τὰς ἀρχὰς τῶν κλάδων ἐξ ἑκατέρου μέρους βάλλε, ὥστε εἰς τὸ πέραν διελθεῖν, καὶ ἐπιλαβόμενος ἀμφοτέρων τῶν κλάδων ταῖς χερσὶν ἕλκυσον ἰσχυρῶς· ὅταν δὲ σφηνωθῇ, ἀπόκοψον ἀπὸ ἑκατέρων μερῶν τὰ περιττὰ, τουτέστι τὰ ἐξέχοντα τῶν κλάδων, καὶ πηλῷ μετ᾽ ἀχύρου διάχρισον τὰς ἑκατέρωθεν ὀπὰς, καὶ (2) γενήσεται ἡ ἐλαία πολυφόρος καὶ καλλιέλαιος.

CAP. VIII.

Quomodo olea fertilis fiat. Africani.

TRuncum terebra penitus terebrato, & detractis ab altera fructuoſa olea duobus ramulis, ſumma ramulorum ex utraque parte immitte, ac transfige, & apprehenſos utroſque ramulos manibus fortiter trahe; cum autem probe fuerint inſtar cuneorum adacti, redundantia ex utraque parte reſeca, & luto paleato foramina utrinque obline, & olea multum & optimum fructum reddet.

(1) *Reſtitui ex MSS. prius* τὸ στέλεχον.
(a) *Vid. quæ inferius notamus ad* C.10. *hujus Libri*; *in MSS.* κλαδία.
(2) *In MSS.* γίνεται.

CAP.

CAP. IX.

De adultarum olearum cura. Sotionis.

De plantatione quidem olearum, & cultura, abunde docuimus. Nunc autem conveniens eſt, ut de adultarum plantarum cura dicamus. Culturam igitur, hoc eſt paſtinationem, eodem tempore facito, quod ad novellas plantas colendas deſignavi. Cæterum foſſionis profunditas, & ſtercoris circumjectio ac copia, & aggeſtionis altitudo, juxta truncos, & magnitudinem, & terræ ac arborum naturam fiat. Locis enim humectis, & in quibus plantæ citius germinant, minor ſtercoris copia, eaque per plurium annorum ſpatium, injicienda eſt, humiliore etiam terræ aggeſtione utendum, ne arbores germinantes fructum jam florentem lædant. In ſterilibus autem & ſiccioribus locis plus ſtercoris, idque cito, injiciendum, & terra altius eſt ad truncos aggerenda, ut trunci ſtercoris beneficio citius germina emittant, & terra aggeſta cooperti a ſole non adurantur. At vero prædictæ adultæ oleæ, velut etiam reliquæ arbores, autumno purgandæ, poſt Pleiadum occaſum. Sub id enim tempus arbores firmiores & fortiores eſſe videntur. Primum enim, medius ipſarum humor in germina & fructus alimentum inſumptus eſt: Deinde, quantum humoris reliquum fuit æſtatis calore

ΚΕΦ. Θ.

Περὶ τῆς τῶν τελείων ἐλαιῶν ἐπιμελείας. Σωτίωνος.

Περὶ μὲν οὖν τῆς φυτείας τῶν ἐλαιῶν, καὶ φυτουργίας, τὴν αὐτάρκη διδασκαλίαν (1) ὑπεθέμεθα. νυνὶ δὲ καὶ περὶ τῆς τῶν τελείων φυτῶν ἐπιμελείας εἰπεῖν ἀκόλουθον. τὴν μὲν οὖν ἐργασίαν, τουτέστι τὴν γύρωσιν, τῷ αὐτῷ καιρῷ, (2) τῷ καὶ ἐπὶ τῶν νεοφύτων εἰρημένῳ, ποιοῦ· (3) τὴν δὲ περίσκαψιν τοῦ βάθους, καὶ περιβολὴν τῆς κόπρου, καὶ τὸ πλῆθος, καὶ τῆς προσχώσεως τὸ ὕψος, πρὸς τὰ στελέχη, καὶ τὰ μεγέθη, καὶ τὴν τῆς γῆς φύσιν καὶ τῶν δένδρων ποιεῖσθαι χρή. τοῖς μὲν γὰρ βλαστικωτέροις καὶ ἐνίκμοις τῶν τόπων ἐλάττω τὴν κόπρον προσφέρειν προσήκει, καὶ διὰ πλειόνων ἐτῶν, καὶ τῇ προσχώσει (4) ταπεινοτέρᾳ χρῆσθαι, μὴ τὰ δένδρα εἰς βλάστην ἐπειγόμενα τὸν καρπὸν ἐν τῷ ἄνθει βλάπτῃ. ἐν δὲ τοῖς ἀβλαστοτέροις τόποις καὶ ξηροτέροις πλείω τὴν κόπρον διδόναι, καὶ διὰ ταχέων, καὶ τῇ προσχώσει τῆς γῆς πρὸς τὰ στελέχη ὑψηλοτέρᾳ χρῆσθαι, ὅπως διὰ τὴν κόπρον βλαστικώτερα γένηται, διά τε τὴν πρόσχωσιν μὴ καίηται ὑπὸ τοῦ ἡλίου. Τὰς δὲ διακαθάρσεις τῶν προειρημένων τελείων ἐλαιῶν, ὡς καὶ τῶν λοιπῶν δένδρων, τῷ φθινοπώρῳ μετὰ τὴν Πλειάδων δύσιν ποιοῦ. κατὰ τοῦτον γὰρ τὸν καιρὸν στερεώτερά τε καὶ ἰσχυρότερα τὰ δένδρα εἶναι δοκεῖ. Συμβαίνει γὰρ αὐτοῖς πρῶτον, μέσον ὑγρὸν ἀνηλωκέναι εἰς τοὺς βλαστοὺς, καὶ εἰς τὴν τοῦ καρποῦ τροφήν· δεύτερον δὲ, διὰ

(1) *Ex MSS.* V. F. L. *&* Bod. *in* Bar. ὑπεθέμην, *prius* ὑποθέμεθα. (2) *Hanc voculam revoc. ex MSS.* (3) *Malim* τῆς δὲ περισκάψεως τὸ βάθος, *ſed MSS. ut in textu.* (4) *Ingentem hanc & plane ſtupendam Lacunam, a* ταπεινοτέρᾳ *ad* πρόσχωσιν, *ſupplevi ex optimo Codice* Barocciano. *Ante* προσχώσει, μὴ καίεσθαι—, *in cæt. MSS.* καίεται ὑπὸ τοῦ ἡλίου. Τὰς δὲ——.

τὴν

τὴν τοῦ θέρους θερμότητα ὅσον ἔλιπε τὸ ὑγρὸν (5) ἀπεξηρᾶνθαι· τρίτον δὲ, διὰ τὸ μηδέπω τοὺς χειμερινοὺς ὄμβρους δέχεσθαι, ὡς πάντων ἕνεκεν τῶν προειρημένων τὸν τοῦ φθινοπώρου καιρὸν ἁρμοδιώτατον εἶναι εἰς τὸ διακαθαίρειν τὰ δένδρα, ἰσχυρότατά τε ὄντα, καὶ μάλιστα τὴν ἐλαίαν. Δεῖ δὲ μέλλοντα καθαίρειν πρότερον κοπρίζειν, ἵνα πρὸς τὴν ἀπὸ τῆς τομῆς βλάβην ἀντιτάττηται ἡ τῆς κόπρου ὠφέλεια· διακαθαιρόμενα γὰρ τὰ στελέχη ἐπὶ τοῦ παρόντος πονεῖ, διὰ τὰς τομάς· κοπρισθέντα δὲ ταχὺ βοηθεῖται, καὶ βλαστικώτερα γίνεται. Διακαθαίρειν δὲ δεῖ τὰ ξηρὰ καὶ τὰ ἐκ τοῦ μέσου, ἵνα ἔχῃ ἀναπνοάς· καὶ τοὺς ἀλλήλοις δὲ ἐπικειμένους κλῶνας ἀφαιρεῖν χρὴ, καὶ ἀραιότητος προνοεῖν, καὶ τοὺς καμπύλους μὲν περικόπτειν, μάλιστα δὲ τοὺς ὑπερμήκεις, καὶ ὅσοι λίαν εἰς ὕψος αὔξονται, ἀφορωτέρους φύσει ὄντας. διὰ τοῦτο γὰρ παρὰ πᾶσι τοῖς Γεωργικοῖς νενόμισται, τὰς ἐλαίας ὑπὲρ δεκαπηχυαῖον μέγεθος μὴ προσήκειν εἶναι, καὶ τὴν ὑπὲρ τοῦτο αὔξησιν εὔβλαπτον εἶναι, τῶν κλάδων ὑπὸ τῆς τῶν ἀνέμων σφοδρότητος ἐπικλωμένων, καὶ τοῦ ἄνθους ἐκσειομένου, καὶ διὰ τοῦτο πρὸ καιροῦ ἀποπίπτοντος. Διὸ πολλοὶ καὶ τοὺς τῶν ἐμφύτων κλῶνας χαμαὶ ἕλκουσι, ταπεινότερον καὶ χαμαιζηλότερον τὸ δένδρον ἀναγκάζοντες γίνεσθαι. Καὶ αὐτάρκως μὲν περὶ τῆς τῶν (6) τελείων ἐλαιῶν καθάρσεως εἰρήκαμεν, ἣν διὰ τριῶν ἢ δ'. ἐτῶν ποιεῖσθαι χρή. (a) τοὺς δὲ παραφυομένους τοῖς (7) στελέχεσι κλῶνας, εὐθὺς ἔτι ἁπαλοὺς ὄντας, κατ' ἐνιαυτὸν ἀφαιρετέον, ὅπως μὴ εἰς τούτους ἐκπονῆται τὸ στέλεχος.

reſiccatum eſt: Tertio vero, hybernos imbres nondum ſuſceperunt, & horum omnium gratia contingit præfatum autumni tempus maxime convenire purgandis arboribus, tunc fortiſſimis, & præſertim oleæ. Oportet autem eum qui oleas purgaturus eſt prius ſtercorare, ut nocumento ex cæſura ſtercoris commodum opponatur. Repurgati enim trunci ac rami in præſens quidem dolent, propter plagas; ſtercorati vero remedium ſentiunt, & citius germinant. Repurgare autem oportet arida, & quæ in medio ſunt, quo reſpirationem habeant; ſed & incumbentes ſibi invicem ramos tollere oportet, & raritati proſpicere, incurvi etiam rami recidantur, præſertim ſuperflue longi, & qui in nimiam altitudinem excreſcunt, cum ſteriliores natura ſint. Ideo enim apud omnes Agricolas receptum eſt, oleas decem cubitorum magnitudinem excedere non debere, & augmentum ſupra prædictum modum damno obnoxium eſſe, rami enim ventorum vehementia confringuntur, & flos excutitur, & ante tempus decidit. Quapropter etiam multi ramos plantatarum ad humum detrahunt, humiliorem & depreſſiorem arborem fieri cogentes. Et ſatis quidem de adultarum olearum purgatione diximus, quam per tres aut quatuor annos facere oportet. Qui vero adnaſcuntur truncis rami, ſtatim dum adhuc teneri ſunt, ſingulis annis tollendi ſunt, ne in ipſos truncus vires inſumat.

(5) *Ita MSS,* F. *&* Bar. *prius* ἀπεξηράνθη. (6) *Reſtitui ex MSS. prius* τῆς τῶν ἐλαιῶν καθάρσεως τῶν τελείων--.

(a) Τοὺς δὲ] *Ita etiam* Columella *Lib. V. Cap.* 9. " *Omnis deinde ſoboles, quæ ex una ſtirpe nata eſt, quotannis extirpanda eſt,*--.

(7) *Emend. ex MSS. prius* στελέχοις.

CAP.

CAP. X.

Quomodo oleas florentes & fructuoſas faciamus, & quomodo ægrotantes curemus. Quintiliorum.

Generoſiores & florentiores & fructuoſas oleas facies, ſi poſt circumfoſſas radices, amurcæ olivarum inſulſarum cum aqua potabili permixtæ æqualiter duas heminas ad ſingulos truncos affuderis, aut palearum fabacearum cophinum unum aut duos, juxta proportionem videlicet arboris, aut terræ argilloſæ ſtercore bubulo mixtæ, aut algæ tantundem. Neque vero minus prodeſt urina humana trunco affuſa. Poſt hæc vero ſtatim terra aggerenda eſt, ita ut a radicibus in altitudinem duorum palmorum circumaggeratur, & agger circumcirca excavetur, ad pluvias aquas ſuſcipiendas. Hæc cura adhibenda eſt in caniculæ æſtu. Præſtat etiam rigatione tunc uti, præſertim ſi ſiccitates urgeant. At vero arbores ſteriles ſic fructum multum ferre facies: A trunci ima parte fere ad cubiti diſtantiam terebra trunci auſtralem partem perforato, foramine facto digiti magni magni-

ΚΕΦ. Ι.

Πῶς ἐστιν ἐλαίας εὐθαλεῖς καὶ πολυκάρπους ποιῆσαι, καὶ πῶς ἐστι νοσούσας θεραπεῦσαι. Τῶν Κυντιλίων.

Εὐγενεστέρας καὶ εὐθαλεστέρας καὶ σφόδρα πολυκάρπους τὰς ἐλαίας ποιήσεις, ἐὰν μετὰ τὸ γυρῶσαι (1) πρὸς τὰς ῥίζας, (a) ἀμόργης ἀπὸ ἐλαιῶν ἀνάλων μεμιγμένης ὕδατι ποτίμῳ ἐξ ἴσου δύο κοτύλας ἐμβάλῃς ἑκάστῳ στελέχει, ἢ (2) ἀχύρων κυαμίνων κόφινον ἢ δύο, πρὸς ἀναλογίαν δηλονότι τοῦ δένδρου, ἢ γῆς ἀργιλλώδους μεμιγμένης βολβίτῳ, ἢ φυκίων τοσοῦτον. Οὐκ ἔλαττον δὲ καὶ (b) οὖρον ἀνθρώπειον παλαιὸν (3) τοῦ πρέμνου καταχυθὲν ὠφελεῖ. Δεῖ δὲ μετὰ ταῦτα εὐθέως ποιεῖσθαι τὴν τῆς γῆς περίχωσιν, περιχωννύντας ἀπὸ ῥιζῶν δηλονότι ἕως διπαλαιστιαίου ὕψους, τά τε κύκλῳ τῆς περιχώσεως φιαλοῦν, πρὸς τὴν τῶν ὀμβρίων ὑδάτων ὑποδοχήν. προσφέρειν δὲ ταύτην τὴν θεραπείαν χρὴ τοῖς ὑπὸ κύνα καύμασι. Κάλλιον δ' ἐστὶ καὶ ἀρδείᾳ τότε χρῆσθαι, καὶ μάλιστα εἰ αὐχμοί εἰσι. τὰ δὲ μὴ καρποφοροῦντα δένδρα πολυφόρα ποιήσεις οὕτως· ἀπὸ τοῦ πρέμνου ἀποχὼν ἐγγὺς πήχεως μέτρον, (c) τρυπήσας τρυπάνῳ τὸ στέλεχος κατὰ

(1) *Hæc verba ex MSS. in locum ſuum revocavi, quæ in pr. Ed. poſt* κοτύλας *rejecta fuerunt.*

(a) *Eadem tradit* Palladius *in* Martio, *Tit. VIII.* " *Nunc oleis labo-*
" *rantibus circum radices inſulſa amurca fundetur .... Alii palearum fabæ*
" *binos per majorem arborem qualos.*

(2) *Ita MSS. prius* ἀχύρου κυαμίνου.

(b) Palladius *loco cit.* " *Alii* (inquit) *veteris urinæ humanæ quantum*
" *ſatis videtur affundunt, & arbori mortarium ſtatim faciunt, maxime*
" *locis ſiccis, trunco ante cooperto.*

(3) *Verba præcedentia delevi auctor.* Caſaub. *& MSS. in priori Ed. peſſime* παλαιὸν πρέμνον ὁ κλάδος τοῦ--.

(c) Τρυπήσας τρυπάνῳ--] *Ita* Quintiliorum *fidus interpres* Palladius *in*

τὸ

τὸ πρὸς νότον μέρος, ὀπὴν ποιῶν εἰς μέγεθος δακτύλου μεγάλου, καὶ διατρήσας τὸ στέλεχος ὅλον, (4) λαβὼν τῆς ἐλαίας κλῶνας δύο ἀπὸ ἑτέρου δένδρου ἀεὶ πολυκαρποῦντος κλῶνας β΄. πλήρωσον τὰ τρυπήματα ἑκατέρωθεν, ὡς εἰς τὸ πέραν διελθεῖν ἀμφότερα, καὶ ἐπιλαβόμενος ἰσχυρῶς δίελκε. ὅταν δὲ σφηνωθῇ ἐξ ἀμφοτέρων ἡ ὀπὴ ἐξ ἴσου ἑλκυσθέντων, ἔκτεμε τὰς ἑκατέρωθεν ὑπεροχὰς, καὶ πηλῷ δι' ἀχύρων περίπλασον τὰς ὀπάς. ὁποίας δὲ ἐὰν τὰς ὀπὰς βουληθῇς γενέσθαι, τοιούτους καὶ τοὺς κλῶνας, ὡς προείρηται, ἐνθήσεις. οὕτω γὰρ καὶ ἔλαιον ἐνέγκοι ἂν κάλλιον ἡ ἐλαία, καλλιελαίου φυτοῦ κλάδων ἐμβληθέντων. δεῖ δὲ λαμβάνειν τοὺς κλῶνας ἀπὸ τῶν νοτίων μερῶν τοῦ δένδρου. (d) Τὰς δὲ ὑλομανούσας τῶν ἐλαιῶν, τουτέστι τὰς πολλὰ μὲν φύλλα φερούσας, ὀλίγιστον δὲ καρπὸν, θεραπεύσεις οὕτω. πάσσαλον εἰς τὰς ῥίζας ἐμπήξας ἐλαίας ἀγρίας, ἢ πίτυος, ἢ δρυὸς, ἢ λίθον. Τὰς δὲ πολὺν μὲν καρπὸν φερούσας, μὴ ἐκπεπαινούσας δὲ, καὶ κακῶς (5) ἀνθοβολούσας, ἰάσῃ οὕτω. περιορύξας τὸ πρέμνον περίβαλλε τῷ μὲν μείζονι φυκίων κοφίνους δύο, τῷ δὲ μικροτέρῳ ἔλαττον· εἶτα κεράσας ἀμόργην ὕδατι ποτίμῳ, τετράχουν ἑκάστῳ στελέχει κατάχεε· καὶ φυκία δὲ εἰ μὴ εἴη, μόνῃ χρῶ τῇ ἀμόργῃ. (6) Πρὸς δὲ τὰ λυμαινόμενα θηρία θεραπείαν, καὶ τὴν ἀπὸ τοῦ περιέχοντος βλάβην, ἐν τῷ περὶ ἀμπέ-

tudine per totum truncum; & detractis duobus oleæ ramulis ab alia arbore ſemper feraci, foramina ipſa utrinque ramulis illis expleto, ut uterque tranſadigatur, & apprehenſos manibus fortiter pertrahito; ubi autem probe adacti inſtar cuneorum fuerint, redundantia ex utriſque reſeca, & luto paleato foramina oblinito. Quales ſane olivas fore expetis, tales etiam ramos, velut prædictum eſt, immittito. Sic enim & melius oleū protulerit olea ipſa, plantæ præcellens oleum ferentis ramulis immiſſis ac adactis. Cæterum ramuli ab auſtralibus arboris partibus detrahendi ſunt. Porro oleas in materiæ multæ effuſionem luxuriantes, hoc eſt folia quidem ferentes multa, fructus vero parum, ſic curabis. paxillum oleæ ſylveſtris, aut pinus, aut quercus, in radices adige, aut etiam lapidem immitte. Eis vero quæ multum fructum ferunt, maturum autem non faciunt, & florem male perdunt, ſic medeberis. Circumfodito truncum & majori algæ corbes duos, minori minus circumjice; deinde amurcæ aqua potabili mixtæ quatuor congios ſingulis truncis affunde; quod ſi alga in promptu non fuerit, ſola amurca utere. At vero remedium contra beſtias infeſtas, & noxam ex ambiente accedentem, in tractatu de vitibus uni-

Mart. *Tit.* 8. “*Oleam ſterilem terebra Gallica perforabis. Tunc duos “frugiferæ arboris ab Auſtrali parte ramos ejuſdem magnitudinis tolles, “& ſtricte in foramen utrumque conjicies, & abſciſſo eo quod ſuperabit, “luto paleato curabis occulere.*

(4) *Ita MSS. prius* λαβὼν ἀπὸ ἑτέρου δένδρου ἐλαίας ἀεὶ ... κλῶνας β΄. πλήρ.

(d) Τὰς δὲ ὑλομανούσας–] Palladium *ex* Noſtro *emendatum dare non pigebit; ita igitur legendus eſt, “Sed ſi ſine fruge luxuriant, oleaſtri palum, “vel lapidem, vel pini, vel querci palos radicibus ejus infige.*

(5) *Emend. ex MSS. ſuffragante* Caſaubono, *ante* ἀντιβολούσας.

(6) *Ex MSS. in pr. Ed.* τὰ πρὸς θεραπείαν δὲ τῶν λυμαινομένων θηρίων.

verſaliter

verſaliter docuimus. Si igitur areſcentes radices & ægrotantes repereris, vermiculos in fundo generatos cauſam eſſe judica, quos multis quidem modis perdes, quemadmodum prædictum eſt, præcipue vero ſcillis prope plantatis.

CAP. XI.

Quod multis & diverſis modis olea plantetur. Leontini.

TAndem nôſſe etiam oportet, quod tota planta aliquando quidem in terra occulitur, aliquando vero pars ejus terra operitur, pars terram ſupereminet. Quæ quidem igitur tota occuluntur, nulla notatione indigent cum eliguntur. Quæ vero terram ſupereminent plantare oportet, velut prius in trunco ſitum habuerunt ad orientem, aut ad meridiem, aut ad occaſum, ne aeris novitate percellantur. Quæ autem urgente ſiccitate plantantur, ſi poſſibile eſt, bis aut ter rigentur. Immittantur etiam in ſcrobes ex utraque plantæ parte duo ligna lævia & recta, aut arundines, aut ſarmenta colligata, ita ut ſcrobes ſupereemineant; & poſtquam conculcata eſt planta, hæc quidem operiantur, vacui vero loci lapillis aut teſtis expleantur, & majuſculo lapide contegantur, quo aqua pluvia ad radices deſcendat. Oportet autem plantas ſtatim ut ablatæ ſint plantare in humida die. Multis porro modis olea plantatur. Quidam enim a codicibus plantant; ramis enim craſſioribus in magnitudinem cubitalem ſectis, ita plantant. Quidam a palis

λων λόγῳ καθολικῶς ἐδιδάξαμεν. δεῖ τοίνυν, ξηραινομένας τὰς ῥίζας καὶ νοσούσας εἰ εὕροις, αἰτίους γινώσκειν τοὺς ἐν τῷ πυθμένι ζωογονουμένους σκώληκας, οὓς ἀφανιεῖς κατὰ πολλοὺς μὲν τρόπους, ὡς προείρηται, ἐξαιρέτως δὲ τῇ τῶν σκιλλῶν παραφυτεύσει.

ΚΕΦ. ΙΑ.

Ὅτι κατὰ πολλοὺς καὶ διαφόρους τρόπους ἡ τῆς ἐλαίας γίνεται φυτεία. Λεοντίνου.

ΤΕως εἰδέναι χρὴ, ὅτι τὸ φυτευόμενον ποτὲ μὲν ὅλον εἰς τὴν γῆν κρύπτεται, ποτὲ δὲ μέρος μὲν αὐτοῦ (1) τῇ γῇ περιστέλλεται, μέρος δὲ ὑπερέχει. τὰ μὲν οὖν ὅλα ἐγκρυπτόμενα οὐδεμιᾶς δεῖται σημειώσεως ἐν ταῖς ἐκλογαῖς. τὰ δὲ ὑπερέχοντα τῆς γῆς χρὴ φυτεύειν, ὡς (2) εἶχε ἐπὶ τοῦ στελέχους πρότερον πρὸς ἀνατολὴν, ἢ πρὸς μεσημβρίαν, ἢ πρὸς δύσιν, ἵνα μὴ ξενίζηται ὑπὸ τῶν ἀέρων. Τὰ δὲ φυτευόμενα, ὄμβρων μὴ γινομένων, ἐὰν ᾖ δυνατὸν, καὶ δὶς καὶ τρὶς ἀρδευτέον, ἐμβλητέον δὲ εἰς τοὺς βόθρους ἑκατέρωθεν τοῦ φυτοῦ καὶ δύο ξύλα λεῖα καὶ ὀρθὰ, ἢ καλάμους, ἢ κληματίδας συνδεθείσας, ὥστε ὑπερέχειν τῶν βόθρων· καὶ μετὰ τὸ συμπατηθῆναι τὸ φυτὸν, ταῦτα μὲν σκεπαστέον, τοὺς δὲ διακένους τόπους λίθοις λεπτοῖς ἢ ὀστρακίνοις ἀναπληρωτέον, καὶ πωμαστέον μείζονι λίθῳ, ἵνα τὸ ἀπὸ τῶν ὑετῶν ὕδωρ ἐπὶ τὰς ῥίζας (3) ἀφικνῆται. δεῖ δὲ τὰ φυτὰ παραυτίκα ἀφελόντας, φυτεύειν ἐν νοτίαις ἡμέραις. Πολυτρόπως δὲ γίνεται ἡ τῆς ἐλαίας φυτεία. Τινὲς μὲν γὰρ ἀπὸ (a) σκυτάλων φυτεύουσι· λαβόντες γὰρ κλάδους παχυτέρους, καὶ καταπρίσαντες εἰς μέγεθος πηχυαῖον,

(1) *Supplevi ex MSS.* (2) *In MSS.* ὡς ἔχειν, *Interp. legit* ὡς εἶχεν.
(3) *Emend. ex MSS. prius* ἀφικνεῖται.
(a) *Vid. quæ notavimus ad* Cap. 3. *Libri IV.*

ἔτι

οὕτω φυτεύουσι. τινὲς δὲ ἀπὸ χαρακῶν φυτεύουσιν οὕτω· καταπρίσαντες τοὺς παχυτέρους κλάδους εἰς μέγεθος πηχῶν δύο, προεμβάλλουσιν εἰς τὸν πυθμένα τοῦ βόθρου λίθον πλατύτερον, εἶτα τὸ φυτὸν ἐπὶ τούτῳ στήσαντες ὀρθὸν προσχωννύουσι γῆν. Οἱ δὲ τὰ γενναιότατα τῶν παραφυάδων μετὰ τοῦ πρέμνου φυτεύουσιν. οἱ δὲ τὰ μέλλοντα λαμβάνεσθαι φυτὰ ἐπ᾽ αὐτοῦ τοῦ στελέχους ἔτι ὄντα περικαθαίρουσι δρεπάνῳ, καὶ περὶ ἐπιτολὴν τοῦ Ἀρκτούρου ἐντιθέασιν εἰς τοὺς βόθρους. Ἕτεροι τὰ τρόπαια λεγόμενα φυτεύουσιν οὕτω· σημειωσάμενοι μίλτῳ πῶς κεῖται πρὸς ἀνατολὴν καὶ μεσημβρίαν, ἐκπρίζουσιν ἀπὸ τοῦ στελέχους (4) πηχῶν δ΄. ἢ ε΄. καὶ ἐμβάλλουσιν εἰς τοὺς βόθρους, πᾶσαν ἐπιμέλειαν ποιούμενοι. οὗτος ὁ τρόπος τῆς φυτείας ἐπιτυχθεὶς ζωοποιεῖ θᾶττον, καὶ καρποφορεῖ τάχιον. Τινὲς δὲ ἀπὸ πρέμνων φυτεύουσιν οὕτω· συγκόψαντες αὐτὰ τὰ πρέμνα εἰς κορμοὺς μείζονας, ἐπιτιθέασι τῷ βόθρῳ τοὺς κορμοὺς ἔχοντας τὸν φλοιὸν ἄνω, καὶ προσχώσαντες τῇ γῇ μετὰ κόπρου ἐπὶ παλαιστὴν ἐῶσι. Τινὲς δὲ ἐκ τῶν κατὰ γῆς μερῶν τοῦ πρέμνου ἐκκόψαντες πελεκήματα μετὰ τοῦ φλοιοῦ τετραπάλαιστα, προεμβάλλουσι λίθον εἰς τὸν πυθμένα τοῦ βόθρου, καὶ τούτῳ περιτιθέασι τῶν πελεκημάτων γ΄. ἢ δ΄. ὀρθὰ, καὶ χωννύουσιν ἐπὶ παλαιστήν. Τῆς δὲ φυτείας (5) καθ᾽ οἷον δή ποτε τρόπον γινομένης, πριζέσθωσαν τὰ φυτευόμενα πρίονι. (b) Διατηρητέον δὲ ἀκριβῶς τὸν φλοιὸν, ἵνα μὴ σπαραχθῇ, καὶ ὀξεῖ δρεπάνῳ τὴν τομὴν λειωτέον, διασώζοντας ἀκέραιον τὸν φλοιὸν, καὶ βολβίτῳ τέφρᾳ μεμιγμένῳ χριστέον τὸ κάτω μέρος τοῦ ὄρπηκος. δεῖ δὲ φυλάττεσθαι, μὴ κατὰ κορυφὴν τεθῇ ὁ ὄρπηξ· βασανιοῦμεν γὰρ τὸ φυτὸν κατὰ κορυφὴν φυτεύοντες. δεῖ δὲ κόπρον ἐμβάλλειν εἰς τοὺς βόθρους.

plantant hoc modo: Ramos craſſiores in magnitudinem cubitorum duorum ſecant, & in fundum ſcrobis lapidem latiorem injiciunt, deinde plantam ſuper ipſum rectam ſtatuunt, ac terra obruunt. Alii generoſiſſimas propagines una cum trunco plantant. Alii plantas detrahendas dum in ipſo trunco ſunt falce repurgant, & circa Arcturi ortum in ſcrobes demittunt. Alii *τρόπαια* appellata plantant hoc modo: Rubricâ notant ſitum ad orientem & meridiem, & de trunco reſecant ad longitudinem cubitorum quatuor ſive quinque, & in ſcrobes mittunt, aliam omnem diligentiam adhibentes. Hic modus plantationis (ſi bene ceſſerit) citius vivificat, & fructum citius producit. Quidam a truncis ſic plantant. Concidunt truncos ipſos in ſtipites majuſculos, eoſque in ſcrobem ponunt cortice ſurſum ſpectante, & aggeſta terra ſtercore mixto ad palmi altitudinem ſinunt. Quidam ex partibus trunci ſub terra latentibus ſegmenta quatuor palmorum longitudine una cum cortice excindunt, & lapidem in fundum ſcrobis præmittunt, & circum hunc tria aut quatuor ſegmenta ponunt, & ad palmi altitudinem obruunt. Quocunque autem modo plantatio fiat, ſerra quæ plantanda ſunt reſecentur. & diligenter cavendum eſt ne cortex laceretur, acuta etiam falce cæſura lævigetur, cortice illæſo & incolumi conſervato, ſtercore quoque bubulo admixto cinere inferna rami pars illinatur. Et imprimis cavendum eſt, ne inverſus pangatur ramus; torquebimus enim plantam, ſi inverſam plantaverimus. Stercus autem in ſcrobes injiciendum eſt.

(4) *Ita* Caſaub. *& MSS. ante* πήχεις. (5) *Ex MSS. prius conjunctim* καθοιονδήποτε. (b) *Reſpice ad notas noſtras in Cap. 5. hujus Libri.*

C A P.

CAP. XII.

Ne oleæ fructus defluat.

Democriti.

OLeæ fructus non defluet, ſi fabæ a pediculo exeſæ foramen cera occluſeris, deinde erutæ a radice glebæ fabam injeceris; & ſic terra operueris.

ΚΕΦ. ΙΒ.

Πρὸς τὸ μὴ ἀποῤῥεῖν τῆς ἐλαίας τὸν καρπόν.

Δημοκρίτου.

ΕΛαίας καρπὸς οὐ ῥεύσεται, ἐὰν κύαμον ἔχοντα φθεῖρα λαβὼν, φράξῃς τὴν ὀπὴν κηρῷ, ἔπειτα λαβὼν βῶλον ἀπὸ τῆς ῥίζης, καὶ τὸν κύαμον βαλὼν οὕτω καταχώσῃς.

CAP. XIII.

De putatione olearum.

Varronis.

OLeam poſt collectum fructum putare convenit, neque putandum eſt reciſis conſpicuæ magnitudinis ramis minorem fore fructus copiam. Plus enim fructus ramuli novelli ferent.

ΚΕΦ. ΙΓ.

Περὶ κλαδείας ἐλαιῶν.

Βάῤῥωνος.

ΤΗν ἐλαίαν μετὰ τὸ ἀποθέσθαι τὸν καρπὸν κλαδεύειν προσήκει, καὶ μὴ νόμιζε ἀφαιρεθέντων φανερῶν κλάδων ἐλάττονα γίνεσθαι τὸν καρπόν. πολλῷ γὰρ πλείονα καρπὸν ἀπὸ τῶν νέων ἕξεις ὀρπήκων.

CAP. XIV.

De ole-uva.

Africani.

OPeræ pretium eſt non prætermittere oleæ cum vite conſenſum, de quo Florentinus undecimo Georgicorum libro agit: Ait enim quod ſi quis oleam in vitem inſerat, non ſolum racemos, ſed & olivas inde provenire. Talem arborem ſe vidiſſe apud Marium Maximum perhibet, guſtaſſeque fructum; & exiſtimaſſe ſe acinum uvæ & olivæ baccam ſimul guſtaſſe. Naſci autem tales plantas in Libya prodit, vocarique patria ipſo-

ΚΕΦ. ΙΔ.

Περὶ ἐλαιοσταφύλου.

Ἀφρικανοῦ.

ΑΞιον μὴ παραλιπεῖν τὴν τῆς ἐλαίας πρὸς τὴν ἄμπελον συμπάθειαν, ἣν ὁ Φλωρεντῖνος ἐν τῷ ιαʹ. βιβλίῳ τῶν Γεωργικῶν αὐτοῦ φησί. λέγει γὰρ, ὅτι ἐάν τις ἐλαίαν εἰς ἄμπελον ἐγκεντρίσῃ, οὐ βότρυας μόνους ἐκ ταύτης γίνεσθαι, ἀλλὰ καὶ ἐλαίας. τοιοῦτον δένδρον φάσκει τε θεάσασθαι παρὰ (a) Μαρίῳ Μαξίμῳ, γεύσασθαί τε τοῦ καρποῦ, καὶ δόξαι ῥαγὸς σταφυλῆς καὶ στεμφύλου ἐλαίας ὁμοῦ γεύσασθαι. Γίνεσθαι δέ φησι τοιαῦτα φυτὰ ἐν τῇ Λιβύῃ, καλεῖ-

(a) Μαρίῳ Μαξίμῳ] Marius Maximus *a* Macrino *Imp. circa An. Chriſti* 218. Adventi *loco, Præfectura Urbis ornatus fuit, teſte* Dione Caſſio.

ϑαί τε τῇ πατρίᾳ αὐτῶν φωνῇ (1) Οὐβόλιμα. (2) κάμακας ἓν ὑποθετίον βαςάσαι δυναμένας τὸ βάρ۞ τ̃ ἐλαίας· εἰ δ' ἄλλως πως ἐγκεντρίσωμεν, οὐκ ἂν δεηθῶμεν καμάκων. πρὸς γὰρ αὐτῇ τῇ γῇ τρυπήσαντες τὴν ἄμπελον, ἐνθῶμεν τ̃ ἐλαίας τ̃ ὄρπηκα, ἵνα ἀντιλάβηται καὶ τ̃ ἀπὸ τ̃ ἀμπέλȣ γλυκύτητ۞, καὶ τ̃ ἐν τῇ γῇ φυσικῆς (3) ποιότητ۞ καὶ ἀνατροφῆς. ἀλυπότερον δ' αὐτὴν καρπωσόμεθα ὕςερον μὴ ἐπιφορτίζȣσαν τὴν ἄμπελον, εἰ λαβόντες ἐξ αὐτῆς ὄρπηκας μεταφυτεύσομεν· τηρήσει γὰρ τὴν μίξιν καὶ καθ' ἑαυτὴν ῥιζωθεῖσα. καλεῖται δ' ὁ ἐξ αὐτῆς καρπὸς ἐλαιοςάφυλ۞.

rum voce Οὐϐόλιμα. Palos igitur ſupponere oportet, qui oleæ pondus ferre poſſint: Si vero aliquo alio modo inſeramus, palis non erit opus. Etenim vite ad ipſam terram perforata, oleæ ramum immittamus, quo & dulcedinis ex vite particeps ſit, & naturalem ex terra qualitatem & alimoniam recipiat. Poſtea autem minore negotio fructum ex ipſa capiemus, ubi vitem amplius non onerat ſuo pondere, ramis nimirum ex ipſa detractis & tranſplantatis: Servabit enim & per ſe miſturam, ubi radicata fuerit. Appellatur autem fructus ejus ἐλαιοςάφυλ۞, ſeu ole-uva.

(1) *MSS.* F. L. *&* Bod. *habent* ἐβόλιμα, *ſed* V. *ut in textu.* (2) *Emend. ex MSS. ante* κάμπας ... δυναμένȣς. (3) *In MS.* V. πιότητος.

ΚΕΦ. ΙΕ.

Περὶ κόπρȣ ἐπιτηδείας (1) τῇ ἐλαίᾳ. Διδύμȣ.

CAP. XV.

De ſtercore oleæ commodo. Didymi.

ΠΑσα κόπρ۞ ἐπιτηδεία τῇ ἐλαίᾳ, δίχα τῆς ἀνθρωπείας. δεῖ δὲ τὴν κόπρον ȣ̓ κατὰ τ̃ ῥιζῶν ἐμβάλλειν, ἀλλ' ὀλίγον πόῤῥω τ̃ πρέμνων. χρὴ δὲ κοπρίζειν τὰς ἐλαίας παρὰ δύο ἢ τρία ἔτη. δεῖ δὲ τ̃ φυτεύοντα (2) ἐλαίαν παντὶ τρόπῳ κόπρον ἐμβάλλειν εἰς τȣ̀ς βόθρȣς, καὶ ἀναμιγνύειν τῇ γῇ.

OMne ſtercus oleæ commodum eſt, præter humanum. Convenit autem non ad radices injicere ſtercus, ſed paulo longius a trunco. Stercoratio vero olearum tertio aut quarto quoque anno fiat. Plantator autem olearum ſtercus ſcrobibus injiciat, ipſumque cum terra probe permiſceat.

(1) *Reſtitui ex MSS.* Caſaub. *&* Interp. *prius* ἐλαιοαμπέλȣ. (2) *Ex MSS. antea* ἐλαίας.

CAP.

CAP. XVI.

De inſitione olearum. Florentini.

EX oleis aliæ quidem tenui cortice ſunt, aliæ vero craſſo. Quæ igitur craſſum librum & humidum habent, juxta corticem inſerantur: Quæ vero tenuem & aridum corticem habent, in ipſum lignum. Tempus autem inſitionis eſt a nono calendarum Juniarum, hoc eſt, a vigeſima ſecunda die Maii, uſque ad Junias calendas. Oleæ porro inſitæ, cum aridæ ſint, aqua rigandæ ſunt. Quidam etiam in ipſas radices ex terra prominentes inſerunt.

ΚΕΦ. ΙϚ.

Περὶ ἐγκεντρισμοῦ ἐλαιῶν. Φλωρεντίνου.

De tempore plantationis citrii, ejuſque cura, & quomodo citria rubra fiant. Florentini.

CItrium plantandum eſt ab autumno uſque ad æquinoctium

(1) *Revocavi ex MSS.*

(a) Τὸ κίτριον] *Citrus Arbor* Græcis *eſt* κίτρον, *vel* κίτριον, Plinio *teſte*, Latinis *Malus Aſſyria vel Medica, unedonis folio, intercurrentibus ſpinis*, Gallis *hodie*, Un Citronnier. " *Arbor ipſa* (inquit Plinius) *omnibus* " *horis pomifera eſt, aliis cadentibus, aliis matureſcentibus, aliis ſubna-* " *ſcentibus. Poma* Veteribus, *ut primum inventa, in cibis non erant, ſed ob miram odoris fragrantiam inter veſtes repoſita, unde* Veſtis citroſa *apud* Nævium. Athenæus *pag.* 83. *ex* Jubæ *de Libya commentariis refert, citrum ab* Afris *Heſperidum malum vocari*, -- ἀφ' ὧν καὶ Ἡρακλέα κομίσαι εἰς τὴν Ἑλλάδα τὰ χρύσεα διὰ τὴν ἰδέαν λεγόμενα μῆλα. *Alia ejus origo notatur ex* Aſclepiadis *Ægyptiacis, terram ſcilicet in* Jovis *&* Junonis *nuptiis* vernum,

vernum. Gaudet aqua larga, & ſoli omnium arborum auſter prodeſt, boreas vero obeſt. Quandoquidem autem gravis eſt fructus, decerpere ſane oportet multos & paucos relinquere. Sic enim habitiores fiunt. Cæterum juxta muros citrium plantandum eſt, ut munimentum habeat adverſus ſeptentrionales partes. Circumdatur per hyemem ſtoreis, & maxime cucurbitarum ſarmentis. Naturalem enim quandam contrarietatem habent, ut ipſum a frigore illæſum tutentur. Quapropter lignoſiora & craſſa ſarmenta cucurbitarum uramus, horumque cinerem citrii radicibus adſpergamus. Ipſe autem citrii fructus, ſi, priuſquam ad juſtam magnitudinem creverit, in vas fictile aut vitreum ponatur, augeſcens ad vaſis figuram formabitur, tantuſque fiet, quanta eſt vaſis magnitudo: videtur enim fructus, quaſi certamine inito, hoc induſtrie præſtare. Oportet autem vaſi per-

νῆς. χαίρει δὲ ὕδατι ἀφθόνῳ· μόνον δὲ τοῦτο ἀπὸ ὅλων τῶν δένδρων ὑπὸ νότου ὠφελεῖται, ὑπὸ βοῤῥᾶ δὲ βλάπτεται. ἐπειδὴ δὲ βαρύς ἐστιν ὁ καρπὸς, ἀφαιρεῖν χρὴ τὰ πολλὰ καὶ ὀλίγα καταλιμπάνειν. οὕτω γὰρ καὶ εὐτραφέστερα γίνεται. Δεῖ δὲ πρὸς (b) τοῖς τοίχοις ταῦτα φυτεύειν, ἵνα ἔχῃ ἔρυμα πρὸς τὰ ἀρκτῷα μέρη. περιβάλλεται δὲ (2) διὰ τὸν χειμῶνα ψιάθοις, μάλιστα δὲ τοῖς κλήμασι τῶν κολοκυνθῶν. ἔχουσι γάρ τινα φυσικὴν ἀντιπάθειαν, πρὸς τὸ ἀπὸ τοῦ κρύους ἀσινεῖς αὐτὰς διαφυλάττεσθαι. διὸ τὰ ξυλωδέστερα καὶ (3) παχέα (c) κλήματα κολοκυνθῶν καύσαντες, τὴν τούτων τέφραν ταῖς ῥίζαις τοῦ κιτρίου περιπάσσειν χρή. Ὁ δὲ καρπὸς τοῦ κιτρίου, πρὶν (4) τέλειον αὐξῆσαι, ἐὰν εἰς ἄγγος κεράμειον ἢ εἰς ὑέλινον (5) ἐντεθῇ, αὐξανόμενος τυπωθήσεται πρὸς τὸ ἀγγεῖον, καὶ τοσοῦτος γενήσεται, ὅσον καὶ τὸ τοῦ ἀγγείου μέγεθος· ἔοικε γὰρ ὁ καρπὸς πρὸς τοῦτο ἁμιλλᾶσθαι.

hunc fructum edidiſſe. Duo nobis afferuntur genera, alterum oblongum, quæ Limones a Noſtratibus *vocantur, alterum orbiculari forma, Aurantiorum nomine ſatis nota; Infimæ* Græcitati, *&* Nicandri *Scholiaſtæ*, Νεράντζια. Iſ. Caſaubonus *meminit pomorum Orenziorum, in quibus unicum tantum fuit granum, cum vulgo ſoleant eſſe in ſingulis cellulis ſingula; talia ſe vidiſſe ait* Montis Peſſulani, *eaque maxima, & ſucci pleniſſima.* Κίτριον (Athenæi *verba*) προσλαμβανόμενον ἀντιφάρμακόν ἐστι παντὸς δηλητηρίου, *quod adſtruit egregia de Maleficis Ægyptiis hiſtoria.* " *Grana (inquit* Plinius) *Parthorum proceres incoquebant eſculentis,* " *commendandi halitus gratia. Vid.* Theophr. *Pag.* 76, 7. Athenæum *Pag.* 83, 4. Dioſcor. *p.* 80. Pallad. *pag.* 95. Salm. *in* Sol. *&* Euſtath. *in* Η'. Ὀδυσ. *pag.* 474.

(b) Τοῖς τοίχοις] Pallad. *p.* 95. " *Sed ſiquis hoc genus, ut in regione* " *frigida nutriatur, extorquet, loco vel parietibus munito, vel in Meridia-* " *nam partem verſo, diſponat hanc arborem. Sed hibernis menſibus tectum* " *gramine velet agreſti.*

(2) *In MS.* V. *ſcrib.* διὰ τοῦ χειμῶνος, *& in MSS.* F. L. *&* Bod. ψιαθίοις. (3) *Ita legendum quis non videt? prius* παχεῖα.

(c) Κλήματα τῶν κολοκ.--] Idem *pag. cit.* " *Citreum juvari creditur, ſi* " *cucurbitæ vicinis locis ſerantur: quarum vites etiam combuſtæ utilem* " *citri arboribus cinerem præbent.*

(4) *Ex MS.* Barocc. *ante* τέλαιον. (5) *Reſtitui ex MSS. prius* τυπωθῇ.

δεῖ δὲ τῷ ἀγγείῳ διάπνοιαν, τουτέστιν ὀπὰς, ἐμποιεῖν. Εἰδέναι δὲ χρὴ, ὅτι τὸ κίτριον ἐνοφθαλμιζόμενον ἄφορον ἔσται, διὸ τῷ διὰ σαρκὸς τρόπῳ ἐγκεντρίζεσθαι χρὴ, ὥσπερ καὶ τὰς ἀμπέλους. (6) Κίτρια δὲ εἰ θέλει μέλανα ποιῆσαι, μηλέας κλάδον τῇ κιτρέᾳ ἐγκέντριζε, καὶ τὸ ἀνάπαλιν. μῆλον δὲ ἐγκεντριζομένης κιτρέας, καὶ τὸ ἀνάπαλιν, γένοιτο ἄν. Ἐὰν δὲ τὸν καρπὸν γύψῳ (7) πεφυραμένῃ καταχρίσῃς, ἀσινῆ τοῦτον καὶ διὰ παντὸς (8) φυλάξεις. τοῦτο τὸ φυτὸν, κἂν ἐπ' ὀλίγον κρυστάλλου μετάσχῃ, ὡς φύσει ὂν τρυφερώτερον, καιόμενον ἀπόλλυται. τινὲς δὲ τῶν πλουσίων καὶ τρυφώντων, ὑπὸ στοαῖς πρὸς ἥλιον ὁρώσαις παρὰ τὸν τοῖχον τὰς κιτρέας φυτεύουσιν, ὕδατι δὲ ἀφθόνῳ ἀρδεύουσι· καὶ τοῦ μὲν θέρους ἀστεγάστους καταλιμπάνουσι τὰς στοὰς, τῷ ἡλίῳ θάλπειν παρέχοντες τὰ φυτά, προσιόντος δὲ τοῦ χειμῶνος, στεγάζουσι (9) τὰ φυτά. Εἰ δὲ βούλει κίτρια ἐρυθρὰ ποιῆσαι, ἐγκέντρισον ἐξ αὐτῶν εἰς συκάμινον, καὶ τὸ ἀνάπαλιν, καὶ γίνεται ἐρυθρὰ τὰ κίτρια, οἴσει δὲ καὶ ἑκάτερον τὸν καρπόν. ἐγκεντρίζεται δὲ (10) τὸ κίτριον καὶ εἰς ῥοιάν.

ſpirationem relinquere, hoc eſt foramina incutere. Verum noſſe expedit, quod citrium ſi inoculetur ſterile erit, quare ad modum inſitionis per carnem inſerere convenit, quemadmodum & vites. Citria autem ſi velis nigra facere, mali ramum citro inſere, & vice verſa. Malum vero citro inſita, & vice verſa, [nigrum] fiat. Porro ſi fructum gypſo ſubacto illeveris, integrum & per totum etiam annum conſervabis. Ipſa planta, etiam ſi parum gelu ſenſerit, aduſta perit, utpote quæ natura tenerior ſit. Quidam divites & deliciis gaudentes, ſub porticus ad ſolem ſpectantes juxta murum arbores citrias plantant, & aqua larga rigant: atque æſtate quidem apertas eſſe porticus ſinunt, plantas ſole foveri ac calfieri permittentes, hyeme vero accedente, plantas tegunt. Quod ſi rubra citria facere velis, inſere citrum in morum, & vice verſa, & citria rubra fient, & arbor utrumque fructum feret. Poteſt etiam citrium in punicam inſeri.

(6) *Duas haſce* περικοπὰς, *a* κίτρια *ad* γένοιτο ἄν, *ſupplevi ex MSS.* Barocc. & Palatinis. (7) *Ita MSS. prius* περιφυραμένῃ. (8) Interp. *addit* ἔτους, *ut inferius Cap.* 10. *hujus Libri.* (9) *Revoc. ex MSS.* & Interp. (10) *Præced. voculam delendam ſuadebat MSS. conſenſus.*

ΚΕΦ. Η.

Ἕτερον περὶ φυτείας κιτρίου. Ἀνατολίου.

Τινὲς δὲ τὰ κίτρια οὐ (1) πασσάλοις μόνον φυτεύουσιν, ἀλλὰ καὶ ἀπὸ κορύνης, καμπτομένου τοῦ κλωνίου, οὕτως ἐν τῷ ὀρύγματι καταπήγνυνται (2) αἱ δύο ἀρχαὶ τοῦ κλω-

CAP. VIII.

Aliud de plantatione citrii. Anatolii.

QUidam citria non ſolum a talea plantant, ſed etiam a clava, incurvato videlicet ramo, atque ita duo rami cacumina in ſcrobem depanguntur, & adobruuntur, ipſumque

(1) *Ita legend. cenſeo, refragant. licet MSS. pr. Ed.* πασσάλους. (2) *Ex MSS. ante* τὰς δύο ἀρχὰς ... ἐγχωννύουσιν. ἄνωθεν οὖν--.

que germen ſurſum erumpit e fornice, ſi ita dicere liceat. Quidam nodoſas citrii plantarum taleas, quæ incurvari non poſſunt, inverſas plantant, craſſiore parte ſurſum ſpectante, tenui in terram defixa, & cinere cucumerariorum ſimul injecta.

νίου, καὶ ἐξχώννυνται, καὶ ἄνωθεν ἐκβάλλει τὸν βλαστὸν, ὡς εἰπεῖν, ἀπὸ τῆς καμάρας. Οἱ δὲ καὶ τὰ κονδυλώδη πασσάλια τῶν κιτροφύτων, τὰ μὴ δυνάμενα καμφθῆναι, (3) κατὰ κεφαλῆς φυτεύουσι, τὸ παχύτερον ἄνω, τὸ δὲ λεπτὸν μέρος εἰς τὴν γῆν πηγνύντες, καὶ συνεμβάλλουσι τὴν τῶν (4) σικυηλάτων τέφραν.

(3) *In MSS.* κατακέφαλα. (4) *Sic legend. nullus dubito, ante, ut & in MSS.* συκηλάτων.

CAP. IX.

Quomodo citrium facias figuram cujuſcunque aviculæ referre, aut hominis faciem exprimere, aut alîus animantis. Africani.

PRædictum citrii fructum formam reddere facies vel humanæ faciei, vel alterius animalis, hoc modo. Gypſo aut luto illud intege, & ſiccatum in duas partes inſtrumento quopiam acuto ſeca, ita ut anterior & poſterior pars aptari ac committi queant, indeque ſiccatum in figlinis torre. Quum vero fructus ad dimidiam partem augmenti ſui creverit, formas illas circumdatas vinculis diligenter conſtringe, ne ab augeſcente fructu divellantur, ſive id pyrum, ſive malum, ſive punicum aut citrium fuerit, & ſuſcipiet formas. Et ut in ſumma hoc dicatur, fructus omnes molles in animalium formas coget, quiſquis in formas exſculptas incluſos augeſcere permittet.

ΚΕΦ. Θ.

Ὥστε κίτρον ποιῆσαι φέρειν ἐκτύπωμα οἱουδήποτε ὀρνέου, ἢ (1) μιμεῖσθαι πρόσωπον ἀνθρώπου, ἢ ἄλλου ζώου. Ἀφρικανοῦ.

Εἰδωλόμορφον τὸν προειρημένον καρπὸν ποιήσεις εἰς πρόσωπον ἀνθρώπου, ἢ ἄλλου ζώου, (1) κατὰ τόνδε τὸν τρόπον. περιπλάσας τοῦτο τῇ γύψῳ ἢ πηλῷ, καὶ ἐάσας ψυγῆναι τέμνε ὀξεῖ τινι, (3) καὶ διμερῶς ποιήσας ἐμπρόσθιον καὶ ὀπίσθιον ὥστε συναρμόσαι, ξηράνας (4) ὄπτησον εἰς τὰ κεραμεῖα. ὅταν δὲ ὁ καρπὸς τὸ ἥμισυ τῆς ἰδίας αὐξήσεως ἔχῃ, περιθεὶς τοὺς τύπους ἀσφάλιζε δεσμοῖς ἐπιμελῶς, ἵνα μὴ διασπασθῶσιν ἀπὸ τῆς αὐξήσεως τοῦ περιειλημμένου, ἐάν τε ἄπιον, ἐάν τε μῆλον, ἐάν τε ῥοιὰ ἢ κίτριον ὑπάρχῃ, καὶ (3) ἀποδέξεται τοὺς τύπους. συντόμως δὲ τοῦτο εἰπεῖν, ζωοειδεῖς τὰς ὀπώρας συμβαίνει γίνεσθαι, διὸ εἰς τύπους γεγλυμμένους ἐνθείς τις αὐξάνειν ἐάτω.

(1) *Supplevi ex MSS.* & Interp. (2) *In MSS. ſcrib.* ἔχοντος τὸν τρόπον τοῦτον. (3) *Reſtitui ex MSS. prius* --- τινι, διμερὲς--. (4) *Hic delevi* οὖν *auctor. MSS.* (5) *Emend. ex MSS.* F. L. & Bod. *prius* ἀπόδεξαι.

ΚΕΦ. Ι.

Περὶ διαμονῆς καὶ ἀποθέσεως κιτρίων. Σωτίωνος.

Ἐὰν τὸν καρπὸν τοῦ κιτρίου γύψῳ πεφυραμένῃ καταχρίσῃς ἐπιμελῶς, ἀσινῆ τοῦτον καὶ διὰ παντὸς τοῦ ἔτους ἀκέραιον φυλάξεις. [(1) ἰστέον δὲ, ὅτι] τὰ κίτρια ἐν κριθαῖς ἐγκρυπτόμενα οὐ σήπεται.

CAP. X.

De ſervandis & reponendis citriis. Sotionis.

SI citrii fructum gypſo probe ſubacto illeveris, illæſum & per totum annum integrum conſervabis. Citria in hordeo occultata & obruta non putreſcunt.

(1) *Hæc non comparent in MSS. aut* Interp. *& quidem ſalvo ſenſu abeſſe poſſint. De Citriorum autem cura, & diuturna aſſervatione, conſul.* Pallad. *p.* 94.

ΚΕΦ. ΙΑ.

Περὶ φυτείας πιστακίων. Διοφάνους.

Λαβὼν τὸν καρπὸν ἀλέπιστον, τουτέστι τὰς λεπίδας πάσας ἀσινεῖς ἔχοντα, φύτευσον κατὰ τὸν προειρημένον τρόπον. Δίδυμος δὲ ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι, τὸ πιστάκιον ἐγκεντρίζεσθαι εἰς ἀμυγδαλῆν.

CAP. XI.

De plantatione piſtaciorum. Diophanis.

FRuctum piſtaciorum non deſquamatum, hoc eſt, ſquamas omnes illæſas habentem, juxta prædictum modum plantato. Didymus autem in Georgicis ſuis ait, piſtacium in amygdalam inſeri.

ΚΕΦ. ΙΒ.

Ἕτερον περὶ φυτείας ψιττακίων. Δαμογέροντος.

(a) Ψιττάκια σπείρεται περὶ καλανδῶν Ἀπριλλίων, ἄῤῥεν καὶ θῆλυ συνηρμοσμένα τὰς φύσεις, τοῦ ἄῤῥενος τὰ νῶτα πρὸς τὸν ζέφυρον ἔχοντος. οὕτω γὰρ τὸν καρπὸν εὐ-

CAP. XII.

Aliud de plantatione piſtaciorum. Damogerontis.

PIſtacia ſeruntur circa calendas Apriles, mas & fœmina conjunctis naturis, maris dorſo ad favonium ſpectante. Sic enim fructum plenum producent. Eodem

(a) Ψιττάκια-] *Ita ſcribit* Athenæus, *niſi corruptus ſit codex,* Nicander Πιστάκια, Poſidonius Stoicus Βιστάκια. *Piſtacia ex nucum genere (teſte* Plinio) *in Syria proveniunt. Prodeſſe adverſus ſerpentium traduntur morſus, & potu & cibo. A* Nicandro, *in Theriacis,* Indiæ *adſcribuntur.* Pallad. *pag.* 152. " *Piſtacia ſeruntur Autumno & menſe Octobri, ſobole* " *& nucibus ſuis : ſed melius ipſa piſtacia juncta ponuntur mas & fœ-* " *mina. Marem dicunt, cui ſub corio velut oſſei longi videntur latere* " *teſticuli.*

tempore etiam inſeruntur tum in ſuum genus, tum in terebinthum, atque, ut opinor, etiam in amygdalam. Paxamus jubet, ſcrobes prius faciendas eſſe in locis ſoli expoſitis & probe ſubactis, & arborum ſtolones novellos & vegetos ſimul colligatos in ſcrobem deponendos eſſe ſecunda lunæ die, & a terra uſque ad ramulos conſtringere jubet, & ſcrobem ſtercorare, adobruereque & paſtinare, curareque ut poſt octonos dies rigentur, & per totidem rurſus conſtringantur: Poſtquam vero triennales fuerint trunci, effodere juxta radicem ipſam ſcrobem, & bene ſtercorare, & truncum inferius aliquantulum depangere, atque ita aggere obruere, ne cum magna facta ſit arbor, & ventus vehementer ſpiret, arbor decidat.

φορήσουσι πλήρη. ἐπικεντρίζεται δὲ κατὰ τὸν αὐτὸν καιρὸν εἴς τε τὰ ὁμογενὲς, καὶ εἰς (b) τέρμινθον, οἶμαι δ' ὅτι καὶ εἰς ἀμυγδαλάς. (1) Πάξαμός φησι, βόθρους προποιῆσαι εἰς τόπους εὐηλίους καλῶς εἰργασμένους, καὶ λαβεῖν δένδρων μοχεύματα ἀκμαῖα, νέα, καὶ ταῦτα συνδῆσαι ὁμοῦ, καὶ καταθέσθαι ἐν τῷ βόθρῳ, σελήνης δευτέρας οὔσης, καὶ ἀπὸ τῆς γῆς σφίγξαι ἄχρι τῶν κλάδων (2) αὐτοῦ, καὶ κοπρίσαι τὸν βόθρον, ἐπιχῶσαί τε καὶ γυρῶσαι, καὶ ἐπιμελεῖσθαι (3) ποτίζοντας περ' ἡμέρας η'. καὶ διὰ τῶν ἴσων ἐπισφίγγειν πάλιν· ὅταν δὲ τελετῆ γένηται) τὰ στελέχη, (4) ὀρύξαι παρὰ τὴν ῥίζαν τοῦ βόθρου εὖ μάλα, καὶ κοπρίσαι, καὶ ἐγκαθίσαι τὸ στέλεχος κατώτερον, καὶ ἐπιχῶσαι, ὅπως μεγάλου γινομένου τοῦ δένδρου, καὶ ἰσχυροῦ πνεύσαντος ἀνέμου, μὴ καταπέσῃ (5) τὸ δένδρον.

(b) Τέρμινθον] Idem *loco cit.* " *Inſeritur Terebintho, menſe Februario,* " *vel Martio: at alii Amygdalo inſeri poſſe firmarunt.*

(1) *MS.* F. *habet* Ὁ δέ γε Πάξαμος-. (2) Barocc. αὐτῶν. (3) *Supplevi ex* Caſ. *& MSS.* (4) Interp. *legiſſe videtur, & rectius quidem*, ὀρύξαι περὶ τὴν ῥίζαν τὸν βόθρον, εὖ μάλα καὶ κοπρίσαι,--. (5) *Hæc revocanda ſuadebat MSS. &* Interp. *conſenſus.*

CAP. XIII.

De plantatione duracinorum, & cura circa eadem habenda. Florentini.

DUracina aquoſis locis gaudent, aut aſſidue rigatis. Sic enim

ΚΕΦ. ΙΓ.

Περὶ φυτείας δωρακινῶν, καὶ ἐπιμελείας. Φλωρεντίνου.

(a) ΤΑ δωρακινὰ χαίρει ὑδρηλοῖς χωρίοις· εἰ δὲ μὴ, συν-

(a) Τὰ δωρακινὰ-] Janus Gruterus *nomen accepiſſe autumat a* Dora Perſidis *inſula, Vid.* Stephanum *V.* Δῶρα. *Ita vero dicta videntur, quod caro oſſibus facile avelli nequeat: Ita* Plinius *Tom.* 3. *Pag.* 210. " *Etenim duracinis Perſicis adhæret corpus, lignoque avelli nequit; cum* " *in cæteris facile ſeparetur.* Perſicorum *genera ſeptem enumerat, Perſica, Duracina, Gallica, Aſiatica, Præcocia vel Præcoqua, Supernatia quæ e Sabinis veniunt, & Popularia. Vid.* Athen. *pag.* 82. Pallad. *pag.* 163, 4. Ant. *Mizaldum,* Fol. 133, 4. Plin. *Tom.* 3. *Pag.* 182, 4. *&* Salm. *in* Sol. *Pag.* 604, 5.

σκοῦς (1) ποτιζομένοις. οὕτω γὰρ μείζων γίνεται ὁ καρπός. τινὲς δὲ ἀφαιροῦσι τὰ πολλὰ περσικά, καὶ ὀλίγα καταλιμπάνουσιν ἐν τῷ δένδρῳ. οὕτω γὰρ ἔσται μείζονα, τῆς τροφῆς εἰς ὀλίγα χωρούσης. (2) εὐαυξῆ δὲ γίνεται τὰ φυτά, ἐὰν ἅμα τῷ φαγεῖν σπείρωμεν τὸ ὀστοῦν, ἐγκαταλιπόντες τι τῆς σαρκὸς περὶ τὰ ὀστέα. ἐπειδὴ δὲ ἴσμεν τὸ δωράκινον ταχέως γηράσκον, δεῖ τοῦτο ἐπικεντρίζειν εἰς δαμασκηνόν, ἢ εἰς ἀμυγδαλῆν πικράν, ἢ εἰς (3) βάρβιλον. (b) Βάρβιλος δὲ κυρίως καλεῖται, τὸ ἀπὸ ὀστέου περσικοῦ φυόμενον δένδρον.

fructus major evadit. Quidam multa perſica tollunt, & pauca relinquunt in arbore. Sic enim majora erunt, alimento in pauca cedente. Majores autem fiunt plantæ, ſi, ſimul ut ederimus, oſſa ſeramus, parte aliqua carnis circa oſſa relicta. Quum vero notum ſit duracinum cito ſeneſcere, in damaſcenorum arborem, aut in amygdalam amaram inſerendum eſt, aut etiam in barbilum. Βάρβιλος autem proprie vocatur, arbor ex oſſe perſici enata.

(1) *Emend. ex MSS. ante* ποτιζόμενα, *in MSS.* V. F. L. & Bod. συνεχὲς ποτ. *ſed* Bar. *ut in textu.* (2) *MSS.* V. F. & Interp. εὐαξῆ. (3) *In MSS.* F. L. & Bod. βράβηλον. βράβηλος--.

(b) Βάρβιλος--] Athenæus *p.* 49. *notat ex* Clearcho *Peripatetico*, Rhodiis & Siculis *pruna vocari* βράβυλα, *ut in iſto* Theocriti *v.* Ὄρπηκες βραβύλοισι &c. Ἔστι δὲ (inquit Ath.) τοῦτο τὸ ἀκρόδρυον μικρότερον μὲν τῇ περιφορᾷ τῶν κοκκυμήλων, τῇ δ' ἐδωδῇ τὸ αὐτό, πλὴν ὀλίγον δριμύτερον. *Ibidem ex* Seleuci Γλώσσαις *refert*, βράβυλα *dicta eſſe* οἷον τὴν βορὰν ἐκβάλλοντα, ὅτι εὐκοίλιά εἰσι. *Vid.* Suid. *in V.* Βράβυλα. Euſtath. *in* K. Ὀδυσσ. *pag.* 395. *Edit.* Baſil. Κράνεια δὲ παροξυτόνως, τὸ φυτόν· Ὁ δὲ καρπὸς αὐτῆς σεσίγηται μὲν Ὁμήρῳ διὰ τὸ δυσεκφώνητον· καλεῖται δέ, φασί, πίπλαξις. Οἱ δὲ βάρβιλον φασιν.

ΚΕΦ. ΙΔ.

Καταγραπτὰ περσικὰ ποιῆσαι. Δημοκρίτου.

Γραπτὸν περσικὸν ποιήσομεν οὕτω. μετὰ τὸ βρωθῆναι τὸν καρπὸν τοῦ δωρακίνου, βρέξον ἐπὶ δύο ἢ τρεῖς ἡμέρας τὸ ὀστοῦν, καὶ ἠρέμα ἄνοιξον, καὶ τὴν εὑρισκομένην ἔνδοθεν τοῦ ὀστέου ἀμυγδάλην λαβών, ἐπίγραψον ἐν τῷ ταύτης φλοιῷ χαλκῷ γραφείῳ εἴ τι ἂν βούλει μὴ βαθέως, εἶτα παπύρῳ εἰλήσας φύτευσον. ὅπερ γὰρ ἂν ἐπιγράψῃς ἐν τῇ ἀμυγδάλῃ, τοῦτο ἐν τῷ καρπῷ εὑρήσεις. τινὲς δὲ καὶ ἐπὶ ἀμυγδαλῆς τοῦτο ποιοῦσιν.

CAP. XIV.

Inſcripta perſica ut naſcantur. Democriti.

PErſicum inſcriptum ſic faciemus. Poſtquam duracini fructum comederis, oſſiculum ad dies duos ſive tres macerato, & leniter aperito, & repertam intra os amygdalam ſive nucleum eximito, & in ejus cortice ſtylo æreo inſcribito quicquid tandem libuerit non alte, deinde papyro involutum plantato. Quicquid enim in amygdala inſcripſeris, hoc ipſum in fructu reperies. Quidam etiam hoc in ipſa amygdala faciunt.

CAP. XV.

Duracina rubra faciendi modus. Ejuſdem.

RUbra facies duracina, roſis ſub ipſas plantas conſitis. Facies & alio modo fructum rubicundum. Si enim obrutum perſici os poſt dies ſeptem detexeris, (in his enim diebus ſua ſponte aperitur) & cinnabari intra oſſiculum infuderis, & obrutum curaveris, inde rubra perſica habebis. fortaſſis etiam, alium colorem ſi infundere libuerit, eundem quoque fructui affricabis.

ΚΕΦ. ΙΕ.

(1) Δωρακινὰ ἐρυθρὰ ποιῆσαι. Τοῦ Αὐτοῦ.

Ἐρυθρὰ ποιήσεις τὰ δωρακινὰ (a) ῥόδα φυτεύων ὑπὸ τὰ φυτά. ποιήσεις δὲ καὶ καθ' ἕτερον τρόπον ἐρυθρὸν τὸν καρπόν. εἰ γὰρ ἐγχώσας τὸ ὀστέον τοῦ περσικοῦ μετὰ ζ'. ἡμέρας ἀποκαλύψεις (2) καὶ ἀνοίξεις, (ἀνοίγεται γὰρ ἐν ταύταις ταῖς ἡμέραις αὐτομάτως) καὶ ἐπιχέῃς (b) κιννάβαρι εἰς τὸ ἐντὸς τοῦ ὀστέου, καὶ χώσας τοῦτο ἐπιμελείας ἀξιώσεις, ἕξεις ἐντεῦθεν ἐρυθρὰ τὰ περσικά. ἴσως δὲ, (3) εἰ καὶ ἄλλο χρῶμα βούλοιο ἐγχέειν, τοιοῦτο καὶ τὸ χρῶμα τοῦ καρποῦ μεταποιήσεις.

(1) *MSS.* V. & F. Ὥστε τὰ δωρ. Long. & Bod. Ὥστε δωρ.

(a) Ῥόδα φυτεύων-] *Hinc forſan alibi* Rhodacena *dicta ſunt.*

(2) Caſaub. & Interp. *non agnoſcunt* καὶ ἀνοίξεις.

(b) Κιννάβαρι] *Cinnabaris tria genera* Vett. *memorantur, nativa duo, unum factitium. Cinnabaris nativa, Indica cognominata, arborum eſt lachryma in* Dioſcoridis *inſula naſcentium, teſte Auctore Peripli Maris Rubri. Ejuſmodi Arborum in Sti. Portus inſula meminerunt* Aloiſius Cadamuſtus Venetus, *citante* Saraceno, Agricola, *Aliique.* Sanguis Draconis *Officinarum; fabulam docebit* Plin. *Tom.* 4. *Alia in Hiſpania & Colchis naſcens, valde dura & lapidoſa, teſtibus* Theophr. & Plinio. *Tertia factitia ex lapide quodam in argenti & plumbi fodinis, fornace cocto: de quo* Dioſc. *Lib. V.* Σκευάζεται δὲ ἐν Ἰσπανίᾳ ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρίτιδι ψάμμῳ, ἄλλως δὲ οὐ γνώσκεται. ἐν δὲ τῇ χώνῃ μεταβάλλει εἰς εὐανθέστατον καὶ φλογωδέστατον χρῶμα. *Ita* Plinius *Tom.* 5. *Pag.* 59. Theophr. *de* Lapid. *Minii, ſive Cinnabaris, meminit, ex arena quadam in argenteis metallis nitente confici ſoliti, non per ignem, ſed lotium & trituram. In* Heſychio. Κιννάβαρι, εἶδος χρώματος ἀληθινοῦ, ὃ λέγομεν κόκκινον, καὶ παρὰ τοῖς ζωγράφοις. *Conſ.* Plinium *Tom.* 5. *Pag.* 58. Theophr. *de* Lapid. *Pag.* 399. H. Steph. *V.* Κιννάβαρι, & Du Freſne, Dioſcor. *Lib. V. Cap.* 109. & Salm. *in* Solinum, *p.* 1157.

(3) *Hanc voculam revoc. ex MSS.*

ΚΕΦ. Ιϛ.

Περσικὰ δίχα ὀστέου ποιῆσαι. Ἀφρικανοῦ.

ΚΑτὰ μέσον τὸ πρέμνον διατρήσας, καὶ τὴν ἐντεριώνην διακόψας, ἰτέας ἢ κρανέας πάσσαλον ἔμπηξον.

CAP. XVI.

Quomodo perſica ſine oſſe proveniant. Africani.

TRuncum arboris in medio perforato, & medulla diſciſſa ſalicis aut corni paxillum impinge.

ΚΕΦ. ΙΖ.

Περὶ ἐγκεντρισμοῦ δωρακινῶν. Διδύμου.

ΤΟ δωρακινὸν ἐγκεντρίζεται εἰς ἀμυγδαλῆν, δαμασκηνὸν, καὶ εἰς πλάτανον, ἀφ' ἧς γίνεται ἐρυθρὰ τὰ δωρακινά.

CAP. XVII.

De inſitione duracinorum. Didymi.

DUracinum inſeritur in amygdalam, damaſcenum, & platanum, ex qua etiam rubicunda duracina naſcuntur.

ΚΕΦ ΙΗ.

Περὶ καιροῦ φυτείας μήλων, καὶ πάσης αὐτῶν ἐπιμελείας. Ανατολίου.

ΤΑ μῆλα ἐν διτταῖς ὥραις τοῦ ἔτους φυτευτέον, ἔν τε τῷ ἔαρι, καὶ ἐν τῷ φθινοπώρῳ. κάλλιον δὲ φυτεύειν ἐν τῷ φθινοπώρῳ ἐν τοῖς ἀνύδροις τόποις μετὰ τοὺς πρώτους ὄμβρους. χαίρει δὲ τὰ μῆλα ψυχροῖς καὶ νοτεροῖς καὶ μελαγγείοις τόποις. οὐ βρωθήσεται δὲ ταῦτα ὑπὸ σκωλήκων, σκίλλης περιφυτευομένης αὐτοῖς. τὴν δὲ σκώληκας ἔχουσαν θεραπεύσεις, (1) χοιρείαν κόπρον κεχυλισμένην οὔρῳ ἀνθρωπείῳ περιχέων ταῖς ῥίζαις. πάνυ γὰρ χαίρει ἡ μηλέα τῷ οὔρῳ, καὶ δεῖ ταύτην συνεχῶς ποτίζειν. Τινὲς δὲ καὶ κόπρον αἰγείαν τῷ οὔρῳ προστιθέασι, καὶ οἴνου παλαιοῦ τρύγα ταῖς ῥίζαις ἐγχέουσι, γλυκύτερον τὸν καρ-

CAP. XVIII.

De tempore plantationis malorum, & omni eorum cura. Anatolii.

MAla duobus anni temporibus plantanda ſunt, & vere, & autumno. Præſtat autem plantare autumno in locis ſiccis poſt primos imbres. Gaudent mala locis frigidis & humectis ac nigra terra. Non erodentur autem a vermibus, ſcilla circum ipſa plantata. Quæ vero jam vermes habet curabitur, ſuillo ſtercore urina humana ſucculento facto, & radicibus affuſo. Valde enim gaudet malus urina, & hæc aſſidue eſt irriganda. Quidam etiam ſtercus caprinum ad urinam addunt, & vini veteris fæcem radicibus affundunt, fructum dulciorem effici-

(1) *Emend. ex MSS. in pr. Ed.* χοιρείαν κόπρον κεχυλισμ. *Quamvis & χοῖρος, eliſo* ε, *apud* Galenum *legatur.*

entes

entes. Ægrotantem autem malum curabis ſtercore aſinino aqua ſoluto rigatam ad dies ſex ſole occidente frequentius per intervalla, donec germen erumpat. Quod ſi velis eam multum fructus ferre, & eum non abjicere, de canali plumbeo oſculum latum reſeca, eoque truncum obliga, aut conſtringe, altitudine pedis a terra. Ubi vero florere cœperint mala, vinculum ſive amuletum tolle, hoc ſingulis annis fiat, & fertilis erit. Ut vero fructus in arbore non computreſcat, neque ipſum eruca contingat, lacerti viridis felle truncum illine. Oportet autem plantas malorum viviradices accipere generoſiſſimas, & ponere in ſcrobibus, ſummitate tantum ſupra terram relicta. Radices plantæ ante plantationem taurino felle oblinantur. Hæc enim planta cito a vermibus injuria afficitur. Moleſtos autem vermes etiam clavo æreo eruere oportet, cortice excoriato donec beſtiola deprehendatur: Loci vero ulcerati fimo bubulo illinantur.

τὸν ἐργαζόμενοι. νοσοῦσαν δὲ μηλέαν θεραπεύσεις κόπρῳ (2) ὀνείᾳ κεχυλισμένῃ ὕδατι ποτίζων ἐπὶ ἓξ ἡμέρας ἡλίου δύνοντος συνεχέστερον ἐκ διαστημάτων, μέχρις ἂν βλαστήσῃ. Εἰ δὲ βούλει αὐτὴν πολὺν τὸν καρπὸν φέρειν, καὶ τοῦτον μὴ ἀποβάλλειν, σωλῆνος μολιβδίνου ἀπότεμε τὸ πλατὺ στόμα, καὶ ἀπὸ γῆς ὕψος πόδα τῷ στελέχει περίδησον, ἢ περίσφιγξον. ὅταν δὲ ἄρξηται ἀκμάζειν τὰ μῆλα, ἄφελε τὸ περίαμμα, τοῦτο δὲ κατ' ἔτος γινέσθω, καὶ εὐθαλήσει. Ἵνα δὲ μὴ σήπηται ὁ καρπὸς ἐν τῷ δένδρῳ, μηδὲ κάμπη αὐτοῦ ἅπτηται, (a) σαύρου χλωροῦ τῇ χολῇ περιάλειφε τὸ στέλεχος. δεῖ δὲ τὰ φυτὰ τῶν μήλων αὐτόρριζα λαμβάνειν ὡς εὐγενέστατα, καὶ ἐντιθέναι εἰς τοὺς βόθρους, τὸ ἄκρον μόνον ὑπέργειον ἀπολελοιπότας. Τὰς δὲ ῥίζας τοῦ φυτοῦ, πρὶν φυτεύειν, (b) ταυρείᾳ χολῇ περιχριστέον. τοῦτο γὰρ τὸ φυτὸν τάχιστα ὑπὸ σκωλήκων ἀδικεῖται. τοὺς δὲ ἐνοχλοῦντας σκώληκας καὶ ἥλῳ χαλκῷ ἐξορύττειν χρὴ, ἀναδέροντας τὸν φλοιὸν ἕως ἂν τὸ θηρίον καταληφθῇ· τοὺς δὲ ἑλκωθέντας τόπους βολβίτῳ καταχριστέον.

(2) *In MS.* Barocc. *αἰγίᾳ.*

(a) Σαύρου χλωροῦ] Pallad. *p.* 74. " *Lacerta viridis felle ſi tangan-*
" *tur cacumina, non putreſcit.*

(b) Ταυρείᾳ χολῇ·] Pallad. *ibid.* " *Vermes ejus ſuillo ſtercore miſto*
" *humanæ urinæ, aut felle bubulo extinguuntur: qui ſi plures circa ar-*
" *borem ſunt, æreo ſcalpro ſemel raſi non ultra naſcentur, ſi ea loca,*
" *unde raſi ſunt, bubulum ſtercus obducat.*

CAP. XIX.

Ut mala rubra fiant. *Berytii.*

ARbor urina rigetur, & rubeſcet fructus. Quidam vero mala hoc modo rubicunda efficiunt. Palos in terram depangunt, & incurvatos ramos qui fructum ferunt in-

ΚΕΦ. ΙΘ.

Ὥστε τὰ μῆλα ἐρυθρὰ ποιῆσαι. Βηρυτίου.

ΟΥρῳ ποτιζέσθω τὸ δένδρον, καὶ ἐρυθραίνεται ὁ καρπός. τινὲς δὲ τῶν μήλων τοὺς καρποὺς ἐρυθροὺς τεχνάζονται οὕτω. πασσάλους εἰς τὴν γῆν καταπήξαντες, καὶ τοὺς κλάδους

τοὺς

τοὺς τὸν καρπὸν ἔχοντας κάμπτοντες ἀθρόως προσδεσμοῦσι τοῖς πασσάλοις, καὶ βόθρους πλησίον αὐτῶν ἢ ἕτερα ἀγγεῖα πληροῦσιν ὕδατος, τεκμαιρόμενοι ὅπως τῇ μεσημβρίᾳ ἡ ἀκτὶς τοῦ ἡλίου (1) ἐμπίπτουσα τῷ ὕδατι, θερμήν τε ἀτμίδα ἀνιεῖσα, καὶ διὰ τῆς (2) ἀντανακλάσεως εἰς τὸν καρπὸν ἐμπίπτουσα, τὴν εὔχροιαν καὶ τὸ ἐρυθρὸν ἀπεργάζηται. (a) τινὲς δὲ ῥόδα σπείρουσιν ὑπὸ τὰ φυτὰ, ἐρυθροὺς ἀπεργαζόμενοι τοὺς καρπούς.

tegros ad palos religant, & ſcrobes prope ipſos aut alia vaſa aqua implent, conjectantes quod in meridie ſolis radius in aquam incidens, calidumque vaporem remittens, & per refractionem in fructum incidens, bene coloratum & rubentem faciat. Quidam roſas ſeminant ſub plantas, hoc modo fructus rubicundos efficientes.

(1) *Reſtitui ex MSS. prius* ἐκπίπτουσα. (2) *In MSS.* ἀνακλάσεως; *idem vero ſonant* ἀνάκλασις *&* ἀντανάκλασις.
(a) *Reſpice ad* Cap. *XV. hujus Libri.*

ΚΕΦ. Κ. — CAP. XX.

Περὶ ἐγκεντρισμοῦ μήλων. Διοφάνους.

De inſitione malorum. Diophanis.

Ἐγκεντρίζεται μῆλον εἰς πᾶσαν ἀχράδα, καὶ εἰς κυδώνια, καὶ γίνεται ἐκ τῶν κυδωνίων μῆλα κάλλιστα, τὰ καλούμενα παρ' Ἀθηναίοις (a) μελίμηλα. ἐγκεντρίζεται δὲ μῆλα καὶ εἰς πλάτανον, ἀφ' ἧς γίνεται ἐρυθρὰ μῆλα. Ὁ δὲ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησιν, ὅτι καλῶς ἐγκεντρίζεται τὰ μῆλα εἰς δαμασκηνά, καὶ ὅτι μῆλον εἰς κίτριον ἐγκεντριζόμενον σχεδὸν διὰ παντὸς καρποφορεῖ τοῦ ἔτους.

MAlum in omnem pyrum ſylveſtrem inſeritur, & in cotoneam malum, naſcunturque ex cotoneis mala pulcherrima, vocata apud Athenienſes μελίμηλα. Inſeruntur mala etiam in platanum, ex qua rubicunda mala proveniunt. Didymus vero in Georgicis ſuis ait, quod mala rite inſerantur in damaſcena, & quod malum, ſi inſeratur in citrium, per totum fere annum fructum ferat.

(a) Μελίμηλα-] *Mala quæ* Veteres *muſtea vocabant, poſtea Melimelorum nomen accepere.* Varro *de* Re Ruſt. *Lib. I. Cap.* 59. " *Mala quæ* " *antea muſtea vocabant, nunc melimela appellant. Et* Plinius *Tom.* 3. *pag.* 186. " *Muſtea* [*mala*] *a celeritate miteſcendi: quæ nunc melimela* " *dicuntur, a ſapore melleo. Vid.* Dioſcor. *p.* 80. *&* Colum. *Lib. XII. Cap.* 45.

CAP.

CAP. XXI.

De duratione malorum. Apuleii.

Mala in multum tempus durant, ſi matura ſint decerpta, quod manu fiat & caute, ne conterantur. ſingula vero alga, hoc eſt maris muſco, ſeorſim involvantur, ut undiquaque ſint cooperta, & ponantur in ollas crudas, apponantur etiam algæ inter mala, ut ſe mutuo non contingant, deinde ollis opercula obdantur; & deponantur in loco ſublimi & perfrigerato, extra fumum & omnem graveolentiam. Si algæ non adſint, in minutas ollulas nondum coctas ſingula mala injiciantur, & addito operculo reponantur. Quidam terra figlina ſingula mala oblinunt, ſiccant, & reponunt. Servantur etiam integra mala, ſubſtratis ipſis nucum foliis. Multum enim conferunt ipſis & ad coloris bonitatem, & ad odoris jucunditatem. Melius autem feceris, ſi ſingula mala foliis nucum involuta repoſueris. Conſervabis etiam mala, ſi in ollis intus ceratis repoſueris, & diligenter ipſas cooperueris. Mala non putreſcent, ſi in hordeum immittantur. Conſervabis eadem & hoc modo. Accipe vas fictile non picatum in fundo perforatum, idque malis manu decerptis, integris, non inveteratis, exple, & vas corruda aut aliquo alio ſecure obtura, & in quacunque arbore ſuſ-

ΚΕΦ. ΚΑ.

Περὶ διαμονῆς μήλων. Ἀπουληΐου.

Τὰ μῆλα ἐπὶ πλείονα διαμένει χρόνον ἀκμαῖα ληφθέντα, δρέπεσθαι δὲ αὐτὰ χρὴ τῇ χειρὶ πεφυλαγμένως, ἵνα μὴ θραυσθῇ. καὶ εἰς τὰ φυκία, τουτέστι τὰ τῆς θαλάττης βρύα, χρὴ ἓν καθ' ἕκαστον ἐνειλεῖν, ὥστε πανταχόθεν καλυφθῆναι, καὶ ἐντιθέναι ταῦτα εἰς χύτρας ὠμάς, παρατιθέναι τε τῶν φυκίων μεταξὺ τῶν μήλων, ὅπως ἀλλήλων μὴ ψαύσῃ, εἶτα πωμάζειν τὰς χύτρας· ἀποτίθεσθαι δὲ χρὴ ταύτας ἐν ὑπερῴῳ τόπῳ (1) καὶ καταψύχρῳ, ἐκτὸς καπνοῦ καὶ πάσης δυσωδίας. ἐὰν δὲ μὴ ᾖ φυκία, εἰς μικρὰ πάνυ χυτρίδια ὠμὰ καθ' ἓν μῆλον ἐνθετέον, πωμάσαντάς τε ἀποθετέον. τινὲς δὲ κεραμικῇ γῇ περιπλάσαντες καθ' ἓν μῆλον ξηραίνουσι, καὶ ἀποτίθενται. Ἀκέραια φυλαχθήσεται τὰ μῆλα, ὑποστρωννυμένων αὐτοῖς φύλλων καρύας. πολὺ γὰρ αὐτοῖς συμβάλλεται καὶ πρὸς εὐχροιαν, καὶ εὐοσμίαν. κάλλιον δὲ ποιήσεις, ἐὰν ἕκαστον μῆλον εἰς φύλλα καρύας ἐνειλήσας (2) ἀπόθοιο. φυλάξεις τὰ μῆλα, ἐὰν εἰς χύτρας ἐγκηρώσας ἔνδοθεν ἀπόθοιο (3) τὰ μῆλα, πωμάζων ταύτας ἐπιμελῶς. ἄσηπτα (4) δὲ διαμένει τὰ μῆλα εἰς κριθὰς ἐντιθέμενα. Φυλάξεις τὰ μῆλα καὶ οὕτω. λαβὼν ἀγγεῖον κεραμεοῦν ἀπίσσωτον τετρημένον ἐν τῷ πυθμένι, πλήρωσον μήλων κεχειρολογημένων, (5) ὑγιῶν, οὐ γεγηρακότων, καὶ βύσας τὸ ἀγγεῖον (a) μυακάνθῃ ἢ

(1) *Hanc voculam revocavi ex MSS.* (2) *Me non latet, hanc vocem a* Grammaticis *circumflexo notari; cum vero in MSS. ſemper acuatur in antepenult. ita reliqui.* (3) *Ita MSS. prius* ταῦτα. (4) *Adjeci ex MS.* Barocc. (5) *Ita MS. V. ſed* Long. F. *&* Bod. ὑγιεινῶν, *ante* ὑγειῶν.

(a) Dioſcorides *Lib.* 2. *Cap.CLII.* Ἀσπάραγος πετραῖος [alii Libb: ἄγριος] ὃν μυάκανθαν καλοῦσι, γνώριμος.

ἑτέρῳ τινὶ ἀσφαλῶς, κρέμασον ἐν οἱῳδήποτε δένδρῳ, καὶ δι' ὅλου τοῦ χειμῶνος ἔασον, καὶ διαμένει τοιαῦτα, οἷα ἐβλήθη. τοῦτο δὲ καὶ πείρᾳ παρέλαβον. Φυλάττεται δὲ μῆλα καὶ οὕτω. περικάλυπτε ἕκαστον μῆλον συκίνοις φύλλοις ξηροῖς, ἔπειτα περίπλασσε πηλῷ λευκαργίλλῳ, καὶ ψυγέντα ἐν ἡλίῳ ἀπότιθεσο, καὶ διαμένει [(6) τὰ μῆλα] οἷα ἐβλήθη. τὰ μῆλα εἰς γλεῦκος ἐμβαλλόμενα αὐτά τε διαμένει, φυλαττόμενα ὑπὸ τῆς τρυγὸς, καὶ τὸν οἶνον διαφυλάξει, καὶ εὐωδέστερον ποιήσει, ὥστε πάντας θαυμάζειν. καὶ εἰς χύτραν καινὴν (7) ἐντεθέντα, καὶ εἰς πίθον οἰνηρὸν τῆς χύτρας ἐμβληθείσης, ὥστε πλεῖν ταύτην, τοῦ πίθου ἐπιχρισθέντος, ἔσται νέα, ὁ δὲ οἶνος εὐώδης. Καὶ εἰς (b) καμπτρεία δὲ συντίθενται μετὰ (8) γναφάλων καθαρῶν, καὶ φυλάττεται. τὰ δὲ χειμερινὰ μῆλα κάλλιστα ἐν τοῖς σπέρμασι φυλάττεται, ἐν οἷς καὶ τὰς σταφυλὰς φυλάττεσθαι προειρήκαμεν. σατυρίου τοῦ χλωροῦ τῇ χλόῃ τὰ ἄκρα τῶν μήλων (9) ἐπάλειφε, καὶ οὐ σήπεται.

pende, & per totam hyemem ſine, & talia permanebunt, qualia ſunt injecta. Quod etiam experimento didici. Servantur mala etiam ſic. Singula mala ficulneis foliis ſiccis involve, deinde luto argillæ albæ intege, & a ſole ſiccata repone, & permanebunt, qualia ſunt injecta. Mala etiam in muſtum conjecta permanent, conſervata a vini fæce, & ipſum quoque vinum conſervabunt, & odoratius facient, ita ut omnibus ſit miraculo. Sed & in ollam novam miſſa, & olla in dolium vini immerſa, ita ut ei innatet, & dolium oblinatur, recentia erunt mala, & vinum ipſum odoratum. Quin & in capſis componuntur cum tomentis puris, & conſervantur. Hyberna autem mala optime in ſeminibus ſervantur, in quibus etiam uvas ſervari prædiximus. Satyrii viridis herbæ virore ſummitates malorum illine, & non putreſcent.

(6) *Hac non comparent in MSS.* (7) *Ex MSS. prius* ἐντιθέμενα. πίθῳ οἰνηρῷ.

(b) Καμπτρεία] Κάμψα, Κάμπτρα, *&* Κάμπτρα. Arca, Ciſta, *unde* Καμπτρίον, Ciſtula. Heſychius. Κάμψα, θήκη, γλωσσοκομεῖον. *Et in* Patrum *Apophthegm. cit. a* Du Freſne. *De Malorum conſervatione vid.* Pallad. *pag.* 75. *&* Colum. *pag.* 450.

(8) *Ita legendum, in MSS.* γναφάλλων, *prius* γλεαφάλλων. (9) *Ex MSS. ante* συνάλειφε.

ΚΕΦ. ΚΒ.

Περὶ φυτείας ἀπιδίων, καὶ ἐπιμελείας, καὶ ὥστε αὐτὰ μηδὲν λιθῶδες ἔχειν. Τῶν Κυντιλίων.

Προανελεξάμενος (a) πᾶν λιθῶδες ἐκ τῶν βόθρων φύτευσον

CAP. XXII.

De plantatione pyrorum, & cura, & ne quid lapidoſum habeant.

Quintiliorum.

PRælecto ex ſcrobibus omni lapidoſo, pyri plantam pange, &

(a) Πᾶν λιθῶδες] Pallad. *p.* 72. " *Si lapidoſa pyrus eſt, ab extremis* " *radicibus terram priorem levabis, & ſecernes omnes lapillos, quibus* " *diligenter remotis, alteram terram cribro cretam in loco ejus infundes,* " *ſed hoc proderit, ſi rigare non ceſſas.* terra

terra cribrata aggeſta, rigato. Si vero jam plantata eſt arbor, eam uſque ad imas radices retege, & quicquid lapidoſum repereris eligito, effoſſam vero terram cribratam cum ſtercore immitte, & obrutam rigato. At vero pyrorum genus frigidis & humidis locis gaudet. Nec ſolum ex viviradicibus plantatur, ſed & ex ſtolone ſurculorum avulſorum. Si vero viviradices plantaturus es, ſint hæ ipſæ triennes, non autem minores biennibus. Quidam etiam ex trunci generoſiſſimis partibus codices faciunt, eoſque plantant, quemadmodum oleas a codicibus. Aliqui vero ex ſuperna arborum parte ramos generoſiſſimos detractos plantant, ſucceſſu non fruſtra ſperato.

τὸ φυτὸν, καὶ γῇ σεσησμένῃ προσχώσας, ἄρδευσον. εἰ δὲ ἔφθασε τὸ δένδρον φυτευθῆναι, ἀνακαλύψας μέχρι τῶν κατὰ βάθος ῥιζῶν, ἀνάλεγε πᾶν τὸ λιθῶδες, τὴν δὲ ἀνασκαφεῖσαν γῆν σήσας, ἔμβαλλε μετὰ κόπρου, καὶ προσχώσας πότιζε. Τὸ δὲ γένος τῶν ἀπιδίων ψυχροῖς καὶ ὑγροῖς χαίρει τόποις. φυτεύεται δὲ οὐ μόνον ἐξ αὐτοῤῥίζων, ἀλλὰ καὶ ἐκ μοσχεύματος τούτων τῶν παρασπάδων. εἰ δὲ μέλλεις αὐτόῤῥιζα φυτεύειν, ἔστω ταῦτα τριετῆ, μὴ μὴν νεώτερα τῶν διετῶν. τινὲς δὲ καὶ τοῦ στελέχους τὰ εὐγενέστατα ποιοῦσι (b) σκυτάλας, καὶ φυτεύουσι, καθάπερ τὰς ἀπὸ σκυτάλων ἐλαίας. ἔνιοι δὲ ἐκ τοῦ ἄνω μέρους τῶν δένδρων κλάδους ἐρνωδεστάτους, τουτέστι γενναιοτάτους, λαβόντες, φυτεύουσι, καὶ ἐπιτυγχάνουσιν.

(b) *Vid. quæ ſupra notavimus ad* Cap. *III.* Lib. *IV.* *&* Pallad. *p.* 71.

CAP. XXIII.

ΚΕΦ. ΚΓ.

Aliud de plantatione pyrorum. Diophanis.

Ἕτερον περὶ φυτείας ἀπιδίων. Διοφάνους.

PYrorum genus frigidis & aquoſis & uberibus locis gaudet. Eſt autem multarum ſpecierum, quapropter etiam varia plantatione opus habet. Magna enim genera longorum & rotundorum, quæ in ipſo ligno fructum maturum faciunt, citius plantare convenit. Reliquorum plantatio a media hyeme fieri incipiat, uſque ad medium ver. Plantatur etiam pyrus in tepidis locis, & ad orientem aut ſeptentrionem inclinatis, neque ſolum ex ſurculis avulſis, ſed etiam viviradicibus non minoribus quam biennes. Terra autem ſimul injiciatur, ſtercore admixto. Quidam melius faciunt, qui talia potius inſerunt quam plantant, & viviradices pyraſtros, aut etiam

ΤΟ γένος τῶν ἀπιδίων ψυχεινοῖς καὶ ἐνύδροις καὶ εὐθαλέσι χαίρει χωρίοις. ἔστι δὲ πολυειδὲς, διὸ καὶ ποικίλης δεῖται τῆς φυτείας. τὰ μὲν γὰρ μεγάλα γένη τῶν μακρῶν καὶ στρογγύλων, ἅπερ ἐν τῷ ξύλῳ τὸν καρπὸν πεπαίνει, τάχιον χρὴ φυτεύειν. τὰ δὲ λοιπὰ ἀπὸ μέσου χειμῶνος ἄρχεσθαι φυτεύειν, μέχρι μεσοῦντος ἔαρος. φυτεύεται δὲ καὶ ἐν εὐδιεινοῖς τόποις, καὶ πρὸς ἀνατολὰς ἢ ἄρκτον κεκλιμένοις, οὐ μόνον δὲ ἐξ ἀποσπάδων, ἀλλὰ καὶ ἐξ αὐτοῤῥίζων κατατίθεται. ἔστω δὲ τὰ αὐτόῤῥιζα μὴ ἐλάττω διετοῦς χρόνου. Συνεπίβαλλε δὲ γῆν μεμιγμένην κόπρῳ. Κάλλιον δέ τινες ποιοῦντες, ἐγκεντρίζουσι μᾶλλον τὰ τοιαῦτα ἢ φυτεύουσι, καὶ αὐτοῤῥίζους ἀχράδας,

(1) *Emend. ex MS.* Barocc. *prius* -- εὐδινοῖς, . . . πρὸς ——.

ἢ καὶ ἄλλα τὰ τοιαῦτα φυτὰ, ἐκ τῶν ὑγιεινῶν τόπων μεταγαγόντες, τῷ προειρημένῳ τρόπῳ φυτεύουσιν, εἶθ' ὅταν αὐτὰ τὰ φυτὰ κατάσχῃ, ἐγκεντρίζουσιν οἷον βούλονται γένος ἀππίων, ἢ ἐνθεματίζουσιν. Εἰ δὲ βούλει τὴν (3) ἀππίαν καὶ γλυκεῖαν ποιῆσαι, καὶ μᾶλλον καρποφορεῖν, ἐκτρυπήσας τὸ πρέμνον πρὸς αὐτῇ τῇ γῇ, (a) ἐπίουρα δρυὸς ἢ φηγοῦ κατάκρουσον, καὶ οὕτω πρόσχωσον. ἐν δὲ τῷ ἀνθεῖν νοσοῦσαν θεραπεύσεις, τρυγίαν οἴνου παλαιοῦ καταχέων τῶν ῥιζῶν, (3) καὶ ἀρδεύων ἐπὶ ἡμέρας ιε'. εἶτα συγχώννυε. καὶ ἄνευ δὲ τοῦ νοσεῖν αὐτὴν, ἐπιχέας τὴν τρύγα γλυκύτερον ποιήσεις τὸν καρπόν. ὁ καρπὸς δὲ οὐ βλαβήσεται ὑπὸ σκωλήκων, ἐὰν βοείᾳ χολῇ αἱ ῥίζαι ἐν τῷ φυτεύεσθαι χρισθῶσι.

alias hujuſmodi plantas ex ſalubribus locis tranſlatas, prædicto modo plantant, deinde ubi comprehenderint hæ plantæ, in ipſas inſerunt quodcunque viſum fuerit pyrorum genus, aut etiam ſurculos immittunt. Quod ſi velis pyrum dulcem facere, & uberiorem fructum ferre, truncum ad ipſam terram perforabis, & cuneum ex quercu aut fago adiges, atque ita obrues. Si vero dum floret ægrotat, curabis ipſam fæce vini veteris radicibus affuſa, rigandoque ad quindecim dies, poſtea vero obrue. Quod ſi etiam non ægrotet, affuſa tamen fæce fructus dulcior fiet. Fructus porro a vermibus non lædetur, ſi radices, cum plantantur, felle bubulo illinantur.

(2) *Malim* ἄπιον *vel* ἄππιον.

(a) Ἐπίουρα δρυὸς-] *Hæc ad verbum* Pallad. *p.* 72. " *Si languida arbor eſt pyri, vel ablaqueatæ radicem terebras, & ibi ligneum palum deprimis, vel in trunco ſimiliter terebrato ex teda cuneum figis, vel, ſi hoc deſit, ex quercu. Vermes ejus arboris & nati necantur, & naſci prohibentur, radicibus felle taurino frequenter infuſis. Item fæces vini veteris recentes, ſi radicibus affundantur per triduum, diutius arbores in floribus non laborare faciunt.*

(3) *Hæc ſupplevi ex MSS. &* Interp.

ΚΕΦ. ΚΔ.

Περὶ ἐγκεντρισμοῦ ἀππιδίων. Ταραντίνου.

Τὸ ἀππίδιον ἐγκεντρίζεται εἰς ῥοιὰν, καὶ εἰς (1) κυδωνίαν, καὶ εἰς ἀμυγδαλῆν, καὶ εἰς τέρμινθον, καὶ εἰς συκάμινον. ἐγκεντριζόμενον δὲ εἰς συκάμινον (a) ἐρυθρὰ φέρει τὰ ἀππίδια.

CAP. XXIV.

De inſitione pyrorum. Tarentini.

PYrus inſeritur in punicam, & in malum cydoniam, & in amygdalum, & in terebinthum, & in morum. Inſita autem in morum pyra rubicunda producit.

(1) *Emend. ex MSS.* V. F. Long. *&* Bod. *In* Bar. κυδωνέας, *ante* κυδωνίαν.

(a) *Eadem de citriis traduntur in Cap. VII. hujus Libri.*

CAP.

CAP. XXV.

De duratione pyrorum. Democriti.

PYrorum pediculos picato, ipſaque ſuſpendito. Alii in vas novum fictile pyra injiciunt, & ſapa, aut muſto, aut vino replent, & ſic reponunt. Alii ſcobe obruta pyra ſervarunt. Quidam in nucis foliis aridis ea componunt. Aliqui in vas fictile novum parum ſalis habens ſapam & vinum & muſtum infundunt, & pyra immittunt, & occluſum vas reponunt. Alii in vinaceis vini dulcis ipſa componunt, ita ut diſparata jaceant.

ΚΕΦ. ΚΕ.

(a) Περὶ διαμονῆς ἀπιδίων. Δημοκρίτου.

Πιττώσας τῶν ἀπιδίων τὰ πέλματα κρέμασον. ἄλλοι δὲ εἰς ἀγγεῖον καινὸν κεραμεοῦν ἐπιβάλλουσι τὰς ἀπίους, καὶ ἐπιχέουσιν ἕψημα, ἢ γλεῦκος, ἢ οἶνον, ὡς πληρωθῆναι τὸ ἀγγεῖον, καὶ ἀποτίθενται. ἕτεροι ἐν πρίσμασι χώσαντες ἐφύλαξαν τὰ ἀπίδια. Τινὲς δὲ ἐν φύλλοις ξηροῖς καρύας ταῦτα συντιθέασιν. ἕτεροι εἰς ἀγγεῖον καινὸν κεραμεοῦν ἔχον ἅλας ὀλίγον, ἐπιχυθέντος ἑψήματος καὶ οἴνου καὶ γλεύκους, ἐμβάλλουσι τὰς ἀπίους, καὶ πωμάσαντες τὸ ἀγγεῖον ἀποτίθενται. οἱ δὲ ἐν γιγάρτοις συντιθέασιν αὐτὰ οἴνου γλυκέος, διιστῶντες ἀπ᾽ ἀλλήλων.

(a) *De pyris conſervandis plurima congeſſit* Palladius *in* Februar. *Tit. XXV.*

CAP. XXVI.

De plantatione cydoniorum. Didymi.

CYdonia eodem tempore & modo plantantur, quemadmodum prædictum eſt in ceraſis.

ΚΕΦ. Κϛ.

Περὶ φυτείας κυδωνίων. Διδύμου.

(a) ΤΑ κυδώνια τῷ αὐτῷ καιρῷ καὶ τρόπῳ φυτεύεται, (1) τῷ ἐπὶ τῶν κερασίων προειρημένῳ.

(a) Τὰ κυδώνια-] *Mala Cotonea a* Græcis *Cydonia a* Cydone *urbe Cretenſi appellata ſunt*; *Ita* Q. Ser. Samonicus: “ Aut quæ poma Cydon “ Cretæis miſit ab oris. *Tria Cydoniorum genera* Columellæ *memorantur, Struthia, Chryſomeliana, Muſtea*; *&* Nicander Thyatirenus *Cydonia mala ſtruthia vocari tradit, refellente* Athenæo, *qui ex* Glaucide, *&* Theophr. *Lib.* 2. *p.* 28. *notat, Cydonium a ſtruthio differre:* Dioſcorides *Struthia Cydoniis majora, &* Galenus στρουθόμηλα *Cydoniorum maxima,* Plinius *autem ex Cydoniorum genere Neapolitano minora eſſe Struthea contendit. Cotonea (auctore* Plinio*) ſtrutheis inſita genus fecere Mulvianum, quæ ſola cruda manduntur.* Athenæus *p.* 81. *tradit ex* Hermonis Κρητικαῖς γλώσσαις, *Cydonia vocari* κοδύμαλα, *& ex* Phylarcho, τὰ κυδώνια μῆλα τῇ εὐωδίᾳ καὶ τὰς τῶν θανασίμων φαρμάκων δυνάμεις ἀπαμβλύνειν. *Vid.* Plin. *Tom.* 3. *p.* 181. Athen. *p.* 81. Dioſcor. *p.* 79 *&* Pallad. *p.* 75, 6.

(1) *MSS. &* Interp. *habent* ὡς ἐπὶ ... προείρηται (Bar. εἰρήσεται).

ΚΕΦ. ΚΖ.

Εἰδωλόμορφον κυδώνιον ποιῆσαι. Δημοκρίτου.

(1) Ζωοειδῆ τὰ κυδώνια συμβαίνει γίνεσθαι, ἐὰν εἰς τύπους αὐξάνειν ἐάσῃς.

CAP. XXVII.

Ut malum cydonium cujuſvis rei formam referat. Democriti.

MAla cotonea animalium ſpeciem præ ſe ferent, ſi formis typorum incluſa augeſcere in ipſis permiſeris.

(1) *In* Barocc. Εἰδωλόμορφα καὶ ζωοειδῆ---.

ΚΕΦ. ΚΗ.

Περὶ διαμονῆς κυδωνίων. Τοῦ Αὐτοῦ.

ΤΑ κυδώνια εἰς γλεῦκος ἐμβαλλόμενα αὐτά τε διαμένει, φυλαττόμενα ὑπὸ τῆς τρυγὸς, καὶ τὸν οἶνον διαφυλάξει, καὶ εὐωδέστερον ποιήσει, ὥστε πάντας θαυμάζειν. καὶ εἰς χύτραν καινὴν ἐντεθέντα, (1) καὶ εἰς πίθον οἰνηρὸν τῆς χύτρας ἐμβληθείσης, ὥστε πλεῖν ταύτην, τοῦ πίθου ἐπιχρισθέντος, ἔσται τὰ μὲν κυδώνια νεαρὰ, ὁ δὲ οἶνος εὐώδης. καὶ εἰς (a) καμπτρία δὲ συντίθενται μετὰ γναφάλων καθαρῶν. φυλάττεται ὁμοίως τὰ κυδώνια ἐπὶ πλεῖστον χρόνον ἐν (2) πρίσμασι καταρυττόμενα. ὑπὸ γὰρ τῶν πρισμάτων ἀναξηραινόμενα ὠφελεῖται. (3) καλῶς δὲ ταῦτα φυλάττεται καὶ ἐν ἀχύροις ἀποτιθέμενα. φυλακτέον δὲ ταῦτα μὴ ἐν τῷ οἴκῳ ἔνθα αἱ ἄλλαι ὀπῶραι ἀπόκεινται. τῇ γὰρ αὐτῶν δριμύτητι καὶ ὀσμῇ λυμαίνεται τὰ παρακείμενα, καὶ μάλιστα (4) τὰς σταφυλάς. Τινὲς δὲ τὰ κυδώνια φύλλοις συγκαλύψαντες, πηλῷ ἀργιλλώδει διὰ τριχῶν μεμιγμένῳ ἐπιμελῶς, ἢ γῇ κεραμικῇ, ταῦτα

CAP. XXVIII.

De duratione cydoniorum. Ejuſdem.

CYdonia in muſtum conjecta tum ipſa perdurant, a fæce conſervata, tum vinum quoque conſervabunt, & odoratius reddent, ut omnibus ſit miraculo. Sed & in ollam novam injecta, ipſaque olla in dolium vini immerſa, ita ut ei innatet, & dolium oblinatur, cydonia recentia erunt, vinum vero odoratum. Quin & in capſis cum tomentis puris compoſita durant. Ad multum etiam tempus ſervantur ſcobe obruta. A ſcobe enim reſiccata meliora redduntur. Probe etiam in paleis reponuntur, ac ſervantur. Minime autem ſervanda ſunt cydonia in domo ubi alii molles fructus repoſiti ſunt. Sua enim acrimonia & odore adjacentes corrumpunt, & præſertim uvas. Quidam cydonia foliis involuta luto argilloſo cum pilis probe ſubacto, aut terra figli-

(1) *Emend. ex MSS. ante* πίθῳ οἰνηρῷ---.

(a) *Vid. quæ notav. ad cap. XXI. hujus Libri.*

(2) F. *&* Long. *habent* πρίσμασι καταρωρυγμένα. (3) *In MSS. &* Interp. *ad eundem plane ſenſum,* καλῶς δὲ καὶ ἐν ἀχύροις ταῦτα ἀποτίθεται καὶ φυλάττεται. (4) *Reſtitui ex MSS. in pr. Edit.* τῇ τῶν σταφυλῶν.

na,

na, integunt, deinde a ſole ſiccata reponunt. Ubi autem uſus poſtulârit, lutum confringunt, & reperiunt cydonia, qualia injecta fuerunt. Idem in malis fiat. Servantur etiam in hordeo, & in muſtum injecta.

(5) περιπλάττουσιν, εἶτα ἐν ἡλίῳ ψύξαντες ἀποτίθενται. ὅταν δὲ ἡ χρῆσις ἀπαιτῇ, τὸν πηλὸν κατεάξαντες εὑρίσκουσι τὰ κυδώνια, οἷα ἐνεβλήθη. τὸ αὐτὸ δὲ καὶ ἐπὶ μήλων χρὴ ποιεῖν. φυλάττεται τὰ κυδώνια καὶ εἰς κριθὰς, ὁμοίως δὲ καὶ εἰς γλεῦκος.

(5) *Ita legend. cenſeo, refragant. licet MSS. antea nullo ſenſu* περιπάττουσιν: *Hanc Lectionem adſtruit* Apuleius *ſupra* Cap. XXI. *de malis,* Τινὲς δὲ κεραμικῇ γῇ περιπλάσαντες,--.

CAP. XXIX.

De plantatione, curaque, ac diligentia omni circa punica mala habenda. Florentini.

PUnica calido aere gaudet, & in locis minime aquoſis plantatur. Oportet autem, cum plantantur, ſcillam ſimul cum ipſis immittere. Verum viridia in arbore uſque ad ver permanent, ſi ramulos ipſorum ſe-

ΚΕΦ. ΚΘ.

Περὶ Φυτείας (1) ῥοϊδίων, καὶ θεραπείας, καὶ πάσης [(2) αὐτῶν] ἐπιμελείας. Φλωρεντίνου.

(a) Ἡ Ῥοιὰ θερμῷ ἀέρι χαίρει, καὶ ἐν ἀνύδροις δὲ φυτεύεται χωρίοις. δεῖ δὲ, ἐν τῷ ταύτας φυτεύειν, συνεμβάλλειν αὐταῖς σκίλλαν. (b) χλωραὶ δὲ ἐπὶ τῶν δένδρων διαμένουσιν ἕως τοῦ ἔαρος, ἐὰν λυ-

(1) *MS.* F. ῥοῶν, Long. *&* Bod. ῥοιῶν. *Sed* Menander, *apud* Athenæum *p.* 651., *in* Heautontimor. *habet* ῥοΐδια. (2) *Hæc deſunt in MSS.*

(a) Ἡ ῥοιὰ-] *Malum granatum Punici nomen accepit a* Pœnis, *vel, ut alii volunt, a Puniceo floris & fructus colore.* Græcis Ῥοιὰ *&* ῥοὰ, *ut a* χροιὰ *fit* χρόα, *notante* Euſtathio *in* Ὀδυσσ. Η'. Athenæus *Lib.* 14. *pag.* 650. Σίδας δὲ ὅτι τὰς ῥοιὰς καλοῦσι Βοιωτοὶ, Ἀγαθαρχίδης ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Εὐρωπικῶν οὕτω γράφει. Ἀμφισβητούντων Ἀθηναίων πρὸς Βοιωτοὺς περὶ τῆς χώρας, ἣν καλοῦσι Σίδας, Ἐπαμινώνδας δικαιολογούμενος ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεκρυμμένην ῥοὰν, καὶ δείξας, ἤρετο αὐτοὺς, τί καλοῦσι τοῦτο; τῶν δὲ εἰπόντων ῥοὰν, ἀλλ' ἡμεῖς, εἶπε, Σίδαν. Ὁ δὲ τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὐτῷ πλεῖστον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς εἴληφε προσηγορίαν, καὶ ἐνίκησε. Dioſcor. *p.* 77. *ait Mali Punici putamina a quibuſdam vocari ſolita* Σιδία, *& Punicæ hortenſis florem* Κύτινον, *ſylveſtris* Βαλαύστιον. *Sed* Plinius *&* Galenus Κύτινον *aliter accipiunt, primum fructus quaſi rudimentum, quod primum mali Punici partum vocat* Plinius, *ea voce deſignari aperte docentes.* Plinius *etiam Tom.* 3. *Pag.* 93. *Balauſtium ſativæ Punicæ florem eſſe contendit. Vid.* Plin. *Tom.* 3. *Pag. cit. &* Tom. 4. *Pag.* 277. Dioſc. *Lib.* 1. *Cap.* 151. *&* Athen. *pag.* 650.

(b) Χλωραὶ δὲ-] Colum. *Pag.* 492. " *Cum jam matura mala fuerint, antequam rumpantur, petiolos, quibus pendent, intorqueto. Ea modo ſervabuntur etiam toto anno. Ita* Pallad. *p.* 92.

γίσης τοὺς κλάδους αὐτῶν, τουτέστι περιστρέψῃς ἅπαξ ἢ δὶς, ὅταν ἀκμάσωσι, καὶ κολοκύνθας ξηρὰς καὶ γογγύλας περιθῇς ἑκάστῃ, ἵνα μὴ βρέχωνται, μηδὲ ὑπὸ τῶν ὀρνέων ἐσθίωνται. τὰς δὲ νοσούσας θεραπεύσεις φυκίοις τοῖς ἀπὸ θαλάσσης ἐκβρασσομένοις καλύπτων τὸ πρέμνον τὸ περὶ τὰς ῥίζας, καὶ ἀρδεύων συνεχῶς. Διοφάνης δέ φησιν ἐν τοῖς Γεωργικοῖς αὐτοῦ, ἐρυθρὰς γίνεσθαι τὰς ῥοιὰς, ἐὰν μετὰ κονίας βαλανευτικῆς αἱ ῥίζαι τῶν δένδρων ἀρδεύωνται. Δημόκριτος δέ φησι, ῥοιὰν καὶ μυρσίνην ἀλλήλαις χαίρειν, καὶ πλησίον ἀλλήλων παραπεφυτευμένας εὐφορήσειν, καὶ τὰς ῥίζας ἀλλήλαις συμπλέκειν, κἂν μὴ σφόδρα ἐγγὺς οὖσαι τυγχάνωσι.

mel atque iterum obtorſeris, cum matura ſunt, & cucurbitas aridas & rapa ſingulis circumdederis, ne humectentur, neque ab avibus arrodantur. Ægrotantes punicas curabis, ſi algis e mari ejectis truncum circa radices contexeris, & aſſidue rigaveris. Diophanes autem in Georgicis ſuis ait, rubicunda fieri mala punica, ſi lixivio balnearum arborum radices rigentur. Democritus autem tradit punicam & myrtum invicem gaudere, & ſimul plantatas fructu abundare, & radices mutuo implicare, etiamſi non valde vicinæ ſint.

ΚΕΦ. Λ.

Ὥστε ῥοιὰς μὴ χαίνειν. Ἀφρικανοῦ.

(a) Ἐν τῷ φυτεύειν περίεμβαλλε εἰς τὸν βόθρον (1) κόχλακας. ἐὰν δὲ ὦσι προπεφυτευμέναι, σκίλλας παραφύτευσον. αὗται γὰρ ἀντιπαθοῦσαι οὐκ ἐῶσιν αὐτὰς χαίνειν. ὁμοίως δὲ κἂν κατακέφαλα φυτευθῶσιν, οὐ χαίνουσιν.

CAP. XXX.

Ut punica non hient. Africani.

Dum punicas plantas ſilices in ſcrobem præmitte. Si vero prius plantatæ fuerint, ſcillas prope plantato. Hæ enim contrarietate naturali mala hiare non permittunt. Si etiam punicæ inverſæ plantatæ fuerint, mala non hiant.

Ἐν τῷ φυτεύειν-] *Eadem remedia nobis reliquit* Colum. *pag.* 492. " *Mala Punica ne rumpantur in arbore, remedio ſunt lapides tres, ſi cum* " *ſeres arborem, ad radicem ipſam collocaveris: at ſi jam arborem ſatam* " *habueris, ſcillam ſecundum radices arboris ſerito. Conſ.* Pallad. *pag.* 92.

(1) *An ſupplend.* τρεῖς *ex* Palladio *&* Columella.

ΚΕΦ. ΛΑ.

Ῥοιὰν (1) ἀπύρηνον ποιῆσαι. Τοῦ Αὐτοῦ.

Ἐὰν ἐξέλῃς, ὥσπερ ἐπὶ τῆς σταφυλῆς, φανερὸν μέρος τῆς ἐντεριώνης, καὶ τὸ ἐσχισμένον ξύλον κα-

CAP. XXXI.

Mali punici ſine granis faciendi ratio. Ejuſdem.

Si exemeris, quemadmodum in uva, certam medullæ partem, & fiſſum lignum obruas, &

(1) *MS.* F. ἀπύρινον.

poſtea recideris ſupereminentem plantæ partem, quæ jam germen emiſit, fructum ſine granis punica producet.

παχώσῃς, καὶ μετὰ χρόνον ἀποκόψῃς τὸ ὑπερέχον τοῦ φυτοῦ τὸ βλαστῆσαν, (a) ἀπύρηνον οἴσει τὸν καρπόν.

(a) Ἀπύρηνον] *Mala punica* apyrina *vel* apyrena, *quibus lignoſus nucleus abeſt, memorantur a* Martiale. " *Non tibi de Libycis Tuberes & Apyrina ramis,* " *De Nomentanis ſed damus arboribus. Inſignis hic* Senecæ *locus.* " *Sic ſapiens* (inquit) *imperturbatus dicitur, quo modo* " *apyrina dicuntur: non quibus nulla ineſt duritia granorum, ſed quibus* " *minor.*

CAP. XXXII.

ΚΕΦ. ΛΒ.

Quod punicæ ramus beſtias venenatas fuget. Ejuſdem.

Ὅτι τῆς ῥοιᾶς ὁ κλάδος ἀπείργει τὰ θηρία. Τοῦ Αὐτοῦ.

PUnicæ ramulum ferunt beſtias venenatas & ſerpentes arcere, & propterea in ſtramentis ac ſtratis eum ponendum eſſe cenſent, ſecuritatis ergo.

ΤΟν τῆς ῥοιᾶς κλάδον (a) ἀθηρόν φασιν εἶναι, καὶ διὰ τοῦτο ἐν ταῖς στιβάσιν αὐτὸν ἀξιοῦσι παρατίθεσθαι, ἀσφαλείας ἕνεκεν.

(a) Ἀθηρόν φασι-] Plin. *Tom.* 4. *pag.* 276. " *In manibus rami Punicorum ſerpentes fugant. Hæc leguntur infra Lib.* 13. *cap.* 8.

CAP. XXXIII.

ΚΕΦ. ΛΓ.

Ut punicum rubicundius fiat. Didymi.

Ὥστε ῥοιὰν ἐρυθροτέραν γενέσθαι. Διδύμου.

SI punicum rubicundius efficere velis, plantam aqua cum lixivio balnearum permixta rigato.

ΕΙ θέλεις ἐρυθρὰν ποιῆσαι ῥοιὰν, ἄρδευε τὸ φυτὸν ὕδατι, μεμιγμένης αὐτῷ κονίας ἀπὸ βαλανείου.

CAP. XXXIV.

ΚΕΦ. ΚΔ.

Quomodo punicum aceſcens dulce fiat. Paxami.

Πῶς (1) ἐστὶ ῥοιὰν ὀξεῖαν γλυκεῖαν ποιῆσαι. Παξάμου.

RAdices arboris circumfodito, & ſtercus ſuillum illine, & ag-

ΠΕριορύξας τοῦ δένδρου τὰς ῥίζας, (a) κόπρον ὑείαν ἐπίχρισον, καὶ

(a) Κόπρον ὑείαν-] Colum. *Pag.* 492. " *Quod ſi acidum, aut minus dulcem fructum feret, hoc modo emendabitur: Stercore ſuillo, & humano, & lotio humano veteri radices rigato.*

χώσας

χώσας ῥᾶνον οὔρῳ ἀνθρωπείῳ. τὰ δὲ περὶ τούτου ἐν τῷ ἄλλῳ μου Γεωργικῷ βιβλίῳ τρίτῳ, ἐν τῷ κζʹ. κεφαλαίῳ, τελειότερον εὑρήσεις.

geſta terra urina humana rigato. Cæterum de hoc in alio noſtro Georgico opere, libro tertio & capite vigeſimo ſeptimo, perfectiora præcepta reperies.

ΚΕΦ. ΛΕ.

Ῥοιὰν πολὺν καρπὸν φέρειν. Δημοκρίτου.

(a) ΑΝδράχνην καὶ τιθύμαλλον συγκόψας καλῶς, τὰ στελέχη περιάλειψον.

CAP. XXXV.

Ut punica multum fructum ferat. Democriti.

POrtulacam & tithymallum probe contunde, indeque truncum arboris punicæ obline.

(a) Ἀνδράχνην-] Gargilius Martialis *aſſerit, multa in Punico poma procedere, ſi Tithymalli & Portulacæ ſuccus æqualiter mixtus, antequam germinet, trunco arboris adlinatur.*

ΚΕΦ. ΛϚ.

Ῥοιὰν ἀπὸ δένδρου λαβόντα εἰπεῖν, πόσους κόκκους ἔχει. Ἀφρικανοῦ.

ΕΠειδὴ οἱ τὰ Γεωργικὰ γράψαντες σοφώτατοι ἄνδρες οὐ ταῖς εἰθισμέναις ἡμῖν προσηγορίαις ὀνομάζουσι τοὺς καρποὺς, ἀλλά ποτε μὲν μνήμην ποιοῦνται καρύου Βασιλικοῦ,

(1) *Interp. rectius* φανερᾶς.

ποτὲ δὲ καρύου Ποντικοῦ, ἔστι δ᾽ ὅτι Διὸς βαλάνου· ἀναγκαῖον ἡγοῦμαι διασαφηνίσαι, τί ἐστὶ κάρυον Βασιλικὸν, ἢ Ποντικὸν, καὶ τὰς λοιπὰς τὰς εἰρημένας αὐτοῖς τῶν καρπῶν προσηγορίας. Κάρυον οὖν ἐστι Βασιλικὸν, τὸ νῦν παρ᾽ ἡμῖν λεγόμενον κάρυον. κάρυον δέ ἐστι Ποντικὸν, τὸ λεπτοκάρυον. Διὸς βάλανός ἐστι, τὸ κάστανον. (a) κοκκύμηλόν ἐστιν, ὃ καλοῦμεν Δαμασκηνόν. (b) Ἀρμενιακόν ἐστι, τὸ βερίκοκκον. τέρμινθός ἐστιν, ἣν καλοῦμεν τερέβινθον.

tionem faciant, aliquando vero nucis Ponticæ, aliquando autem glandis Jovis: Neceſſarium eſſe arbitror declarare, quid ſit nux Regia, aut Pontica, & reliquas ab ipſis relatas fructuum appellationes. Nux quidem igitur Regia eſt, quæ nobis ſimpliciter nux vocatur. Nux vero Pontica eſt, quæ avellana appellatur. Jovis glans eſt, caſtanea. Coccymelum eſt, quod vocamus Damaſcenum. Armeniacum eſt, præcox. Terminthus eſt, quam terebinthum vocamus.

(a) Κοκκύμηλον-] Κοκκύμηλον, *quaſi* κόκκυγος μῆλον, *ita* Nicander—— Μῆλον ὃ κόκκυγος καλέουσι. *Ita dicta ſunt iſta pruna, quod grandeſcentibus* (inquit Dalecamp.) *cucullus e ſuis latebris prodeat, & conſpiciatur.* Ἰστέον δὲ, (Pollucis verba) ὅτι κοκκύμηλον μὲν οὐδετέρως, ὁ καρπός. ἀρσενικῶς δὲ τὸ δένδρον καλεῖ ἡ Μέση κωμῳδία, ὁ κοκκύμηλος. *Idem plane* Araros *Comicus apud* Athenæum *a* Caſaubono *emendatum, cujus Animadverſ. Vid. pagg. CI, II.*

(b) Ἀρμενιακόν ἐστι, τὸ Βερίκοκκον.] Armeniaca, *quæ & Præcocia* Latinis, *vel Præcoqua, (ex qua voce* Græci *ſuum* βερίκοκκα *concinnarunt) in* Perſicorum *numero ponuntur a* Plinio *&* Dioſcoride *p.* 80. Τὰ δὲ μικρότερα [περσικὰ] καλούμενα Ἀρμενιακὰ, Ῥωμαϊστὶ δὲ πραικόκια,---Ald. *Ed.* βρεκόκκια---. *Aliis prunorum ſpecies, & inter ſe multum diſtare videntur* Armeniaca *&* Perſica; *dirimant litem, quibus otium eſt.* " *Noſtratibus* " *(inquit* Harduin.) Des Abricots. *Sunt autem, qui malint eſſe* Des " Avant Peſches.

Κ Ε Φ. ΟΔ.

Περὶ διαφορᾶς ὀπώρας καὶ ἀκροδρύων. Τοῦ Αὐτοῦ.

(a) Ὀπώρα λέγεται, ἡ χλοώδη τὸν καρπὸν ἔχουσα, οἷον δωρακινὰ, μῆλα, ἀππίδια, δαμασκηνὰ, καὶ ὅσα μὴ ἔχει ἔξωθέν τι ξυλῶδες. Ἀκρόδρυα δὲ καλεῖται, ὅσα ἔξωθεν κέλυφος ἔχει, οἷον ῥοιὰ, πιστάκια, κάστανα, καὶ ὅσα ξυλώδη τὸν καρπὸν ἔξωθεν ἔχει.

C A P. LXXIV.

De differentia ὀπώρας *&* ἀκροδρύων *Ejuſdem.*

Ὀπώρα fructus dicitur, qui herbidum colorem habet, velut duracina, mala, pyra; damaſcena, & quæ foris nihil lignoſum habent. Ἀκρόδρυα autem appellantur, quæ foris putamen habent, velut malum granatum, piſtacia, caſtaneæ; & quæcunque fructum foris lignoſum habent.

(a) Ὀπώρα.......Ἀκρόδρυα-] *Ita ſemper* Latini *de* R. R. *Scriptores* Poma *&* Nuces *accipiunt.*

C A P.

CAP. LXXV.

De tempore modoque inſitionis arborum. Florentini.

TRes ſunt modi inſitionis, & unus quidem ex eis proprie Inſitio appellatur, alter vero Infoliatio, tertius vero Inoculatio. Arbores igitur craſſi corticis & humiditate refertas, quarum cortex multam humiditatem ex terra haurit, qualis eſt ficus, & ceraſus, & oleæ planta, juxta corticem inſerere convenit. Oportet autem ante infoliationem paxillum ex firmo ligno præparatum habere, ut eum inter corticem & lignum paulatim demittamus, ita ut infractus permaneat cortex. Hoc enim maxime cavere neceſſe eſt, deinde ſenſim ſublato paxillo, ſurculum ſtatim adhibere. Vocatur autem hic modus Infoliatio. In arboribus vero tenuis corticis & ſiccis, nimirum quæ non in cortice, ſed intra medullam, humiditatem habent, quale eſt citrium & vitis, & quæcunque ejuſmodi, ipſam lignoſam partem mediam findunt, & ſurculos immittunt. Appellaturque hic modus Inſitio. In utriſque autem prædictis compendiariam inſitionem facere oportet, ne ſurculus, qui inſerendus eſt, aut truncus, cui inſeritur, dilatione facta reſiccetur. Oportet autem ſurculos ex generoſis & vegetis ac fructuoſis arboribus acutis falcibus recidere, a partibus boream ſpectantibus, ſintque teneri & læves, & denſis oculis, tria capita habentes aut duo, ad fundum vero unici membri, habeantque

ΚΕΦ. ΟΕ.

Περὶ καιροῦ καὶ τρόπου ἐγκεντρισμοῦ τῶν δένδρων. Φλωρεντίνου.

(a) ΤΡεῖς τρόποι εἰσὶν ἐγκεντρισμῶν, καὶ ὁ μὲν εἷς κυρίως καλεῖται Ἐγκεντρισμὸς, ὁ δὲ ἕτερος Ἐμφυλλισμὸς, ὁ δὲ τρίτος Ἐνοφθαλμισμός. τὰ μὲν οὖν παχύφλοια δένδρα καὶ ἔνικμα, ὧν ὁ φλοιὸς πολλὴν ὑγρασίαν ἐκ τῆς γῆς ἀρύεται, ὁποία ἐστὶν ἡ συκῆ καὶ ἡ κερασία, καὶ τὸ τῆς ἐλαίας φυτὸν, προσήκει παρὰ τὸν φλοιὸν ἐγκεντρίζειν. δεῖ δὲ πρὸ τοῦ ἐμφυλλισμοῦ πασσαλίσκον ἐξ ἰσχυροῦ ξύλου γενόμενον προετοιμάζειν, εἰς τὸ καθιέναι τοῦτον μεταξὺ τοῦ φλοιοῦ καὶ τοῦ ξύλου κατὰ βραχὺ, ἵνα ἀρραγὴς μείνῃ ὁ φλοιός. τοῦτο γὰρ μάλιστα παρατηρεῖν ἀναγκαῖον, εἶτα ἡσύχως ἀφελεῖν τὸν πασσαλίσκον, καὶ εὐθέως προσάγειν τὸ ἔνθεμα. καλεῖται δὲ οὗτος ὁ τρόπος Ἐμφυλλισμός. Τῶν δὲ λεπτοφλοίων δένδρων καὶ ξηρῶν, ἅτε δὴ τὸ ὑγρὸν, οὐ διὰ τοῦ φλοιοῦ, ἀλλ' ἐντὸς τῆς ἐντεριώνης ἐχόντων, ὁποῖόν ἐστι τὸ κίτριον καὶ ἡ ἄμπελος, καὶ ὅσα τοιαῦτα, αὐτὸ μέσον τὸ ξυλῶδες σχίσαντες ἐμβάλλουσι τὰ ἐνθέματα. καλεῖται δὲ οὗτος ὁ τρόπος Ἐγκεντρισμός. ἐπ' ἀμφοτέρων δὲ τῶν προειρημένων δεῖ σύντομον τὴν ἔνθεσιν ποιεῖσθαι, ἵνα μηδὲ τὸ ἐντιθέμενον, μηδὲ τὸ (1) ὑποδεχόμενον ὑπερθέσεως γενομένης ἐξικμασθῇ. Χρὴ δὲ τὰ ἐνθέματα ἐξ εὐγενῶν καὶ ἀκμαίων καὶ πολυκάρπων δένδρων δρεπάνοις ὀξέσιν ἀφαιρεῖν, ἐκ τῶν βορείων μερῶν, ἁπαλὰ καὶ λεῖα, καὶ πυκνόφθαλμα, τρικόρυφα ἢ δικόρυφα, πρὸς τῇ βάσει μονόκωλα,

(a) *Tria hæc Inſitionis genera fuſe perſequitur* Columella *Lib. V. Cap. XI. Conſule etiam* Petrum de Creſcentiis *Lib. II. Cap. XXII. &* Theophr. *de* Cauſis Plant. *Lib. I. Cap. VI.*

(1) *Ita MSS. prius* ἐνδεχ.

ἐχέτω δὲ πάχος δακτύλου μικροῦ, ἔστω δὲ διετῆ, τὰ γὰρ ἐνιαύσια εἰς τὸ ἀναδραμεῖν μὲν ἕτοιμα, ἄκαρπα δέ. Τὰ ἐνθέματα ἀποξέειν χρὴ ὀξεῖ δρεπάνῳ πρὸς τῇ βάσει ἐξ ἑνὸς μέρους, ὥσπερ τὸν γραφικὸν κάλαμον, φυλασσομένους μὴ τῆς ἐντεριώνης μείωσις γένηται. σχηματίζειν δὲ χρὴ τὸ ἔνθεμα, τὸ μὲν ξυλῶδες πρὸς τὸ ξύλον, τὸ δὲ (2) φλοιῶδες πρὸς τὸν φλοιόν. ἔστω δὲ τὸ ἀποξεόμενον ἔνθεμα ἰσομεγέθες τῇ διαιρέσει καὶ τῷ κοιλώματι εἰς ὃ μέλλει ἐμβάλλεσθαι. ἐχέτω οὖν τὴν ἀπόξυσιν δακτύλων δύο, καὶ τὸ ὑποδεχόμενον φυτὸν τὴν διαίρεσιν δακτύλων δύο· μετὰ δὲ τὴν ἔνθεσιν μηδὲν ἀφαιρετέον τοῦ ἐνθέματος, ἀλλ' ἐατέον ὅσον ἂν ἔχῃ. δεῖ δὲ πλάττειν τὸν τόπον ἀῤῥαγεῖ πηλῷ ἀργιλλώδει. ἡ γὰρ πυῤῥὰ γῆ εἰς τοῦτο ἀποίητος, ἐκκαίει γὰρ τὰ στελέχη. Ἐπὶ τοσοῦτον δὲ χρήσιμός ἐστιν ὁ ἐγκεντρισμὸς, ὅτι κἂν αὐτά τις τὰ φυτὰ εἰς ἑαυτὰ ἐγκεντρίσῃ, τροφιμώτερα καὶ καλλίονα γίνεται. δεῖ δὲ τὰ ἐνθέματα ληγούσης σελήνης λαμβάνειν, πρὸ ι΄. ἢ καὶ πλειόνων ἡμερῶν τοῦ ἐγκεντρισμοῦ, καὶ ταῦτα κατατίθεσθαι ἐν ἀγγείῳ κεκαλυμμένα ἀσφαλῶς, ὡς μὴ διαπνευσθῇ. χρὴ γὰρ τὰ μὲν ἐνθέματα λαμβανόμενα ἔτι μεμυκέναι, τὸ δὲ ἐγκεντριζόμενον ἤδη πρὸς βλάστησιν ἐπείγεσθαι. διὸ χρὴ πρὸ ι΄. ἡμερῶν, ἢ καὶ πλειόνων λαμβάνεσθαι τὰ ἐνθέματα. Τὴν δὲ αἰτίαν, δι' ἣν οὐ προσήκει παραχρῆμα τοῦ λαβεῖν τὰ ἐνθέματα ταῦτα ἐγκεντρίζειν, μάνθανε. ἐὰν γὰρ ἔτι ζέον καὶ ὠγκωμένον τὸ ἔνθεμα παραχρῆμα εἰς τὸ ὑποδεχόμενον ἐμβληθῇ, πᾶσα ἀνάγκη πρὸ τοῦ τὴν (3) ἕνωσιν γενέσθαι, ἀπομαρανθῆναι μικρόν τι τοῦ ἐνθέματος, καὶ χαύνωσιν γενέσθαι μεταξὺ τοῦ ἐντεθέντος καὶ τοῦ ὑποδεχομένου ξύλου,

craſſitudinem digiti parvi, & ſint biennes, anniculi enim facile quidem in altum emicant, verum ſteriles ſunt. Acuantur ſurculi acuta falce ex una parte ad imum, quemadmodum ſcriptorium calamum exacuere ſolemus, eo vitato ne medullam imminuamus. Adhibere autem ſurculum oportet ea figura, ut lignoſum quidem ad lignum, corticoſum vero ad corticem aptetur. Sitque deraſus & exacutus ſurculus paris magnitudinis ad fiſſuram & cavum, in quod eſt immittendus. Sit igitur deraſus ad digitos duos, & planta quæ ſurculum excipit fiſſa ſit ad digitos duos; poſt inſitionem vero nihil de ſurculo recidendum eſt, ſed ſinendum ut ſe habet. Locus autem luto infracto argilloſo integatur. fulva enim terra ad hoc inepta eſt, truncos enim exurit. In tantum vero utilis eſt inſitio, ut etiam ſi quis ipſas plantas in ſeipſas inſerat, habitiores & præſtantiores fiant. Cæterum ſurculi decreſcente luna detrahendi ſunt, decem aut pluribus diebus ante inſitionem, deponendique in vaſe probe cooperto, ne perflentur & tranſpirent. Oportet enim ſurculos inſerendos adhuc clauſos eſſe, id vero, in quod inſitio fit, jam germina emittere. Quapropter oportet decem aut pluribus antea diebus ſurculos detrahere. Cauſam vero, ob quam non ſtatim, ut reciſi ſunt ſurculi, ipſos inſerimus, diſcere convenit. Si enim adhuc fervens & tumidus ſurculus ſtatim in truncum, qui eum ſuſcipit, immittatur, neceſſe eſt antequam unitio fiat, parum quid de ſurculo emarceſcere, & vacuum aliquod ſpatium intercedere inter immiſſum & ſuſcipiens li-

(2) *Emend ex MSS. &* Interp. *prius* φυτῶδες, *nullo ſenſu.* (3) *Reſtitui ope MSS. &* Interp. *antea* ἔνθεσιν, *quod loci ſenſus reſpuit.*

gnum

gnum; & de cætero aer locos intermedios cavos ſubiens unionem fieri non permittit. Si vero per dies aliquot ſurculi in vaſe quopiam antea deponantur, in ipſo vaſe ſuſtinent quod paſſuri erant poſt inſitionem, & de cætero ubi jam inſiti ſunt, neque amplius laxatio fit vinculorum, neque aer ingredietur, ſed cito coaleſcent. Surculi præterea non borea ſpirante inſerendi ſunt, ſed auſtro. Atque illud quidem manifeſtum eſt, quod imber inſitioni quidem commodus eſt, infoliationi autem incommodus. Nôſſe item expedit, quod poſt æquinoctium autumnale uſque ad ſolſtitium hyemale, inſitio rite fieri poteſt, item poſt Favonii flatum, hoc eſt a ſeptima Februarii menſis, uſque ad ſolſtitium vernum. Quidam vero optimum tempus inſitionis eſſe aiunt, ſtatim poſt caniculæ ortum, & rurſus in æſtate, poſt caniculares æſtus. At vero ſi e longinquo afferantur ſurculi, portentur in vaſculo in lutum infixi, ipſumque vas diligenter oblinatur, ne perflentur & tranſpirent quæ apportantur.

καὶ λοιπὸν εἰς τοὺς μεταξὺ κοίλους τόπους ὁ ἀὴρ εἰσδύνων οὐκ ἐᾷ τὴν σύμφυσιν γένεσθαι. Εἰ δὲ ἐπί τινας ἡμέρας τὰ ἐνθέματα ἔν τινι ἀγγείῳ πρότερον ἀποτεθῇ, ὑπομένει ἐν αὐτῷ ὃ πάσχειν ἔμελλε μετὰ τὴν ἔνθεσιν, καὶ οὐκέτι λοιπὸν ἐντιθέντων αὐτῶν, οὔτε χαύνωσις γίνεται τῶν δεσμῶν, οὔτε ὁ ἀὴρ εἰσδύσεται, ἀλλὰ συντόμως συμφυήσεται. Δεῖ δὲ τὰ ἐνθέματα μὴ τοῦ βορρᾶ πνέοντος ἐντίθεσθαι, ἀλλὰ τοῦ νότου. ἐκεῖνο μέντοι δῆλόν ἐστιν, ὅτι ὄμβρος τῷ μὲν ἐγκεντρισμῷ χρήσιμος, τῷ δὲ ἐμφυλλισμῷ ἀσύμφορος. χρὴ δὲ εἰδέναι, ὅτι μετὰ ἰσημερίαν φθινοπωρινὴν (4) καλὸς γίνεται ὁ ἐγκεντρισμὸς, μέχρι τροπῶν χειμερινῶν, καὶ μετὰ Ζεφύρου πνοὰς, τουτέστιν ἀπὸ ζ′. τοῦ Φεβρουαρίου μηνὸς, ἕως τροπῶν ἐαρινῶν. Τινὲς δὲ ἄριστον εἶναι καιρὸν φασι τοῦ ἐγκεντρισμοῦ, μετὰ τὴν ἐπιτολὴν εὐθὺς τοῦ Κυνὸς, καὶ πάλιν ἐν τῷ θέρει, μετὰ τὰ ὑπὸ Κύνα καύματα. τὰ δὲ ἐνθέματα, εἰ ἀπὸ διαστήματος κομίζοιτο, φερέσθω ἐν ἀγγείῳ ἐμπαγέντα εἰς πηλὸν, καὶ τὸ ἀγγεῖον ἐπικεχρίσθω ἐπιμελῶς, ἵνα μὴ διαπνέηται τὰ φερόμενα.

(4) *Malim* καλῶς.

CAP. LXXVI.

De infoliatione & inſitione, & quæ arbores quarum plantarum capaces ad infoliationem & inſitionem ſint. Diophanis.

ΚΕΦ. ΟϚ.

Περὶ ἐμφυλλισμοῦ καὶ ἐγκεντρισμοῦ, καὶ ποῖα τῶν δένδρων ποίων φυτῶν ἐστὶ δεκτικὰ εἰς ἐμφυλλισμὸν καὶ ἐγκεντρισμόν. Διοφάνους.

Ficus inſeritur in morum & in platanum. Morus inſeritur in caſtaneam, & fagum, & malum, & terebinthum, & pyraſtrum, & ulmum, & populum albam, ex qua mora alba redduntur. Pyrus inſeritur in punicas, & cotoneam ma-

Ἡ Συκῆ ἐνθεματίζεται εἰς συκάμινον καὶ εἰς πλάτανον. τὸ συκάμινον ἐνθεματίζεται εἰς κάστανον, καὶ φηγὸν, καὶ εἰς μηλέαν, καὶ τέρμινθον, καὶ εἰς ἀχράδας, καὶ εἰς πτελέαν, καὶ εἰς λεύκην, ἀφ᾽ ἧς γίνεται λευκὰ συκάμινα. τὰ δὲ ἀππίδια

ἐνθεμα-

ἐνθεματίζεται εἰς ῥοιὰς, καὶ εἰς κυδώνια, καὶ συκάμινα, καὶ εἰς ἀμυγδαλῆν, καὶ εἰς τέρμινθον. Εἰ δέ τις τὰ ἀπίδια ἐνθεματίζει εἰς συκάμινον, ἐρυθρὰ (1) ἕξει ταῦτα. τὰ μῆλα ἐγκεντρίζεται εἰς πᾶσαν ἀχράδα, καὶ εἰς κυδώνια, καὶ γίνεται μῆλα κάλλιστα, τὰ καλούμενα ἐν Ἀθήναις (2) μελίμηλα, ἔτι καὶ εἰς δαμασκηνὸν, καὶ ἀνάπαλιν, καὶ εἰς πλάτανον, ἀφ' ἧς γίνεται ἐρυθρὰ τὰ μῆλα. Τὸ κάρυον εἰς κόμαρον μόνον ἐγκεντρίζεται. τὰ ῥοΐδια ἐνθεματίζεται εἰς ἰτέαν. ἡ δάφνη ἐγκεντρίζεται εἰς (3) μελίαν. τὸ δωρακινὸν ἐμφυλλίζεται εἰς δαμασκηνὸν, καὶ εἰς ἀμυγδαλῆν. τὰ δαμασκηνὰ ἐγκεντρίζεται εἰς πᾶσαν ἀχράδα, καὶ εἰς κυδώνια, καὶ εἰς μῆλα. τὸ κάστανον ἐγκεντρίζεται εἰς κάρυον, καὶ δρῦν, καὶ φηγόν. τὸ κεράσιον ἐγκεντρίζεται εἰς τέρμινθον, καὶ εἰς περσικὸν, καὶ ἀνάπαλιν. Τὰ κυδώνια ἐγκεντρίζεται εἰς (a) ὀξυάκανθον. ἡ μυρσίνη ἐνθεματίζεται εἰς (4) ἰτέαν. τὸ βερίκοκκον ἐνθεματίζεται εἰς δαμασκηνὸν, καὶ εἰς Θάσιον. τὸ κίτριον μόλις δέχεται ἐμφυλλισμὸν, ὡς λεπτόφλοιον. ἐγκεντρίζεται δὲ ἐκ τοῦ ἰδίου φυτοῦ, καὶ ἀπὸ μήλων, ὅπερ πολλάκις πεποίηκα, καὶ μετὰ τὸ φῦναι ἐμαράνθη. οἶμαι δὲ, εἰ (5) κρατήσοι, ποιήσει καρπὸν τὰ καλούμενα κιτρόμηλα. εἰ δὲ αὐτὸ τὸ κίτριόν τις εἰς συκάμινον ἐνθεματίσει, ἐρυθρὰ οἴσει τὰ κίτρια. Τὰ κυδώνια καὶ τὸ ἐρινεὸν παντὸς δένδρου ἐστὶ δεκτικά, ὃ βούλει οὖν εἰς ταῦτα ἐγκέντρισον, ἤτοι ἐμφύλλισον. Τὸ κίτριον καλῶς ἐγκεντρίζεται εἰς ῥοιὰν, ὡς ὁ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι. (6) Ὁ δὲ

lum, & morum, & amygdalam, & in terebinthum. Inſita in morum pyrus rubicunda pyra producet. Mala inſeruntur in omnem pyraſtrum, & cotoneam, fiuntque pulcherrima mala, quæ Athenis melimela appellantur, in damaſcenum etiam, ac viciſſim, & in platanum, ex qua rubicunda fiunt mala. Nux in arbutum ſolam inſeritur. Mala punica in ſalicem inſeruntur. Laurus in malum inſeritur. Duracinum in damaſcenum infoliatur, & in amygdalam. Damaſcena in omnem pyraſtrum inſeruntur, & in cotoneam, & in malum. Caſtanea inſeritur in nucem, quercumque ac fagum. Ceraſus inſeritur in terebinthum, & in perſicum, & vice verſa. Cotonea inſeruntur in oxyacantham. Myrtus inſeritur in ſalicem. Præcox inſeritur in damaſcenum, & in Thaſiam arborem. Citrium vix ſuſcipit infoliationem, cum tenuis ſit corticis. Inſeritur autem ex propria planta, & de malo, quod ſæpe feci, & poſtquam enatum fuit, emarcuit. Puto autem quod, ſi comprehenderit arbor, citromala feret. Si vero quis ipſum citrium in morum inſerat, rubicunda citra producet. Cydonia & caprificus omnem arborem ſuſcipiunt; quamcunque ergo velis in has inſerito, aut etiam infoliato. Citrium recte inſeritur in punicam, ut Didymus in Georgicis ſuis pro-

(1) *In MSS.* V. *&* Bar. ἐνθεματίσει..... ἕξει τὰ ἀπίδια. (2) *Vid. Notam ad Cap. XX. hujus Libri.* (3) *Malim cum* Interp. μηλέαν, *ſed* V. L. *&* Bod. *ut in textu.*

(a) Ὀξυάκανθον-] *De Oxyacantha ſive alba ſpina plurima congeſſit* Salmaſius *ad* Sol. *pag.* 269, 70.

(4) *Supplevi hanc lacunam, ab* ἰτέαν *ad* δαμασκ., *ex MSS. &* Interp. *In* F. L. *&* Bod. ἐγκεντρίζεται εἰς δαμ. (5) *Ita MSS.* (6) *Emend. ex MSS.* Interp. *legit* καλῶς εἰς κέρασον ἐγκεντρ. *ſed MSS. ut in textu.*

dit.

dit. Florentinus autem in Georgicis ſuis tradit, vitem in ceraſum rite inſeri, & in vere uvas ferre, oleam item in vitem inſitam fructum ferre ole-uvam appellatum. Myrapia vero commode in malos infoliantur, quod experientia didici.

Φλωρεντῖνος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι, τὴν ἄμπελον καλῶς ἐγκεντρίζεσθαι, καὶ ἐν τῷ ἔαρι φέρειν τὰς σταφυλάς, καὶ τὴν ἐλαίαν εἰς ἄμπελον ἐγκεντριζομένην φέρειν καρπὸν † ἐλαιοστάφυλον. τὰ δὲ (b) μυραππίδια καλῶς ἐμφυλλίζεται εἰς μῆλα, ὡς ἐκ τῆς πείρας μεμάθηκα.

† *Reſpice ad* Cap. 14. Lib. *IX. ubi de Ole-uva fuſius agitur.*

(b) Μυραππίδια-] *Pyri* τῷ μύρῳ, unguento, *perfuſæ erant, ex quo fructus miram odoris fragrantiam percepit; ut Vites Alexipharmacis imbutæ fiunt Theriacæ. Pyrorum Myrappiorum meminit* Columella. *p.* 419.

CAP. LXXVII.

De tempore & modo inoculationis. Didymi.

INoculatio ante ſolſtitium æſtivum commode & opportune fit. Ego vero etiam circa æquinoctium vernum die ſereno, cum germinare incipiunt arbores, inoculavi, & optime ſucceſſit. Purganda eſt arbor, in quam inoculatio fit, a ſobole, hoc eſt propaginibus & coma, relictis perfectioribus & adultioribus ramis, in quos infoliaturus es: deinde avellendum arboris fructuoſæ generoſum & anniculum germen, ex eoque oculus inſerendus ad exactam ſcalpturam trunci, cui per commutationem inſeritur. Ipſum autem corticem purum exacte deglubere oportet, lignoſum vero quod eſt integrum & intactum ſervare. Hoc enim valde neceſſarium habetur. Præſtat autem oculum, qui eſt in germine immittendo, in oculum qui eſt in trunco incidere, In ipſum enim poſitus omnino coaleſcit. Licet etiam, citra oculum, in alteram

ΚΕΦ. ΟΖ.

Περὶ καιροῦ καὶ τρόπου ἐνοφθαλμισμοῦ. Διδύμου.

ὉἘνοφθαλμισμὸς (1) εὐκαίρως γίνεται περὶ τροπῶν τῶν θερινῶν. ἐγὼ δὲ καὶ περὶ ἰσημερίαν ἐαρινὴν ἐνοφθαλμίσας ἐν ἡμέρᾳ εὐδιεινῇ, ὅταν ἐν ἀρχῇ τῆς βλαστήσεως ᾖ τὰ δένδρα, σφόδρα ἐπέτυχον. καθαρτέον δὲ τὸ ἐνοφθαλμιζόμενον δένδρον ἀπὸ τῶν ὄζων, τουτέστι τῶν παραφυάδων καὶ τῆς κόμης, (2) καταλιμπανομένων τῶν τελειοτέρων καὶ ἀδροτάτων κλάδων τῶν μελλόντων ἐμφυλλίζεσθαι· εἶτα λαβόντα τοῦ εὐκάρπου δένδρου τὴν (3) γενναίαν καὶ ἐπέτειον βλάστην, τὸν ἐξ αὐτῆς ὀφθαλμὸν ἐνθετέον κατὰ ἀκριβῆ περιχάραξιν [(4) κατὰ] τοῦ ἐναλλασσομένου στελέχους. αὐτὸν δὲ χρὴ τὸν φλοιὸν ἁγνὸν ἀκριβῶς ἀποδεῖραι, τὸ δὲ ξυλῶδες ἀκέραιον καὶ ἄθικτον τηρεῖν. τοῦτο γὰρ πάνυ ἐστὶν ἀναγκαῖον. Καλὸν δὲ τὸν ἐν τῷ ἐμβόλῳ ὀφθαλμὸν πίπτειν κατὰ τοῦ ἐν τῷ στελέχει ὀφθαλμοῦ. κατ᾽ αὐτὸ γὰρ τεθεὶς συμφύεται πάντως. ἔξεστι δέ, καὶ δίχα τοῦ ὀφθαλμοῦ, κατὰ ἑτέρου μέρους τοῦ στε-

(1) *MSS.* Long. *&* Bod. ἀκαίρως γίνεται περὶ τροπῶν τῶν ἐαρινῶν, *ſed cæt. MSS. ut in textu.* (2) *Emend. ex MSS. prius* καταλιμπάνων..... τοὺς μέλλοντας. (3) *Ita MSS.* Palatt. *&* Barocc. *ante, nullo ſenſu,* γενεάν. (4) *Hæc vox lituram mereri videtur.*

λέχους ἐν τόπῳ λείῳ τὸν ἐμφυλλισμὸν ποιεῖσθαι. δεῖ δὲ καὶ τοὺς φλοιοὺς ἀμφοτέρων τῶν στελεχῶν ἰσοπαχεῖς εἶναι. γινομένης δὲ συμφύσεως, εὐθὺς τὸ ὑπεράνω τῆς ἁρμογῆς ἀπόκοπτε, ἵνα μὴ εἰς τοῦτο ἡ τροφὴ χωρήσῃ, ἀλλ' εἰς τὸ ἁρμοσθέν. τριφύλλων δὲ γινομένων τῶν ἐνθεμάτων, χρὴ τοὺς δεσμοὺς ἀφαιρεῖν. Ἐγὼ δὲ πολλάκις οὐκ αὐτὸν τὸν ὀφθαλμὸν ἐκ τῆς ἐπετείας βλάστης ἀφελὼν, τοῦτον καθ' ἑαυτὸν ἐνεφύλλισα, ἀλλ' ἐάσας τὸν ὀφθαλμὸν ἀσινῆ ἐν τῇ βλάστῃ, ἐκ τοῦ ὄπισθεν τοῦ ὀφθαλμοῦ μέρους τὸν φλοιὸν ἀποδείρας, καὶ φανερὸν μέρος γλύψας τοῦ ξύλου, ὡς ἐπὶ τοῦ γραφικοῦ καλάμου, οὕτω τὸν ὀφθαλμὸν μετὰ τοῦ μέρους τοῦ ἐναπομείναντος ξύλου ἐμφυλλίσας, γενναιότερα ἐκ τοῦ τοιούτου ἐμφυλλισμοῦ ἐκτησάμην δένδρα. τὰ δὲ ἀριστερὰ τῶν κλάδων ἐνοφθαλμιζόμενα διπλοῦν τὸν καρπὸν οἴσει.

trunci partem in loco lævi infoliationem facere. Oportet autem & cortices utrorumque truncorum æqualis craſſitudinis eſſe. Facta autem unione, ſtatim quod ſupra commiſſuram eſt recide, ne in hoc ipſum alimentum cedat, ſed in id quod coaptatum eſt. At vero ubi ſurculi inſiti tria folia habuerint, vincula diſſoluta tollantur. Ego vero ſæpenumero non ipſum oculum ex anniculo germine per ſeipſum infoliavi, ſed relicto oculo in ipſo germine illæſo, ex parte pone oculum ſita corticem detraxi, & conſpicua ligni parte, quemadmodum in calamo ſcriptorio fieri ſolet, ſculpta, ſic oculum cum parte ligni reliqua infoliavi, & generoſiores ex hujuſmodi infoliatione arbores nactus ſum. Cæterum ſi ſiniſtræ ramorum partes inoculationem ſuſceperint, duplum fructum ferent.

ΚΕΦ. ΟΗ.

Πότε δεῖ καθαίρειν τὰ δένδρα. Λεοντίνου.

Μετὰ τὴν καρπολογίαν εὐθέως καὶ τὰ μεγάλα καὶ τὰ μικρὰ δένδρα καθαρτέον, τά τε τὴν ὀπώραν ἔχοντα, καὶ τὰ ἀκρόδρυα, ὀξυτάτοις δρεπάνοις πᾶν τὸ φαῦλον καὶ περιττὸν ἐξαιροῦντας. τοῖς δὲ νεοφύτοις μὴ πλέον ἑνὸς ἀπολειπτέον. ἐξαιρετέον δὲ τὰς παραφυάδας τῶν πρέμνων, ἵνα λεῖον ᾖ καὶ ὀρθὸν, ἐπὶ τῆς κορυφῆς ἔχον τρία ἢ τέσσαρα νέα κλωνία ἀσινῆ, διεστηκότα ἀπ' ἀλλήλων. οὕτω δὲ σχηματίζεται τὸ φυτὸν ἐφάπαλον ὄν.

CAP. LXXVIII.

Quando arbores purgandæ. Leontini.

POſt collectos fructus ſtatim & magnas & parvas arbores purgare oportet, tum quæ poma, tum quæ nuces ferunt, omni vitioſo & ſuperfluo acutiſſimis falcibus amputato. In novellis plantis plus uno ramulo non relinquendum eſt. Tollendæ etiam truncorum propagines, ut planta lævis ſit & recta, in vertice habens tres aut quatuor novellos ramulos illæſos, & inter ſe diſtantes. Sic autem formanda eſt planta, dum tenera eſt.

CAP. LXXIX.

Ad arbores ſyderatas, Democriti.

SYderatæ arbores unguento rigatæ reviviſcent.

ΚΕΦ. ΟΘ.

Πρὸς δένδρα (1) ἀστρόπληγα. Δημοκρίτου.

Ἀστρόπληγα δένδρα μύρῳ ποτιζόμενα ἀναζῇ.

(1) *Hæc vox* προπαροξύνεται, *ut ab accuſativo ſingulari diſtinguatur.*

CAP. LXXX.

Ut volatilia arborem non impetant. Ejuſdem.

FAlcem putatoriam allio illine, aut allia in arbore ſuſpende.

ΚΕΦ. Π.

Πετεινὰ δένδρῳ μὴ προσιέναι. Τοῦ Αὐτοῦ.

Τὸ δρέπανον ἐν ᾧ κλαδεύεις σκορόδῳ χρίε, ἢ κρέμασον σκόροδα εἰς τὸ δένδρον.

CAP. LXXXI.

De cura plantarum. Varronis.

PLantæ quæ in autumno plantantur, ſinendæ ſunt uſque ad ver immotæ. Adveniente autem vere, ligonibus quater fodere convenit. Quæ autem in vere plantatæ ſunt, tunc fodiendæ ſunt, ubi comprehendiſſe videntur: Idem etiam in tranſplantatis facere oportet. Primo anno etiam rigare plantas convenit per æſtatem, ſuperflua autem tollenda ſunt, non ferro, ſed manibus, ſi teneriores fuerint, & facile cedere poſſint, ſi vero non, melius eſt ut relinquantur, quam ut ferrum admoveatur plantis adhuc novellis. Obtorpeſcunt enim ex ferri tactu. Oportet etiam palos juxta depangere, in quibus plantæ requieſcant. Fructuoſæ arbores ſtercorandæ ſunt Januario menſe; non ad ipſas radices. Id enim nimium calfacit.

ΚΕΦ. ΠΑ.

Περὶ ἐπιμελείας τῶν φυτευομένων. Βάρρωνος.

Τὰ φυτὰ, ὅσα ἐν τῷ φθινοπώρῳ φυτεύεται, ἐατέον μέχρι τοῦ ἔαρος μηδὲν κινοῦντας. (1) ἐπελθόντος δὲ τοῦ ἔαρος, ταῖς δικέλλαις σκάπτειν προσήκει τετράκις. τὰ δὲ ἐν τῷ ἔαρι φυτευθέντα τότε δεῖ ἄρχεσθαι σκάπτειν, ὅταν κατεσχηκέναι δοκῇ· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μεταφυτευομένων ποιεῖν. Χρὴ δὲ τῷ πρώτῳ ἔτει καὶ ἀρδεύειν τὰ φυτὰ τοῦ θέρους, τὰ δὲ περιττὰ ἀφαιρετέον, οὐ σιδήρῳ, ἀλλὰ ταῖς χερσὶν, ἐὰν τρυφερώτερα ᾖ, καὶ εἴκειν εὐκόλως δύνανται, εἰ δὲ μὴ, καταλιμπάνειν κάλλιον, ἢ σίδηρον προσφέρειν ἔτι νέοις οὖσι τοῖς φυτοῖς. ναρκᾷ γὰρ τῇ τοῦ σιδήρου θίξει. δεῖ δὲ καὶ χάρακας παραπηγνύναι, πρὸς ἀνάπαυσιν τῶν φυτῶν. κοπρίζειν δὲ χρὴ τὰ καρποφόρα δένδρα τῷ Ἰανουαρίῳ μηνὶ, οὐκ εὐθὺς παρὰ τὰς ῥίζας. θερμαίνει γὰρ σφόδρα.

(1) *In MSS.* ἐπιλαβομένου δὲ τοῦ ——.

ΚΕΦ. ΠΒ.

Ὥστε πάντα τὰ δένδρα πλείονα καρπὸν φέρειν. Ἀφρικανοῦ.

(a) Ἀνδράχνην καὶ τιθύμαλλον συγκόψας καλῶς, καὶ μίξας, τὰ στελέχη περιάλειψον. πάντα δὲ τὰ δένδρα πλείονα καρπὸν οἴσει, ἐὰν τὰς ῥίζας αὐτῶν περιστερῶν κόπρῳ περιχείσῃς.

(a) *Vid. Notas ad Cap. XXXV. hujus Libri.*

CAP. LXXXII.

Ut omnes arbores plus fructus ferant. Africani.

Portulacam & tithymallum probe contuſa & mixta truncis oblinito. Omnes autem arbores copioſiorem fructum ferent, ſi radices ipſarum columbino fimo obleveris.

ΚΕΦ. ΠΓ.

Δένδρον ἄκαρπον καρποφορεῖν. Ζωροάστρου.

Συζωσάμενος καὶ ἀνακομβωσάμενος, καὶ λαβὼν πέλεκυν ἢ ἀξίνην, μετὰ θυμοῦ πρόσελθε τῷ δένδρῳ, ἐκκόψαι τοῦτο βουλόμενος. προσελθόντος δέ σοί τινος, καὶ παραιτουμένου τὴν τούτου ἀποκοπὴν, ὡς ἐγγυητοῦ τε τοῦ μέλλοντος καρποῦ, δόξον πείθεσθαι καὶ φείδεσθαι τοῦ δένδρου, καὶ εὐφορήσει τοῦ λοιποῦ. καὶ ἄχυρα κυάμινα παραβαλλόμενα τῷ στελέχει ποιεῖ τὸ δένδρον καρποφορεῖν.

CAP. LXXXIII.

Ut arbor ſterilis fructum ferat. Zoroaſtris.

Succinctus & crine in nodum obtorto, arreptaque bipenni aut aſcia, iratus ad arborem accedito, eam exciſurus. Obviam autem veniente tibi quopiam, ejuſque exciſionem deprecante, & tanquam futuri fructus fidejuſſore, videaris perſuaſus eſſe, & ejus cauſa arbori parcere, & de cætero abunde fructum dabit. Sed & paleæ fabaceæ trunco circumjectæ arborem fructuoſam efficiunt.

ΚΕΦ. ΠΔ.

Δένδρων θεραπεία, ἑκάστην βλάβην ἰωμένη. Παξάμου.

Ἑκάστῳ μὲν τῶν δένδρων ἰδιάζουσά τις ἁρμόττει κεχωρισμένη θεραπεία. τὴν δὲ πᾶσιν ὁμοῦ γενικῶς ἁρμόττουσαν τοῖς δένδροις θεραπείαν οὐ παραλείψω, ἀλλ᾽ εἰς τὸ φανερὸν καταστήσω. εἰ τοίνυν ὑγιεινὰ καὶ εὔ-

CAP. LXXXIV.

Arborum cura, quæ ſingulas ipſarum noxas ſanat. Paxami.

Unicuique arbori propria quædam cura ſeorſim convenit. Eam vero quæ omnibus ſimul arboribus generaliter congruit non omittam, ſed in medium proferam. Si igitur ſanas & habitiores manere arbo-

arbores velis, urina veteri humana aut pecoris circumfoſſas radices rigato, ſimulque ipſum truncum. Si vero pluviæ deficiant, etiam aqua rigato. Idem facit amurca pari portione aquæ temperata, & unicuique arbori affuſa. Quidam plantantes taurino felle radices linunt, & quæ ſic plantata ſunt illæſa manent. Quidam ſucco herbæ πολύπρεμνος appellatæ plantarum truncos illeverunt, eoſque illæſos conſervarunt, & plurimum fructum legerunt. In univerſum, omnibus arboribus proſunt paleæ fabarum, aut aliorum leguminum, aut frumentacei generis, ſiccæ arboribus adjectæ, ut Didymus in Georgicis ſuis tradit.

τροφα (1) μένειν βούλει πάντα τὰ δένδρα, οὔρῳ παλαιῷ ἀνδρῶν ἢ κτηνῶν περιορύξας τὰς ῥίζας βρέχε, ἅμα καὶ τὰ στελέχη. ἐὰν δὲ ὄμβροι ἐλλείψωσι, καὶ ὕδατι ἄρδευε. τὸ δὲ αὐτὸ ποιεῖ καὶ ἀμόργη (2) συγκραθεῖσα ἐξ ἴσου ὕδατι, καὶ παραχεομένη ἑκάστῳ δένδρῳ. τινὲς φυτεύοντες ταυρείᾳ χολῇ τὰς ῥίζας χρίουσι, καὶ ἀβλαβῆ μένει τὰ οὕτω φυτευόμενα. Τινὲς δὲ τῆς πολυπρέμνου καλουμένης βοτάνης (3) οὗ ὀποῦ τὰ πρέμνα χρίσαντες τῶν φυτῶν, ἀβλαβῆ ταῦτα διεφύλαξαν, καὶ πλεῖστον καρπὸν ἐκομίσαντο. καθόλου δὲ, πᾶν δένδρον ὀνήσει ἄχυρα κυάμων, ἢ τῶν ἄλλων ὀσπρίων, ἢ τῶν σιτικῶν, ξηρὰ τοῖς δένδροις παρατιθέμενα, ὡς ὁ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι.

(1) *Ex MSS. &* Interp. *antea* εἶναι. (2) *Ita MSS. male prius* συγκρατεῖσα. (3) *Melius forſan* τοῦ ὀποῦ.

CAP. LXXXV.

Quomodo magnas & fructuoſas arbores tranſplantare liceat. Anatolii.

VAlde profundas ſcrobes facere oportet, & reſecta arborum coma, craſſiores rami illæſi & radices integræ conſerventur, trunci vero cum multa terra propria & ſtercore erecti in ſcrobes mittantur, animadverſione habita, ut quocunque inclinent, maneant; apponantur autem utrinque fictilia duo perforata, ut per ea vaſa radices aſſidue rigentur. Obditur his operculum ea de cauſa, ut foramina non obturentur. Ipſa tranſplantatio opportune fit, ante Pleiadum occaſum. Cæterum in plantatione arbo-

ΚΕΦ. ΠΕ.

Πῶς ἔστι μεγάλα δένδρα καὶ ἔγκαρπα μεταφυτεῦσαι. Ἀνατολίου.

ΣΦόδρα βαθεῖς βόθρους ποιήσαντες, καὶ περικόψαντες τὴν κόμην, καὶ ἀσινεῖς τοὺς παχυτέρους (a) κλῶνας καὶ ἀκεραίους τὰς ῥίζας διατηρήσαντες, μετὰ πολλῆς τῆς οἰκείας γῆς καὶ κόπρου ὀρθὰ βάλλουσι τὰ πρέμνα, φυλαττόμενοι, ἵν' ὅπου ἂν κλίνῃ, μείνῃ· καὶ παρατιθέασιν ἑκατέρωθεν κεράμια δύο τετρυπημένα, ἵνα διὰ τῶν ἀγγείων συνεχῶς ἀρδεύωσι τὰς ῥίζας. πωμάζουσι δὲ, χάριν τοῦ μὴ ἀποφραγῆναι τὰς ὀπάς. γίνεται δὲ ἡ μεταφυτεία εὐκαίρως, πρὸ δύσεως Πλειάδων. δεῖ δὲ ἐν τῷ φυτεύειν τὸ δένδρον φυλάτ-

(a) Κλῶνας] *Ita* Pallad. *in* Novemb. *Tit. XVI.* " *Hoc menſe locis* " *ſiccis, calidis & apricis majores arbores transferemus, truncatis ramis,* " *illæſis radicibus, multo ſtercore & rigationibus adjuvandas.*

τοῦ

τειν (b) πρὸς ἀνατολὴν καὶ δύσιν τὸ ἀρχαῖον σχῆμα.

ris veterem figuram ad ortum & occaſum ſervare debemus.

(b) Πρὸς ἀνατολὴν-] Colum. *pag.* 490. " *Priuſquam arbuſculas trans-* " *feras, rubrica, vel alia qualibet re ſignato, ut iiſdem ventis, quibus* " *ante ſteterunt, conſtituas eas. Sic etiam docet* Virgilius: " Quin etiam " cæli regionem in cortice ſignant, " Ut quæ quoque modo ſteterit, " qua parte calores " Auſtrinos tulerit, qua terga obverterit axi, " Reſtituant.———

ΚΕΦ. ΠϚ.

Πῶς ἐστιν ἐκ διαστήματος σπέρματα κομίσαντα φυτὰ ποιῆσαι. Παμφίλου.

Ἐπειδὴ πολλάκις ἐκ διαστημάτων φυτὰ κομιζόμενα μαραίνεται, δεῖ ἐκ σπερμάτων μετακομίζειν οὕτως. ὅταν ἐν τῷ στελέχει πεπανθῇ ὁ καρπὸς, λαβόντες τοῦτον ἐπιπάττουσι σποδῷ, εἶτα ξηραίνουσιν ἐν σκιᾷ, καὶ μετὰ ταῦτα βόθρον ποιήσαντες ἐμβάλλουσι τὸν καρπὸν, καὶ ἀρδεύουσι καθ' ἡμέραν, ἕως ἂν βλαστήσῃ. καὶ ἐπειδὰν γένηται διετὴς ἢ τριετὴς, μετακομίζουσι σὺν ταῖς ῥίζαις, καὶ χωννύουσιν, ὑπεργείους τὰς κορυφὰς μόνον ποιοῦντες. δοκεῖ δέ τισιν εὐτελὴς εἶναι ἡ τῶν σπερμάτων φυτεία. χρὴ δὲ γινώσκειν, ὅτι πᾶν σπέρμα τὸ ὅμοιον ἀποτελεῖ γένος, πλὴν ἐλαίας. (1) κότινον γὰρ γεννᾷ, τουτέστιν ἀγριελαίαν, καὶ οὐχὶ ἐλαίαν.

CAP. LXXXVI.

Quomodo ex locis longe diſtantibus apportata ſemina plantæ fiant. Pamphili.

QUandoquidem plantæ ex longinquo allatæ ſæpe marceſcunt, oportet ex ſeminibus transferre hoc modo. Quum in trunco maturuerit fructus, detractum cinere conſpergunt, deinde in umbra ſiccant, & poſtea ſcrobe facta fructum immittunt, eumque quotidie rigant, donec germen erumpat. & poſtquam duorum aut trium annorum fuerit, transferunt una cum radicibus, & obruunt, acumina tantum ſuper terram extare ſinentes. Videtur autem quibuſdam vilis eſſe ſeminum plantatio. Verum nôſſe convenit, quod omne ſemen ſimile genus producit, præter oleam. Oleaſtrum enim generat, hoc eſt ſylveſtrem oleam, & non oleam veram.

(1) *Ita recte* Caſaub. Interp. *&* Interpolator Cod. Bar. *pr. Ed. & MSS. peſſime* σκοτεινόν.

ΚΕΦ. ΠΖ.

Πρὸς τὸ μὴ ἀποβάλλειν δένδρα τὸν καρπόν. Σωτίωνος.

Αἶρας, τὰ λεγόμενα ζιζάνια, τὰ ἐν τῷ σίτῳ εὑρισκόμενα, ἀποσπασθέντα ὁμοῦ πολλὰ μετὰ τῶν ῥιζῶν

CAP. LXXXVII.

Ne arbores fructum abjiciant. Sotionis.

LOlium, quod zizaniorum nomine innoteſcit, & in frumento reperitur, plurimum ſimul evulſum cum

cum radicibus e terra, cum jam pingueſcere incipit, & in coronæ figuram formatum, ſi trunco arboris circumdetur, arbor fructum producit ac perficit, eumque non abjicit. Herba appellata verbaſcum nuci circumligata non permittet ipſam abjicere fructum. Minus autem fructum abjicit, ſi cancer, hoc eſt pagurus, trunco circumligetur. Similiterque, ſi truncum plumbo conſtrinxeris veluti corona, nux fructum non abjiciet, ſed & fertilis erit. Item ſi plantarum radicē circumfoderis & perforaveris, & cuneum ex corno immiſeris, terramque aggeſſeris, fructum non abjicient. Quidam nudatis radicibus, craſſiſſimas ex ipſis & maximas diffindunt, & in fiſſuram duri lapidis (ſilicis videlicet) fragmentum immittunt, deinde obligant, terraque accumulata rurſus obruunt. Didymus in Georgicis ſuis ait, etiam Homericum hunc verſum inſcriptum continere fructum,

> Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρεισκαίδεκα μῆνας. Hoc eſt,
>
> *Vinctus erat tredecim menſes in carcere duro.*

Continet fructum etiam lapis perforatus ſponte naturæ repertus, & in arboris ramum injectus. Similiter cohibent fructum, ſi ſcripſeris & arbori alligaveris, hæc verba; Et erit ſicut lignum quod plantatum eſt juxta decurſus aquarum, quod fructum ſuum dabit in tempore ſuo, & folium ejus non defluet. Polium item herba ſuſpenſa fructum continet.

ἀπὸ τῆς γῆς, ἡνίκα ἄρξηται λιπαίνειν, καὶ γενόμενα ἐν σχήματι στεφάνου, ἐὰν περιβληθῇ τῷ στελέχει τοῦ δένδρου, καὶ (1) τελεσφορεῖ, καὶ οὐκ ἀποῤῥίπτει τὸν καρπόν. ἡ δὲ καλουμένη φλόμος βοτάνη περιαπτομένη τῇ καρύᾳ οὐ συγχωρήσει ταύτην ἀποβάλλειν τὸν καρπόν· οὐκ ἀποβάλλει δὲ τοσοῦτον τὸν καρπὸν, ἐὰν καρκῖνος, τουτέστι (a) πάγουρος, αὐτῇ περιαφθῇ. ὁμοίως, ἐὰν μολίβδῳ περισφίγξῃς τὸ πρέμνον ὡς στεφάνῳ, οὐκ ἀποβάλλει τὸν καρπὸν, ἀλλὰ καὶ εὐφορήσει. Οὐκ ἀποῤῥίπτει τὸν καρπὸν τὰ φυτὰ, ἐὰν τὴν ῥίζαν περιορύξας καὶ τρυπήσας κρανέας ἐπίουρον ἐμβάλλῃς, καὶ γῆν ἐπισωρεύσῃς. τινὲς δὲ γυμνώσαντες τὰς ῥίζας τὰς ἀδροτάτας αὐτῶν, καὶ μεγίστας διελόντες μέσον, ἐπιβάλλουσι λίθου τοῦ σκληροῦ χάλικα, ἔπειτα ἐπιδήσαντες καταχωννύουσι πάλιν. Ὁ δὲ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι, συνέχειν τὸν καρπὸν καὶ τὸ † Ὁμηρικὸν ἔπος γραφόμενον,

> Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρεισκαίδεκα μῆνας.

Κατέχει τὸν καρπὸν καὶ λίθος τετρημένος αὐτοφυῶς εὑρισκόμενος, καὶ ἐμβαλλόμενος κλάδῳ τοῦ δένδρου. ὁμοίως κατέχει τὸν καρπὸν, ἐὰν γράψῃς καὶ προσδήσῃς εὐφυῶς τῷ δένδρῳ, ταῦτα, (b) Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται. πόλιον βοτάνη κρεμαμένη κατέχει τὸν καρπόν.

(1) *Ita reſtit. prius* τελεσφορῇ, οὐκ--.

(a) Πάγουρος-] *Paguri Cancrorum genus, teſtibus* Plinio *Lib. IX. &* Ariſtotele *de* Animal. *Lib.* 4. *Cap.* 3. *Ita dicti, quod* ἐν τοῖς πάγοις i. e. κρημνώδεσι τόποις οὖσιν καὶ φυλάττεσθαι εἰώθασιν. Athenæus, *ex* Timoclis *ſive* Xenarchi Purpura, *miram Paguri aſtutiam & in eludendis piſcatoribus calliditatem deprædicat Lib.VII. pag.* 319. † Iliad. *V. verſ.* 387.

(b) Καὶ ἔσται-] *Superſtitioſum hocce & ridiculum* περίαπτον *ex* Pſalmo 1. *ſecundum* Τοὺς Ο'. *deſumptum eſt, & a* Græculo *quodam* Sotione *longe inferiore adjectum.*

ΚΕΦ. ΠΗ.

Περὶ θεραπείας δένδρων ἀποβαλλόντων τὰ ἄνθη, ἢ φυλλορροούντων. Τῶν Κυντιλίων.

ΟΣα τῶν δένδρων φυλλορροεῖ, ἢ ἀποβάλλει τὰ ἄνθη, θεράπευε οὕτω. περιορυγεισῶν τῶν ῥιζῶν, περίβαλλε ἀχύρων κυαμίνων κεκραμένων ὕδατι τῷ μὲν μεγάλῳ δένδρῳ μέτρον χοῶν ὀκτὼ, τῷ δὲ μικρῷ οὐκ ἔλαττον τῶν δύο χοῶν. οὕτω γὰρ τὰ νοσοῦντα θεραπευθήσεται, καὶ τὸ λοιπὸν ἄνοσα μενεῖ.

CAP. LXXXVIII.

De cura arborum flores abjicientium, aut quibus folia defluunt. Quintiliorum.

QUæcunque arbores folia deflua habent, aut florem abjiciunt, ſic curandæ. Circumfoſſis radicibus, palearum fabacearum aqua temperatarum magnæ quidem arbori octo congiorum menſuram, parvæ vero non minus quam duos congios circumjice. Sic enim ægrotantes curabuntur, & de cætero a morbo liberæ erunt.

ΚΕΦ. ΠΘ.

Φυτὰ καὶ σπέρματα ὑπὸ κτηνῶν ἢ θρεμμάτων μὴ ἀδικεῖσθαι, φυσικὸν Δημοκρίτειον διὰ πείρας. Δημοκρίτου.

(a) ΚΑρκίνους, τουτέστι παγούρους, ποταμίους ἢ θαλαττίους οὐκ ἔλαττον ἢ ι'. εἰς ὕδωρ βαλὼν ἔασον ἡμέρας η'. καὶ πωμάσας ἀπόθου ἐν ὑπαίθρῳ, ὥστε ἡλιάζεσθαι ἡμέρας ι'. καὶ ἐκ τοῦ ὕδατος καταστάζε ὅσα μὴ θέλης βλαβῆναι ἐπὶ ἡμέρας η'. καὶ θαυμάσεις τὴν ἐνέργειαν. τὸ αὐτὸ ποιεῖ ἡ κυνεία κόπρος μετὰ οὔρου σαπροτάτου μιγεῖσα, καὶ περιῤῥαινομένη.

CAP. LXXXIX.

Ut plantæ & ſemina a jumentis & pecoribus non lædantur, phyſicum Democriti experimentum. Democriti.

CAncros, hoc eſt paguros, fluviales aut marinos non pauciores quam decem in aquam conjectos per dies octo ſinito, & concluſos ſub dio exponito, ut per dies decem inſolentur, & aquam inſtillato ſuper ea quæ illæſa manere velis per dies octo, & miraberis efficaciam. Idem facit caninum ſtercus urina putridiſſima admixta, & circumſperſum.

(a) Καρκίνους-] *Ita etiam* Democriti *fidus interpres* Pallad. *p.* 29.

CAP. XC.

Ut neque arbores, neque vites, a vermibus aut alio quopiam lædantur. Florentini.

RUbricam Lemniam & origanum cum aqua terito, indeque radices illine, & ſcillam circumcirca plantato. Si vero piceos paxillos circa arbores defixeris, vermes perdentur. Omni arbori ſtercus ſuillum urina aſini dilutum & injectum ipſam a vermibus illæſam conſervat, ut Didymus in Georgicis ſuis tradit. Idem ait, quod, ſi radices taurino felle obleveris, arbor neque cito ſeneſcit, neque vermes gignet. Arbores non infeſtabunt vermes, ſi denudatis radicibus columbinum fimum circumcirca induxeris.

ΚΕΦ. ϟ.

Πρὸς τὸ μήτε δένδρα, μήτε ἀμπέλους, ὑπὸ σκωλήκων ἢ ἑτέρου τινὸς βλάπτεσθαι. Φλωρεντίνου.

(a) ΜΙλτον (1) Λημνίαν καὶ ὀρίγανον μεθ' ὕδατος λειώσας τὰς ῥίζας ἄλειφε, καὶ σκίλλαν κύκλῳ περίφυτευσον. ἐὰν δὲ πευκίνους πασσάλους καταπήξῃς κύκλῳ τῶν δένδρων, διαφθαρήσονται οἱ σκώληκες. παντὶ δένδρῳ ἐὰν ὑεία κόπρος οὔρῳ ὄνου δευθεῖσα ἐπιβληθῇ, ἀβλαβὲς τοῦτο ἀπὸ σκωλήκων διαφυλάττει, ὡς ὁ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησιν. Ὁ Αὐτὸς δὲ λέγει, ὅτι ἐὰν ταυρείᾳ χολῇ περιχρίσῃς τὰς ῥίζας, οὔτε γηρᾷ ταχέως τὸ δένδρον, οὔτε σκώληκας ποιήσει. τὰ δένδρα οὐ σκωληκιάσει, ἐὰν γυμνώσας τὰς ῥίζας περιστερῶν κόπρῳ (2) κύκλῳ χρίσῃς.

(a) Μίλτον Λημνίαν-] J. Anton. Saracenus *ex* Galeno *de Simpl. notat in* Lemno *inſula, ad* Hephæſtiada *Urbem quæ Orientem ſpectat, in colle quodam plane alioqui ſterili, terram triplici differentia olim repertam.* Terra ſacra, *cui non Capræ imago, uti voluit* Dioſcorides, *ſed* Dianæ *ſacrum ſigillum imprimebatur, ideo* Λημνία Σφραγὶς *appellata.* Altera, *proprie ac vere,* Μίλτος *cognominata, qua potiſſimum utebantur fabri. Erat & tertii generis terra exterſoria, cujus uſus ad lintea & veſtes eluendas.* Plinius *certo errore* Rubricam *cum* Lemnia Sphragide *confundit. Plura volenti adeundi* Plinius *Tom. 5. Pag.* 185. Dioſcor. *Lib. V. Cap.* 113. *&* Salmaſ. *ad* Solin. *Pag.* 1156.

(1) *Ita legend. prius* λιμνίαν. (2) *Supplevi ex MSS. In* V. κόπρῳ κύκλῳ χρίσῃς. F. Long. *&* Bod. *ut in textu,* Barocc. κόπρῳ κύκλῳ περιχώσῃς.

ΒΙΒΛΙΟΝ ΙΑʹ.

LIBER XI.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΑʹ.

Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, ἑνδεκάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ τὰ στεφανωματικὰ τῶν δένδρων, καὶ τὰ ἀείφυλλα, καὶ φυτείαν ῥόδων, καὶ κρίνων, καὶ ἴων, καὶ τῶν λοιπῶν εὐωδῶν ἀνθέων.

ARGUMENTUM LIB. XI.

HÆC inſunt in hoc libro, qui undecimus eſt ſelectarum de Agricultura præceptionum, & continet arbores coronarias, & quæ folium perpetuo habent, & plantationem roſarum, & liliorum, & violarum, & reliquorum florum odoratorum.

ΚΕΦ. Α.

Πόσα καὶ ποῖα δένδρα εἰσὶν ἀειθαλῆ, καὶ μηδέποτε ἀποβάλλοντα ἐν τῷ χειμῶνι τὰ φύλλα.

(a) Δένδρα ἀειθαλῆ ἐστι, μηδέποτε φυλλοῤῥοοῦντα ἐν τῷ χειμῶνι, ιδʹ. φοῖνιξ, κίτρειον, (1) στρόβιλος, δάφνη, ἐλαία, κυπάρισσος, κερατέα, πίτυς, πρῖνος, πύξος, μυρσίνη, κέδρος, ἰτέα, καὶ ἄρκευθος.

CAP. I.

Quot & quales arbores ſemper virent, neque hyeme folia abjiciunt.

ARbores ſemper virides, neque hyeme folia deflua habentes, ſunt quatuordecim; Palma, citrium, lentiſcus, laurus, olea, cupreſſus, ſiliqua, pinus, ilex, buxus, myrtus, cedrus, ſalix, & juniperus.

(a) *His etiam arboribus annumerari merito poſſint Platanus* Gortynenſis *&* Cypria, *& Quercus apud* Thurios, *quibus, ſi* Theophraſto *&* Varroni *fides, folia nunquam defluebant: quibus etiam referentibus, in* Elephantino *agro nec vitibus, nec ficis, decidebant folia. Vid.* Theophr. *H. P.* Lib. *I.* Cap. *XV.* Varronem *de* R. R. *Lib. I. Cap. VII. &* L. Allatium *in* Euſtathii *Hexaemeron.*

(1) Interp. *legiſſe videtur* σχῖνος, *quod occurrit infra Cap.* 12.

ΚΕΦ. Β.

Περὶ δάφνης ἱστορία.

Δάφνη (a) Λάδωνος ποταμοῦ ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη.

CAP. II.

Hiſtoria de lauro.

DAphne Ladonis fluvii filia fuit pulcherrima. Hujus amore

(a) Λάδωνος ποταμοῦ] Ladon *fluvius* Arcadiæ, *cujus filiam fuiſſe* Daphnen *fabulantur* Philoſtratus *&* Aphthonius: *Sed* Ovidius, *aliique* Mythologi *non pauci* Peneo *fluvio* Theſſalico *ſatam eſſe tradiderunt.*

percitus

percitus Apollo eam ut dilectam inſequebatur. Quum igitur apprehenderetur a Deo, ſupplicâſſe fertur matri terræ, & ab hac ſuſcepta eſſe. Quum autem ſtatim pro ipſa arborem redderet terra, Apollo ea conſpecta obſtupuit, & arborem quidem a virgine eodem nomine *δάφνην* appellavit, ramo vero a planta accepto ſibi coronam inde fecit, & ex eo tempore Vaticinationis ſignum arbor fuit; &, quod non minus conveniens eſt, puellam quoque Σωφροσύνην nominant, (Vaticinatio enim ex ſobrietate provenit) & hanc Veteres Apollini conſecraverunt, quod igne plena ſit planta, & ipſe Apollo ignis. Eſt enim Sol. Unde etiam dæmonibus adverſatur, & ubi laurus fuerit, inde dæmones recedunt. Sed & in vaticiniis ea accenſa, prophetiæ aſſiſtentiam inveniſſe videntur. Dicunt inſuper & hoc de lauro, quod homines ſanos efficiat, unde etiam folia ipſius Magiſtratibus a populo prima Januarii menſis porrigebantur, itemque caricæ. Neque enim morbus ſacer aut dæmon locum infeſtat, in quo laurus eſt, neque fulmen, ubi eadem. Sed & palatium Daphne appel-

ἐρασθεὶς ἐν ταύτης Ἀπόλλων ὡς ἐρωμένην ἐδίωκε. καταλαμβανομένης ἐν αὐτῆς ὑπὸ τοῦ Θεοῦ, φασὶν εὔξασθαι τῇ μητρὶ γῇ, καὶ ὑπὸ ταύτης δεχθῆναι. τῆς δὲ γῆς παρελθοῦ ἀντ' αὐτῆς φυτὸν ἀναδούσης, Ἀπόλλων θεασάμενος ἐξεπλάγη, καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου δάφνην (1) ὠνόμασεν ὁμωνύμως, λαβὼν δὲ ἀπὸ τοῦ φυτοῦ κλῶνα ἐστεφανώσατο, καὶ (b) Μαντικῆς ἔκτοτε (2) σύμβολον ἐγένετο τὸ φυτόν· καὶ γὰρ προσῆκον καὶ τοῦτο, τὴν κόρην (3) Σωφροσύνην ὀνομάζουσι, (καὶ χρησμῳδεῖν γὰρ ἐκ σωφροσύνης περιέρχεται) καὶ ταύτην οἱ Παλαιοὶ τῷ Ἀπόλλωνι καθιεροῦσιν, ὅτι (c) πυρὸς πλήρες τὸ φυτὸν, καὶ Ἀπόλλων πῦρ. ὁ ἥλιος γάρ ἐστιν. ὅθεν καὶ ἀπεχθάνεται δαίμοσι, καὶ ἔνθα ἂν ᾖ δάφνης ἐκ ποδῶν δαίμονες. ἀλλὰ καὶ ἐν ταῖς μαντείαις καίοντες (4) αὐτὸ, παράστασιν προφητείας δοκοῦσιν εὑρηκέναι. λέγουσι δὲ καὶ τοῦτο περὶ τῆς δάφνης, ὅτι ὑγείας ἐργαστικόν ἐστιν. ὅθεν καὶ φύλλα αὐτῆς ἐπεδίδοντο τοῖς Ἄρχουσι παρὰ τοῦ δήμου τῇ πρώτῃ τοῦ Ἰανουαρίου μηνὸς, καὶ ἰσχάδες. οὐδὲ γὰρ ἡ ἱερὰ νόσος ἢ δαίμων παρενοχλεῖ τῷ τόπῳ, ἐν ᾧ δάφνη ἐστὶν, ὥσπερ οὐδὲ κεραυνὸς, ὅπου (5) συ-

(1) *MSS. habent* προσηγόρευσεν.

(b) Μαντικῆς..... σύμβολον-] *Lauri ramum admorſum geſtabant, qui vaticinandi ſcientia præſtare volebant, unde Vates* δαφνηφάγοι. Aſclepiades *in ſtatuam* Homeri, Καί σοι καλλιπέτηλον ἐρυσσάμεναι περὶ πάσης Ὠρέξαν δάφνης ἱερὸν ἀκρέμονα. *Et* Lycophronis Caſſandra Δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα. *Hinc laurus* κατ' ἐξοχὴν τὸ μαντικὸν φυτὸν, *&* Claudiano, ——venturi præſcia Laurus.

(2) *MSS.* γέγονε σύμβολον. (3) *In MSS. &* Interp. Σωφροσύνην. *Huc pertinet illud* Anacreontis *Od. LXIV.* Σαόφρων γάρ ἐστι κούρα [Δάφνη]---.

(c) Euſebius *de* Præpar. Evang. *aſſerit Laurum a* Vett. Apollini *dicatam fuiſſe, quia ignea eſſet, unde odio Dæmonibus; &, ſi igni tradatur, plurimum crepitat, quod prædicendi Virtutem indicare crediderunt.* Lucret. *Lib. VI.*——" Phœbi Delphica Laurus " Terribili ſonitu flamma cre- " pitante crematur.

(4) Caſaub. *legit* αὐτὴν, *ſed MSS.* αὐτὸ, *ut in textu, quod referendum eſt ad* φυτόν. (5) Interp. *legit* αὐτῇ. *Et rectius forſan, nuſpiam enim de ficu tonitru & fulmina ardente me legiſſe memini, de lauro paſſim: MSS. V. & F. ut in textu.*

ϰεῖ. Ἀλλὰ καὶ δάφνη τὸ παλαιὸν ὠνομάσθη, ἀπὸ τῆς ἐπικλήσεως (d) δάφνης τῆς ἐν τῇ Ῥώμῃ. φασὶ γὰρ Λατῖνον τὸν Τηλεγόνου μὲν ἀδελφὸν, Κίρκης δὲ παῖδα, πενθερὸν δὲ Αἰνείου, κτίζοντα τὴν ἀκρόπολιν πρὸ τῆς Αἰνείου παρουσίας, εὑρεθῆναι ἐκεῖ δάφνην. Ἀκροπόλεις δὲ ἐκάλουν οἱ Παλαιοὶ τὰς κατασκευάσεις τῶν Βασιλέων, ὡς διὰ τὴν ἀσφάλειαν ἐν ταῖς ἄκραις τῶν πόλεων (6) οἰκοδομεῖσθαι.

latum eſt, denominatione a lauro Romana deducta. ferunt enim Latinum Telegoni quidem fratrem, Circes autem filium, Æneæ vero ſocerum, dum arcem extrueret ante Æneæ adventum, iſthic laurum reperiſſe. Appellaverunt autem Veteres Regum domus Ἀκροπόλεις, propterea quod ſecuritatis gratia in ſummis urbium partibus extruerentur.

(d) Græcis *ſuccinit* Virgilius *Æneid. VII. Verſ. 59, 60, &c.*

(6) *Ita MSS. prius* οἰκοδομουμένων.

ΚΕΦ. Γ.

Περὶ ἐγκεντρισμοῦ δάφνης, καὶ σπόρου, καὶ (1) μοσχεύσεως. Κυντιλίου.

Κυντίλιος δέ φησιν, ἐγκεντρίζεσθαι δάφνας εἰς ἀλλήλας, καὶ εἰς οὖα, καὶ μελίας. Διοφάνης δὲ λέγει, τὸ σπέρμα τῆς δάφνης συλλέγεσθαι περὶ καλάνδας Δεκεμβρίας. σπείρεται δὲ μετὰ εἴδους Μαρτίας. μεταμοσχεύεται δὲ Ὀκτωβρίῳ, καὶ καταφυτεύεται. εὐγένιον δὲ τὸ φυτὸν τοῦτο οἱ Ῥωμαῖοι καλοῦσι, καὶ εἰς φραγμοὺς ἀμπέλων ἐπιτήδειόν ἐστιν.

CAP. III.

De inſitione lauri, & ſatione, & tranſplantatione. Quintilii.

QUintilius laurus in ſeipſas inſeri tradit, & in ſorba, & fraxinos. Diophanes ſemen lauri circa calendas Decembres colligi dicit. Seminatur autem poſt idus Martias. Transfertur autem per ſtolones menſe Octobri, & deplantatur. Boni genii plantam laurum Romani vocant, & commoda eſt ad vitium ſepes.

(1) *Malim cum* Interp. *ut & infra ſcrib.* μεταμοσχεύσεως.

ΚΕΦ. Δ.

Περὶ κυπαρίσσου ἱστορία.

ΔΙττὸν αἱ κυπάρισσοι ὄνομα ἔχουσι, χάριτες μὲν διὰ τὴν τέρψιν, κυπάρισσοι δὲ, διὰ τὸ κύειν καὶ φύειν παρίσους τούς τε κλάδους καὶ τοὺς καρπούς. (a) Ἐτεοκλέους

CAP. IV.

Hiſtoria de cupreſſo.

CUpreſſi duplex nomen habent, & χάριτες quidem appellantur ob delectationem, κυπάρισσοι vero, quod fere pariles geſtent & producant tum ramos, tum fructus. Eteo-

(a) Ἐτεοκλέους-] Ovidius *refert* Metam. *Lib. X. Cupreſſos ortas eſſe ex* Cypariſſo Telephi *filio, &* Apollinis *amaſio, qui ob interemptum cervum nimio luctu extinctus eſt.* Servius *ad* Georgica *tradit fuiſſe* Sylvano *adamatum, ab eoque in arborem mutatum.* Pierius *autem in* Hieroglyphicis Aſclepiadem *citat auctorem, nomen huic arbori inditum eſſe a* Cypariſſa *filia* Boreæ *Regis* Celtarum. *Fabulam haud ineleganti carmine donavit* Rapinus *Hortorum Lib. 2.*

clis

clis filiæ hæ fuere. Saltantes autem ad æmulationem dearum, in puteum extra choream evolutæ delapſæ ſunt. Verum terra cladem ipſarum miſerata plantas virides puellis ſimiles produxit, jucunditatem hominibus & memoriam ipſarum inducens.

δὲ αὗται καθεστήκασι παῖδες. ὑπορχούμεναι δὲ ταῖς θεαῖς, εἰς φρέαρ ἐξελιττόμεναι πίπτουσι. γῆ δὲ ἐλεοῦσα τὸ πάθος φυτὰ εὐθαλῆ ὅμοια ταῖς κόραις ἀνῆκε, τέρψιν ἀνθρώποις καὶ μνήμην ἐπ' αὐταῖς ἐμποιοῦσα.

CAP. V.

De plantatione Cupreſſi. Didymi.

CUpreſſi ſemen colligitur quidem poſt calendas Septembres, ſeritur autem in areolis a nona calendarum Novembrium uſque ad hyemem. Una autem cum cupreſſorum ſatu etiam hordeum rarum ſeminato, & ſæpe eodem anno cupreſſus ad viri altitudinem augeſcit. Tantum enim creſcit, quantum hordeum ipſum, & tranſplanta eam. Sed & ſtolones ſua ſponte producti, qui fiunt ex jactis cupreſſi ſeminibus, eodem modo transferuntur. Democritus intra ſepem ac muros plantari debere cupreſſum tradit, ut & ad delectationem, & ad ſepimentum ac quaſi munimentum naſcatur. Gaudet autem humidis magis & opacis ac umbroſis locis. Cupreſſus mas ſterilis eſt.

ΚΕΦ. Ε.

Περὶ φυτεύσεως κυπαρίσσου. (1) Διδύμου.

ΚΥπαρίσσου τὸ σπέρμα συλλέγεται μὲν μετὰ καλάνδας Σεπτεμβρίας, σπείρεται δὲ εἰς πρασιὰς ἀπὸ τῆς θ΄. καλανδῶν Νοεμβρίων ἕως χειμῶνος. (a) μετὰ δὲ τοῦ σπόρου τοῦ κυπαρίσσου σύσπειρον κριθὰς ἀραιὰς, καὶ πολλάκις αὐτῷ τῷ ἐνιαυτῷ (2) ἀνδρομήκης αὔξει ἡ κυπάρισσος. τοσοῦτον γὰρ αὔξεται, ὅσον αἱ κριθαί, καὶ μεταφύτευσον. καὶ τὰ αὐτοφυῆ δὲ μοσχεύματα, ἅ τινα γίνεται ἐκ τῶν ῥιπτομένων σπερμάτων τῆς κυπαρίσσου, τῷ αὐτῷ (3) μετατίθεται τρόπῳ. Δημόκριτος δέ φησιν, ὡς ἔνδοθεν τοῦ θριγκοῦ τὴν κυπάρισσον δεῖ φυτεύεσθαι, ἵνα καὶ ἀμφότερα εἰς τέρψιν καὶ περιφραγὴν γένηται. χαίρει δὲ μᾶλλον καθύγροις καὶ σκεπηνοῖς τόποις. κυπάρισσος δὲ ὁ ἄρσην ἄγονός ἐστι.

(1) *MSS.* Bar. Long. & Bod. *delent* Διδύμου.

(a) Μετὰ δὲ τοῦ σπόρου-] *Aliam prorſus Cupreſſi ſerendæ rationem docet* Cato *de* Re Ruſt. *ex* Manio Percennio Nolano *depromptam.*

(2) *Emend. ex MS.* Barocc. *prius* ἀνδρομήκην αὐξῆσαι. (3) *Sic legend cenſeo, ante* μετατίθεσθαι.

CAP. VI.

Hiſtoria de Myrto.

MYrſine puella erat Attica, pulchritudine omnes puellas ſuperans, fortitudine omnes juvenes.

ΚΕΦ. Ϛ.

Περὶ μυρσίνης ἱστορία.

ΜΥρσίνη παῖς ἦν Ἀττική, ὑπερβάλλουσα μὲν τῷ κάλλει πάσας τὰς κόρας, τῇ δὲ ῥώμῃ πάντας τοὺς

νέους. τῇ δὲ θεῷ Ἀθηνᾷ προσφιλὴς ἦν, παλαίστραις καὶ σταδίοις ἐνδιατρίβουσα, καὶ τοὺς ἀγωνιζομένους καὶ νικῶντας τῶν νέων ἐπιστεφανοῦσα. τινὲς δὲ τῶν ἡττωμένων ἐπὶ τῇ κόρῃ ἀγανακτοῦντες, ταύτην φθόνῳ ἀνεῖλον. οὐ μὴν τὸν πόθον Ἀθηνᾶς ἀφείλοντο, ἀλλὰ προσμένει τῇ θεῷ προσφιλής, καθάπερ καὶ ἡ ἐλαία, καὶ μεταθεῖσα τὸν βίον ἀντ᾽ ἐλαιῶν τὰ μυρτὰ (1) καρποφορεῖ.

(1) *MSS.* καρποφοροῦσα.

Minervæ autem deæ grata erat, & verſabatur in palæſtris & ſtadiis, & juvenes certantes ac vincentes coronabat. Quidam vero victi ac ſuperati, puellæ indignati, ipſam invidentes occiderunt. Nec tamen Minervæ amorem erga puellam extinxerunt, ſed adhuc deæ dilecta manet myrtus, veluti etiam olea, & permutata vita pro olivis baccas ſuas fert.

ΚΕΦ. Ζ.

Περὶ φυτεύσεως μυρσίνης. (1) Φλωρεντίνου.

(a) Μυρσίνην καλὸν φυτεύειν ἐν τοῖς ἄκροις πᾶσι τοῦ χωρίου, (b) πολλὴν γὰρ ἐμποιεῖ εὐωδίαν τῷ τόπῳ. φυτεύουσι δὲ αὐτὴν οἱ μὲν ἀπὸ παραφυάδων, αὐτόῤῥιζα τὰ φυτὰ λαμβάνοντες· οἱ δὲ τὸν εὐγενέστατον κλάδον ἀπ᾽ ἄκρων λαμβάνοντες, ἐντιθέασιν ὀρθὸν, (2) ἁδρὰν προσεσ-

CAP. VII.

De plantatione myrti. Florentini.

MYrtum in ſummis agri partibus plantare præſtat, multam enim odoris jucunditatem loco affert. Plantant vero ipſam alii a propaginibus, viviradices plantas avellentes: Alii generoſiſſimum ramum ex ſumma arboris parte detrahentes, pangunt ipſum rectum, ſo-

(1) Caſaub. *&* Interp. Δίδυμος, *MSS.* V. F. *&* Bar. *nullum auctorem agnoſcunt, ſed* L. *&* Bod. *ut in textu.*

(a) Μυρσίνην-] *Myrtus primum viſa traditur* Circæis *in* Elpenoris *tumulo, ubi coronarii generis ad inſtar proveniebat, teſte* Theophraſto, *cæteris in altum ſuccreſcentibus: Tria genera a* Catone *memorantur, Nigra, Candida, Conjugula, a Conjugiis forſan dicta, & quod myrtus* Veneri *dicata eſſet.* Pliniano *ævo in uſu erant,* Tarentina, *folio minuto;* Romana, *patulo;* Hexaſticha, *denſiſſimo, ſenis foliorum verſibus. Poſtea in res bellicas tranſiit, nam* Corona Ovalis *myrtea erat, & ea utebantur* Imperatores, *qui ovantes introibant Urbem; ut in bello cum* Sabinis *geſto* Poſtumius Tubertus, *quoniam rem leviter ſine cruore* (Plinii verba) *geſſerat, myrto* Veneris Victricis *coronatus ovans inceſſit.*

(b) Ἐμποιεῖ εὐωδίαν-] Ægyptus *myrtum odoratiſſimam præbet, teſte* Plinio. Athenæus *pag.*675, 6. *ex* Polycharmi Naucraticis *de* Venere *libello inſignem hiſtoriam nobis reliquit, de egregio & ſalutari myrti odore, qua in texenda Naucratitide Corona uſi ſunt* Veteres; *adjectis aliquando roſis, ut ab* Anacreonte, *hac forſan ratione, quia* ὁ τῆς μυῤῥίνης στέφανος τὴν ἐκ τῶν οἴνων ἀναθυμίασιν ἀποκρούεται, καὶ ὁ τῶν ῥόδων ἔχει τι κεφαλαλγίας παρηγορικὸν, πρὸς τῷ καὶ ἐμψύχειν.

(2) *MSS. &* Interp. ἁδρὸν, *&* Barocc. προσσυσχώσαντες.

lidum,

lidum, terra una cum ſtercore aggeſta, & uſque ad enatos ipſius ramulos terram accumulant. Alii codices cubitali longitudine, craſſitudine manus, in ſcrobibus ponunt, & obliquas obruunt velut oleam. Alii recenti ſemine confricta tomice ex butomo complicata, in ſcrobem eam mittunt. Alii melius fructum ferre arbitrantur, ſi inverſæ plantentur. Gaudet autem aſſidua circumpurgatione, & ita evadit recta in altum exſurgens, & tum ad textilia vaſa, tum ad jacula ac ſpicula conficienda apta eſt. Riganda autem eſt urina humana, maxime vero ovilla, hac enim valde delectatur. Fructum ſine nucleis fert aqua calida rigata. Inſeritur in ſuum genus, & alba in nigram, ac vice verſa, & in pyrum ſylveſtrem, & malum, & meſpilum, & punicam. Si vero juxta ipſam plantentur roſæ, ambæ florentes fient, & generoſiſſimum fructum ferent.

χώσαντες γῆν μετὰ κόπρου, καὶ μέχρι τῶν ἐκπεφυκότων αὐτοῦ κλωνίων προσσωρεύουσι τὴν γῆν. Οἱ δὲ σκυτάλας πηχυαίας τὸ μῆκος, πάχος δὲ χειρὸς, εἰς τοὺς βόθρους ἐντιθέασι, καὶ πλαγίας περιχωννύουσιν ὁμοίως τῇ ἐλαίᾳ. Οἱ δὲ τὸ σπέρμα τὸ προσφάτως ληφθὲν (c) παρατρίψαντες σειρὰν ἐκ βουτόμου πεπλεγμένην, εἰς τάφρον ἐμβάλλουσιν. Οἱ δὲ κάλλιον οἴονται καρποφορεῖν αὐτὰς, εἰ ἐπὶ κεφαλῆς φυτευθεῖεν. χαίρει δὲ τῷ συνεχῶς (3) περικαθαίρεσθαι, καὶ ἔστιν οὕτως ὀρθὸν εἰς ὕψος ἐγειρόμενον, πρός τε τὰ πλεκτὰ σκεύη, καὶ τὰ ἀκόντια ἐπιτηδείως ἔχει. Ἀρδευτέον δὲ οὔρῳ ἀνθρωπείῳ, μάλιστα δὲ προβατείῳ, σφόδρα γὰρ τούτῳ χαίρει. ἀπύρηνον δὲ τὸν καρπὸν φέρει ὕδασιν ἀρδευομένη θερμοῖς. ἐπικεντρίζεται δὲ εἰς τὸ ὁμογενὲς, καὶ τὸ λευκὸν εἰς τὸ μέλαν, καὶ εἰς τοὔμπαλιν, καὶ εἰς (4) ὄχνην, καὶ μηλέαν, καὶ μέσπιλον, καὶ ῥοιάν. εἰ δὲ παραφυτευθείη αὐτῇ ῥόδα, εὐθαλήσουσιν ἄμφω, καὶ εὐγενέστατον οἴσουσι καρπόν.

(c) Παρατρίψαντες-] *Hunc locum illuſtrat* Plinius *Lib.* 17. *Sect.* 11. " *Democritus & alio modo myrtum ſeri docet, grandiſſimis baccarum* " *tuſis leviter, ne grana frangantur, eaque intrita reſtem circumlini, at-* " *que ita ſeri: parietem fore denſitatis* (Dalecamp. *in marg.* Edit Gronov. " *Sic parietem fore miræ denſitatis, ex quo virgulæ differantur. Ubi etiam obiter notetur mira* Harduini *vel ignorantia, vel oſcitantia, qui in notulis ſuis hunc locum laudat* Οἱ δὲ τὸ..... ἐμβάλλουσιν, & ita vertit; " *Sunt* " *qui baccas lectiſſimas tundant leviter, reſtemque e paluſtri herba tortum* " *(quam butomum vocant) circumligant; & ſic in foſſam injiciunt.*

(3) *Ita MSS. &* Interp. (4) *Emend. ex MSS. prius* ὄγχνην ... μεσπίλιον. Interp. *antea peſſime,* Iſochnen.

CAP. VIII.

De baccarum myrti diuturnitate. Ejuſdem.

MYrti baccæ in vaſa non picata conjectæ, & coopertæ, ad multum tempus virides durabunt. Alii una cum ramulis ipſas componunt.

ΚΕΦ. Η.

Περὶ διαμονῆς μυρτίδων. Τοῦ Αὐτοῦ.

ΤΑς μύρτους εἰς ἀγγεῖα ἀπίσσωτα ἐμβαλὼν, καὶ πωμάσας, ἕξεις ἐπὶ πλείονα χρόνον τεθηλυίας. ἄλλοι δὲ μετὰ τῶν θαλλῶν αὐτὰς συντιθέασιν.

ΚΕΦ. Θ.

Περὶ πύξου. Τοῦ Αὐτοῦ.

Πύξος φυτεύεται ἔκ τε ἀποσπάδων, καὶ κορμῶν, καὶ ἀκρεμόνων, ἀποτιθεμένων ἐν φυτωρίῳ μετὰ εἰδῶν Νοεμβρίων. χαίρει δὲ καθύγροις χωρίοις, ἀειθαλὲς ὄν.

CAP. IX.

De buxo. Ejuſdem.

BUxus plantatur ex ramis avulſis, & clavis, & ramis, depoſitis in plantario poſt Idus Novembres. Gaudet autem humidis locis, cum ſemper viridis ſit.

ΚΕΦ. Ι.

Περὶ πίτυος ἱστορία.

Η Πίτυς κόρη γενομένη τὸ πρότερον, μεταβολὴν φύσεως ἐξ ἔρωτος διπλοῦ παρελάμβανεν. ἤρα μὲν γὰρ τῆς κόρης ὁ Πὰν, ἀντήρα δὲ ταύτης καὶ ὁ Βορρᾶς, ἑκατέρου δὲ προσαγομένου τὴν κόρην, ἡ Παῖς τῷ Πανὶ προσετίθετο, καὶ ζηλοτυπήσας ὁ Βορρᾶς ἐπὶ τούτοις τὴν κόρην, ἐπὶ πέτρας ὠθήσας τῷ θανάτῳ παρέδωκε. γῆ δὲ ἐλεοῦσα τὸ πάθος φυτὸν ὁμώνυμον τῆς παιδὸς ἀναδίδωσι· καὶ μεταβαλοῦσα τὸν βίον (1) χαίρει πρὸς αὐτοὺς ὡς ἐτύγχανε πρότερον, καὶ τὸν μὲν Πᾶνα τῷ θαλλῷ στεφανοῖ, θρηνεῖ δὲ τὸ δένδρον, ὅτε Βορρᾶς ταύτῃ (2) προσπνεύσειε.

CAP. X.

De pinu hiſtoria.

PInus puella prius erat, & mutationem naturæ ex amore duplici aſſumpſit. Amabat enim puellam Pan, amabat eandem etiam Boreas, cum autem uterque puellam alliceret, Ipſa Panis amore magis afficiebatur, & ob hanc rem Boreas æmulatione motus puellam in petras impulit, ac neci tradidit. Terra autem miſerata cladem plantam puellæ cognominem edidit ac produxit; & permutata vita erga eoſdem priores affectus ſervat, & Pana quidem germine ſuo coronat, flet autem & lamentatur arbor, ubi Boream afflantem ſenſerit.

(1) *MSS.* μένει πρὸς αὐτοὺς ὡς ἔτυχε--. (2) *Ex MS.* V. *In MSS.* F. L. *&* Bod. προσέπνευσεν.

ΚΕΦ. ΙΑ.

Περὶ φυτεύσεως πίτυος.

Παραπλησίως φυτεύονται ταῖς ἀμυγδαλαῖς (a) οἱ στρόβιλοι Ὀκ-

CAP. XI.

De plantatione pinus.

PIneæ nuces ſimiliter ut amygdalæ plantantur menſe Octobri,

(a) Οἱ στρόβιλοι-] Pallad. *pag.* 165. " *Pinum ſeremus nucleis ſuis, calidis & ſiccis regionibus, menſe* Octobri *vel Novembri: frigidis & humectis, Februario vel Martio....... Nuces pineæ prius legendæ ſunt, quam pateſcant.* Mneſitheus *medicus* Athenienſis *teſte* Athen. *Lib.* 2. *p.* 57. Στροβίλους *vocat* Ὀστρακίδας, Diocles Caryſtius κάρυα πιτύϊνα, uſque

uſque ad Januarium. leguntur autem Junio, antequam Eteſiæ ſpirare incipiant, & grana excidant, calyculo ſive tegmine ipſarum rupto.

τωβρίῳ μηνὶ, ἄχρις Ἰανουαρίου. τρυγῶνται δὲ Ἰουνίῳ, πρὸ τοῦ τοὺς Ἐτησίας ἄρχεσθαι πνεῖν, καὶ τοὺς κόκκους ἐκπίπτειν, ῥηγνυμένης τῆς καλύπτρας.

Alexander Myndius κώνους πιτυΐνους, Hippocrates *autem in Libro de Ptiſana, quem aliqui ſpurium volunt*, κοκκάλους *appellat. Vid.* Dioſcor. *Lib.* 4. *Cap. LXXXVII.*

CAP. XII.

De lentiſco.

LEntiſcus gaudet quidem humidis locis, plantatur autem a calendis Januarii. Aiunt enim ter fructum ferre, & ſi quidem primus fructus bonus fuerit, primam ſementim probe fructum allaturam portendit. Similis ſignificatio etiam aliorum eſt.

ΚΕΦ. ΙΒ.

Περὶ σχίνου.

Ἡ Σχῖνος χαίρει μὲν καθύγροις χωρίοις, φυτεύεται δὲ ἀπὸ καλανδῶν Ἰανουαρίων. (a) τρεῖς δὲ καρποὺς φασὶ φέρειν, καὶ εἰ μὲν ὁ πρῶτος καρπὸς καλὸς γένηται, τὸν πρῶτον σπόρον καλῶς καρποφορεῖν σημαίνει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

(a) Τρεῖς δὲ καρπούς-] *Ita* Cicero *Lib.* 1. *de* Divin. " *Jam vero ſemper viridis, ſemperque gravata* " *Lentiſcus, triplici ſolita eſt grandeſcere* " *fœtu;* " *Ter fruges fundens, tria tempora monſtrat arandi.* Harduinus *ſuſpicatur legendum* flores. *Haud aliter* Aratus, *quem interpretatur* Cic., *ſub finem* Διοσημ. Edit. Oxon. *pag.* 135. Τρίπλοα δὲ σχῖνος κυέει· τρισσαὶ δέ γε αὖξαι Γίνονται καρποῖο· φέρει δέ τε σήμαθ' ἑκάστη Ἑξείης ἀρότῳ· καὶ γάρ τ' ἀρότησιον ὥρην Τρίπλοα μείρονται μέσσην, καὶ ἐπ' ἀμφότερ' ἄκρα. Πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην Καρπὸς ἀπαγγέλλει, πυμάτην γέ μεν ἔσχατος ἄλλων. Ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται, Κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη· Τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση. *Lentiſci lachryma* Dioſcoridi ῥητίνη σχινίνη, Theophraſto *Aliiſque* μαστίχη. *Vid.* Leonis Allatii *Notas in* Euſtathii *Hexaem. pag.* 68.

CAP. XIII.

De ſalice.

SAlix cœnoſa & aquoſa terra gaudet, aere autem humido & frigido. Plantatur Februario menſe ex clava & taleis. Democritus autem ait, quod fructus ſalicis tritus, & pabulo pecorum admixtus ipſa pinguefacit. Tritus autem & in

ΚΕΦ. ΙΓ.

(1) Περὶ ἰτέας.

Ἡ Ἰτέα χαίρει γῇ τελματώδει καὶ ὑδατώδει, ἀέρι δὲ ὑγρῷ καὶ ψυχρῷ. φυτεύεται δὲ Φεβρουαρίῳ μηνὶ ἐκ κορύνης καὶ πασσαλίσκων. Δημόκριτος δέ φησιν, ὡς ὁ καρπὸς τῆς ἰτέας λειούμενος, καὶ ταῖς τῶν κτηνῶν τροφαῖς μιγνύμενος ταῦτα

(1) *MSS. addunt* Δημοκρίτου.

λιπαίνῃ. ἐκπινόμενος δὲ λειανθεὶς ἀνθρώπους (a) ἀγόνους ποιεῖ, ἐξ οὗ φησι καὶ Ὅμηρος,

Κλῆθροί τ' αἴγειροί τε καὶ ἰτέαι ὠλεσίκαρποι.

potu hauſtus homines ſteriles reddit, ex quo & Homerus ait,

Κλῆθροι τ' αἴγειροί τε καὶ ἰτέαι ὠλεσίκαρποι. Hoc eſt,

Alni, & populi nigra, & ſalices frugiperda.

(a) Ἀγόνους ποιεῖ-] *Salix a* Vett. ὠλεσίκαρπος *dicta eſt, vel a ſui ſeminis amiſſione, vel quod illius flores epoti ſterilitatem inducant. Priorem ſententiam tuetur* Plinius *Tom.* 3. *p.* 264. " *Ocyſſime autem* (inquit) " *ſalix amittit ſemen, antequam omnino maturitatem ſentiat, ob id dicta* " *Homero frugiperda. Utramque profert* Euſtathius *in* Ὀδυσ. K. *Vs.* 510. *ubi & in Edit.* Romana, *& vetuſtiſſ.* Florentina *a* Demetrio Chalcocondyla *edita, ita ſcribitur,* Μακραί τ' αἴγειροι, καὶ ἰτέαι ὠλεσίκαρποι. Euſtathius. Ὠλεσίκαρποι δὲ ἰτέαι, ἢ ὅτι ἀποβάλλουσι, φασὶ, τὸ ἄνθος πρὶν ἢ πεπανθῆναι, ἢ διότι οἱ πίνοντες τὰ κατ' αὐτὰς ἄνθους ὀλλύουσι τὸν καρπὸν, ἤτοι ἄγονοι γίνονται, ὡς ὁ Θεόφραστος ἱστορεῖ. *De foliis idem tradit* Dioſcor. *Lib.*1. *Cap.*136. Colum. *p.*161. *trium præcipue ſalicis generum meminit,* Græcæ, Gallicæ, Sabinæ, *quam plurimi vocant* Amerinam, Græca *flavi coloris eſt,* Gallica *obſoleti purpurei, & tenuiſſimi viminis,* Amerina *ſalix gracilem virgam & rutilam gerit.*

ΚΕΦ. ΙΔ.

Περὶ (1) πρίνου κοκκίων.

ΤΗν πρῖνον φυτεύεσθαι [δεῖ] πρὸ καλανδῶν (2) Μαρτίων. φασὶ δὲ τὴν πρῖνον, ἐὰν (a) πολύκαρπος γένηται, εὐκαρπίαν σημαίνειν.

CAP. XIV.

De ilice.

ILicem ante Calendas Martias plantare [oportet]. Aiunt autem ilicem, ſi fructum multum ferat, fructuum copiam portendere.

(1) *Ita legend. cenſeo, in MSS.* V. F. L. *&* Bod. πρεινοκκίων, *in* Bar. Περὶ πρίνων. (2) *Emend, ex opt. Codice* Barocc. *prius* Μαρτίων φησίν. ἡ γὰρ πρῖνος.....σημαίνει.

(a) Πολύκαρπος-] Aratus *p.*134. Ed. Oxon. Πρῖνοι μὲν θαμινῆς ἀκύλου καθ' ὃ μέτρον ἔχουσαι, Χειμῶνός κε λέγοιεν, ἐπὶ πλέον ἰσχύοντος. Μηδὲ ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντῃ, Τηλοτέρω δ' αὐχμοῖο συναστάχυοιεν ἄρουραι.

ΚΕΦ. ΙΕ.

Περὶ δενδρολιβάνου ἱστορία.

ΛΙβανος Σύριον ὄνομα, καὶ ἐν ὄρει, καὶ ἐν φυτῷ. μειράκιον δὲ γέγονε πρότερον τοῖς Θεοῖς ἀνακείμενον. ζηλοτυπήσαντες οὖν αὐτὸ κτείνουσιν ἄνθρωποι δυσσεβεῖς· γῆ δὲ τιμῶσα Θεοὺς φυτὸν ἀνῆκε τὸ παπλω-

CAP. XV.

De dendrolibano hiſtoria.

LIbanus Syrum nomen eſt, & montis, & plantæ. Adoleſcentulus autem prius erat deorum cultui deditus, quapropter impii homines æmulatione ducti ipſum occiderunt. Verum terra in honorem

norem Deorum plantam produxit, quæ occiſi nomen fert, &, quamvis mutata natura, amorem tamen erga Deos non depoſuit. Magis enim delectantur Dii, ſi quis ipſos thuris ramo coronet, quam ſi quis aurea donaria iis conſecret.

κότος ὁμώνυμον, καὶ τὴν φύσιν μεταβαλὼν, τὸν πρὸς τοὺς Θεοὺς οὐκ ἀφῆκε πόθον. ὅθεν μᾶλλον δή τις εὐφραίνει Θεοὺς μέγιστα λίβανον περιθεὶς, ἢ χρυσὸν ἀναθείς.

CAP. XVI.

De plantatione dendrolibani.

Dendrolibanum ex viviradicibus & ſurculis avulſis plantari aiunt, depoſitum in terram, & tranſlatum, [jucundum & gravem odorem habet, ut Democritus teſtatur, &] animo deficientibus prodeſt; depangitur autem Martio menſe.

ΚΕΦ. ΙϚʹ.

Περὶ φυτεύσεως δενδρολιβάνου.

(a) ΤΟ δενδρολίβανόν φασι φυτεύεσθαι ἐξ αὐτοῤῥίζων καὶ ἀποσπάδων, καταπηθέντας εἰς τὴν γῆν, καὶ (1) κομίζοντας, [(2) ἡδεῖαν δὲ καὶ βαρεῖαν τὴν ὀδμὴν ἔχει, ὡς ὁ Δημόκριτός φησι, καὶ] τοῖς λειποθυμοῦσιν ἐπαμύνει· καταφυτεύεται δὲ Μαρτίῳ μηνί.

(a) Τὸ δενδρολίβανόν-] Salm. *de* Homon. Hyl. Iatr. *Cap.* 97. *notat ex fragmento veteris Grammatici,* δενδρολιβάνου *tres eſſe gummi ſpecies,* Χαλκολίβανον *ſive* Χρυσολίβανον, Ἀργυρολίβανον *qui &* λευκολίβανος, *&* λίβανον *proprie dictum.* " *Hoc in Styracis lachrymam* (Salm. verba) *etiam* " *optime convenit, non tantum thuris.* Χαλκολίβανον *interpretatur* ἡλιοειδῆ " καὶ πυῤῥὸν, ἤγουν ξανθόν. *Hic eſt* ξανθὸς στύραξ *Græcis, qui &* πυῤῥὸς *dici-* " *tur Mulomedicis cap.* 499. *Aliis* ὠχρὸς στύραξ, *ut in Gloſſis Neophyti :* " καλαμίτης, ὁ ὠχρὸς στύραξ. Ἀργυρολίβανος *ſive* λευκολίβανος *eſt can-* " *didus ſtyrax, quem* ἀστερὸν στύρακα *vocat Ætius. Hic facile omnium* " *optimus.* Iſidorus. " *Diſtillatio ſtyracis quæ virgis & calamis inhæ-* " *ſerit, munda eſt & albida. Inde nomen* Καλαμίτου στύρακος. *Tertium* " *genus abſolute* λίβανος *dicitur, nomen commune thuris & Styracis.* " *Ideo confuderunt. Apud* Du Freſne *in* Gloſſ. Δενδρολίβανον. Roſmarinus, Actuario *&* Myrepſo.

(1) *MSS.* Palat. Bar. L. *&* Bod. *habent* κοιμίζοντας, *ut & infra Lib.* XII. *Cap.* 19. παρακοιμίστης. *Retinui* κομίζοντας, *quod* Heſychius *exponit* τρέφοντας καὶ ἐπιμελείας ἀξιοῦντας.

(2) Salmaſius *loco cit. hoc de Dendrolibano caput ſuppoſititium eſſe ſuſpicatur, cum de Thuris arbore in* Græcia *ſata ſe nunquam legiſſe meminerit: Addit etiam, quod vetus* Cod. *MS.* Palatinus *non agnoſcat hæc verba uncis incluſa: cui ſuffragatur MS.* Baroccianus, *in quo iſta non comparent.*

ΚΕΦ. ΙΖ.

Περὶ ῥόδου ἱστορία.

Ο Τὸ κάλλος τοῦ ῥόδου θαυμάζων, τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν, φασίν. ἤρα μὲν γὰρ ἡ Θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς. ζηλοτυπῶν οὖν Ἄρης ἀνεῖλε τὸν Ἄδωνιν, λύσιν ἔρωτος τὸν Ἀδώνιδος ἡγησάμενος θάνατον. μαθοῦσα δὲ τὸ πραχθὲν ἡ Θεὸς ἀμύνειν ἠπείγετο, καὶ κατὰ σπουδὴν ἐμβαλοῦσα τῷ ῥόδῳ ἀσάνδαλος οὖσα, ταῖς ἀκάνθαις τοῦ ῥόδου τὸ ταρσὸν τοῦ ποδὸς περιπείρεται, καὶ λευκὸν τὸ ῥόδον πρότερον ὄν, τοῦ ἰχῶρος τῆς Ἀφροδίτης ἀπορρυέντος, εἰς ὃ νῦν ὁρᾶται τὴν χρόαν μετέβαλε, καὶ ἔρευθος καὶ εὐωδία αὐτῷ ἔκτοτε προσεγένετο. Ἕτεροι δέ φασιν, ἐν οὐρανῷ τῶν Θεῶν εὐωχουμένων, καὶ τοῦ νέκταρος πολλοῦ παρακειμένου, ἀνασκιρτῆσαι χορείᾳ τὸν Ἔρωτα, καὶ συσεῖσαι τῷ πτερῷ τοῦ κρατῆρος τὴν βάσιν, καὶ περιτρέψαι μὲν αὐτόν· τὸ δὲ νέκταρ εἰς τὴν γῆν ἐκχυθὲν τὸ ἄνθος τοῦ ῥόδου ἐρυθραινόμενον ἀναδοῦναι.

CAP. XVII.

De roſa hiſtoria.

QUi roſæ pulchritudinem miratur, ei Veneris plagam conſiderandam eſſe aiunt. Amabat enim Adonidem dea, amabat autem & Venerem ipſam Mars. Æmulatione igitur accenſus Mars Adonidem ſuſtulit, diſſolutionem amoris mortem Adonidis fore arbitratus. Quum autem factum cognoviſſet Dea, de Marte ſe vindicare feſtinavit, & præ nimio ſtudio in roſas irruens diſcalceata, a roſæ ſpinis plantam pedis transfixa eſt, & cum alba prius eſſet roſa, ex cruore quæ a ſaucia Venere defluxit, in eum qui nunc in ipſa cernitur colorem tranſiit, ex eoque tempore & rubor & odoris jucunditas ei acceſſit. Alii aiunt, quum in cœlo Dii convivarentur, & nectar multum adſtaret, Amorem choream duxiſſe ac tripudiaſſe, & ala crateris pedem concuſſiſſe, eumque evertiſſe; atque ſic nectar in terram effuſum roſæ florem rubicundum reddidiſſe.

ΚΕΦ. ΙΗ.

Περὶ ῥόδων, καὶ πῶς ἔστιν αὐτὰ εὐωδέστερα ποιῆσαι, καὶ ἀδιαλείπτως ἔχειν. Διδύμου.

ΕΑν σκόροδα παραφυτεύσῃς τοῖς ῥόδοις, εὐωδέστερα ἔσται. εἰ δὲ θέλεις ἀδιαλείπτως ἔχειν ῥόδα, κατὰ μῆνα φύτευε ταῦτα, καὶ κόπριζε, καὶ ἕξεις διὰ παντός. τὰ δὲ ῥόδα φυτεύεται ποικίλως. οἱ μὲν γὰρ αὐτόρριζα ὁλόκληρα μεταφυτεύουσιν, οἱ δὲ ἐξελόντες μετὰ τῶν ῥιζῶν, κατακόπτουσιν εἰς παλαιστιαῖα μεγέθη,

CAP. XVIII.

De roſis, & quomodo odoratiores fieri poſſint, & non deficiant. Didymi.

SI allium juxta roſas plantaveris, odoratiores erunt. Si autem perpetuo roſas habere velis, eas ſingulis menſibus plantato ac ſtercorato, & ſemper habebis. Cæterum roſæ variis modis plantantur. Alii enim viviradices integras tranſplantant. Alii extrahunt una cum radicibus, & in palmarem magnitudinem, hoc

eſt

eſt quatuor digitorum, concidunt tum ipſas radices, tum quicquid ex eis eſt enatum, & omnia ſegmenta plantant, cubiti ſpatio inter ſe diſtantia. Quidam coronas odoris gratia nexas plantant. Nôſſe autem convenit, quod roſæ in locis ſiccis provenientes, velut etiam lilia, odoratiores erunt. Roſæ præcoces fiunt, tum in cophinis, tum in fictilibus plantatæ, ſi eadem cura digneris eas, quali cucurbitas & cucumeres tractare ſolemus. Si autem velis eas, quæ jam plantatæ ſunt, præcocem fructum ferre, duorum palmorum ſpatio a planta ſcrobem facito, & aquam calidam bis in die infundito. At vero ros qui in roſis reperitur, pure penna collectus, & per ſpecillum palpebris infuſus, lippitudini medetur. Conſervabis roſas recentes & in vigore, ſi ipſas in amurcam immiſeris, ita ut liquor eis ſupernatet. Alii herbidam adhuc hordei ſegetem una cum radicibus avulſam in dolium non picatum mittunt, & roſas adhuc clauſas injiciunt, teguntque ac conſervant. Alii viride hordeum in pavimento conſternunt, & roſas ſuperinjiciunt. Democritus ait, ſi roſa in æſtate media bis per diem rigetur, eam Januario menſe fructum ferre. Florentinus autem tradit, roſam in corticem mali inſeri & inoculari poſſe, & tempore malorum roſas naſci. Zoroaſtres dicit, per integrum annum oculorum morbis non laboraturum, qui

τουτέστι (1) πετραδακτυλιαῖα, τὰς ῥίζας καὶ τὸ ἐξ αὐτῶν ἐκπεφυκὸς, καὶ πάντα τὰ τμήματα φυτεύουσιν, ἀπέχοντα ἀλλήλων ὡς πῆχυν. τινὲς πρὸς εὐωδίαν στεφάνους πλέξαντες φυτεύουσιν. Εἰδέναι δὲ χρὴ, ὡς τὰ ἐν τοῖς (a) ἀνύδροις ῥόδα, ὁμοίως δὲ καὶ τὰ κρίνα, εὐωδέστερα ἔσται. τὰ δὲ ῥόδα πρώϊμα γίνεται φυτευόμενα ἔν τε κοφίνοις καὶ κεραμίοις, καὶ τῆς αὐτῆς ἐπιμελείας ἀξιούμενα, ὡς ἐπὶ τῶν κολοκυνθῶν καὶ σικύων. εἰ δὲ βούλει τὰ ἤδη πεφυτευμένα (b) πρώϊμον ἐνεγκεῖν τὸν καρπὸν, ἀπὸ παλαιστῶν δύο τοῦ φυτοῦ γῦρον ὀρύξας ἔγχεε ὕδωρ θερμὸν τῆς ἡμέρας δεύτερον. Ἡ δὲ δρόσος ἡ ἐν τοῖς ῥόδοις εὑρισκομένη, καθαρῶς πτερῷ συναγομένη, καὶ διὰ τῆς (2) μήλης τοῖς βλεφάροις ἐγχεομένη, τὴν ὀφθαλμίαν ἰᾶται. Διατηρήσεις δὲ τὰ ῥόδα νεαρὰ καὶ ἀκμαῖα, ἐὰν ἐμβάλῃς ταῦτα εἰς ἀμόργην, ὡς ἐπιπολάζειν τὸ ὑγρόν. ἔνιοι χλοάζουσαν κριθὴν μετὰ τῶν ῥιζῶν ἀποσπάσαντες, εἰς κεράμιον ἀπίσσωτον ἐμβάλλουσι, καὶ ῥόδα μεμυκότα ἐνθέντες, σκέπουσι καὶ διατηροῦσιν. οἱ δὲ χλωρὰν τὴν κριθὴν ἐπὶ τὸ ἔδαφος στορέσαντες ἐπιβάλλουσι ῥόδα. Δημόκριτος δέ φησιν, ἐν μέσῳ τοῦ θέρους ἀρδευθέντος τοῦ ῥόδου δεύτερον τῆς ἡμέρας, τῷ Ἰανουαρίῳ μηνὶ φέρειν τὸν καρπόν. Φλωρεντῖνος δὲ λέγει, δύνασθαι τὸ ῥόδον εἰς φλοιὸν μήλου ἐγκεντρίζεσθαι καὶ ἐνοφθαλμίζεσθαι, καὶ τῷ καιρῷ τῶν μήλων γίνεσθαι τὰ ῥόδα. Ζωροάστρης δὲ λέγει, ἐπὶ ἐνιαυτὸν ἕνα μὴ ἀλγεῖν τοὺς ὀφθαλ-

(1) *Emend. ex MS.* Barocc. *prius* πετραδακτυλαίας.

(a) Ἀνύδροις-] Plinius *Tom.* 4. *p.* 112. " *Præterea omnis roſa ſiccis* " *quam humidis odoratior.*

(b) Πρώϊμον-] Idem *pag. cit.* " *Qui præcocem faciunt, pedali circa* " *radicem ſcrobe aquam calidam infundunt, germinare incipiente calyce.* *Et* Pallad. *p.* 67. " *Si roſam temperius habere volueris, duobis palmis ab* " *ea in gyrum fodies, & aqua calida bis rigabis in die.*

(2) *Reſtitui ex MSS,* F. L. *&* Bod. *antea* σμίλης.

μοὺς

μοὺς, τὸν ἐν πρώτοις ἰδόντα ἐπὶ τοῦ φυτοῦ μεμυκυίας κάλυκας, καὶ τρισὶν ἐξ αὐτῶν ἀπομαξάμενον τὰ ὄμματα, καὶ ἐπὶ τοῦ φυτοῦ τὰ ῥόδα καταλιπόντα. Τινὲς δὲ τὰ ῥόδα (c) φυλάττουσι νεαρὰ, κάλαμον χλωρὸν πεφυτευμένον σχίσαντες, καὶ ἐμβαλόντες τὰς κάλυκας, καὶ παπύρῳ περιδήσαντες ἠρέμα, ὅπως μὴ διαπνεύσῃ. ῥόδα ἀρχόμενα ἀνοίγεσθαι παραθυμιάσας θείῳ, ἕξεις παραχρῆμα λευκά. (d) ἐὰν ἐξ ὀλίγων τὰ φυτὰ πλείονα ποιῆσαι βούλῃ, λαβὼν τὰ κλήματα αὐτῶν δίελε, καὶ ποιήσας ὡσεὶ τετραδακτυλιαῖα, ἢ μικρῷ μείζονα, κατατίθεσο· ὅταν δὲ γένηται ἐνιαυσιαῖα μεταφύτευε, ἀπέχοντα ἀπ' ἀλλήλων πόδα, καὶ οὕτως ἐργάζου, σκάπτων ἐπιμελῶς, καὶ τὴν ὕλην πᾶσαν ἐξαιρῶν. πείθομαι δὲ θειοτέρας αὐτὸ μετέχειν φύσεως. καὶ γὰρ μύρον οὐ φαυλότερον παρασκευάζει, καὶ πονουμένοις ὀφθαλμοῖς ἐστι σύμμαχον.

primus viderit calyces in planta clauſas, & tribus ipſorum oculos abſterſerit, roſis ipſis in planta relictis. Quidam roſas conſervant recentes, calycibus in viridem plantatam arundinem fiſſam immiſſis, & arundine leniter papyro obligata, ut perſpirare non poſſint. Roſas, dum aperiri incipiunt, ſulphure ſuffumiga, & eveſtigio albas habebis. Si ex paucis plantis plures facere velis, ſarmenta ipſarum divide, & ſegmenta quatuor digitorum, aut paulo majora, pange: quum autem annicula fuerint tranſplanta, pedis ſpatio in medio relicto, atque ita excole diligenter fodiendo; omnemque ſylvam ac materiam eruendo. Certo autem perſuaſus ſum divinioris naturæ roſas participare. Nam & unguentum non malum ex eis fit, & male affectis oculis proſunt.

(c) Φυλάττουσι νεαρὰ-] Pallad. *p.* 120. “ *Roſas nondum patefactas* “ *ſervabis, ſi in canna viridi ſtante fiſſa recludas ita, ut fiſſuram coire* “ *patiaris.*

(d) Ἐὰν ἐξ ὀλίγων-] *Vide* Palladium *de roſario inſtituendo, in* Novemb. *Tit.* II.

ΚΕΦ. ΙΘ.

Περὶ κρίνου ἱστορία.

Ζεὺς τὸν Ἡρακλέα ἐκ τῆς Ἀλκμήνης γεγεννηκὼς θνητὸν ὄντα, ἀθανασίας μέτοχον ἠβουλήθη ἐργάσασθαι, καὶ τοῦτον τῷ μαστῷ τῆς Ἥρας κοιμωμένης ἔτι νέον ὄντα προσέθηκεν. ἐμπλησθὲν δὲ τὸ βρέφος τοῦ γάλακτος ἀπέστησε μὲν τὸ στόμα τῆς θηλῆς, ἔρρει δ' ὅμως τὸ γάλα ἀφθόνως, καὶ τοῦ παιδὸς διαστάντος, ἐν οὐρανῷ τε διαχυθὲν, τὸν λεγόμενον (a) Γαλαξίαν ἀπειργάσατο,

CAP. XIX.

De lilio hiſtoria.

QUum Jupiter Herculem ex Alcmena genuiſſet, eſſetque mortalis ea de cauſa Hercules, immortalitatis participem facere cupiebat, & propterea ipſum adhuc infantem Junonis dormientis uberibus admovit. Infans itaque lacte ſatur os a papilla amovit, lac tamen nihilominus ubertim fluebat, etiam puero amoto, & quicquid ejus in cœlo diffuſum eſt, Galaxian effecit, quod

(a) Γαλαξίαν-] *Eandem Viæ lacteæ originem narrat* Eratoſthenes *in* Καταστερισμοῖς, Cap. *ultimo.* Οὐ γὰρ ἐξῆν (inquit) τοῖς Διὸς υἱοῖς τῆς οὐρανίου

vero

vero in terram delapſum eſt, ejuſque glebas tinxit, id florem lilii produxit, quod lactis colorem exprimit.

ἐν τῇ γῇ δὲ ἀπέῤῥυεν, καὶ τὰς βώλους ἔδευσεν, (b) ἄνθος τὸ τοῦ κρίνου ἀνέδωκε, παρεοικὸς τὴν χρόαν τῷ γάλακτι.

τιμῆς μεταχεῖν, εἰ μή τις αὐτῶν θηλάσοι [*melius forſan* θηλάσειε] τὸν τῆς Ἥρας μαστόν· διόπερ φασὶ τὸν Ἑρμῆν ὑπὸ τὴν γένεσιν ἀνακομίσαι τὸν Ἡρακλέα, καὶ προσχεῖν αὐτὸν τῷ τῆς Ἥρας μαστῷ, τὸν δὲ θηλάζειν, ἐπινοήσασαν δὲ Ἥραν ἀποσείσασθαι αὐτὸν, καὶ οὕτως ἐκχυθέντος τοῦ περισσεύματος, ἀποτελεσθῆναι τὸν γαλαξίαν κύκλον. *Circuli hujuſce Lactei pluribus meminit* Manilius *Lib.* 1. *&* Achilles Tatius *ait,* ἔστιν ὁρατὸς καὶ μόνος ἐπὶ τῆς σφαίρας αἰσθητὸς, τῶν ἄλλων ὄντων νοητῶν.

(b) Ἄνθος .... κρίνου-] Pierius *in Hieroglyph. p.* 586. *notat ex* Nicandri *Alexipharm. lilia* Veneri *inviſa eſſe, quod candoris certamen cum ea inire voluerint, vel quod ex* Junonis *lacte ortum ceperint, inde* Flores Junonii *dicuntur.*

CAP. XX.

De liliis. Anatolii.

SI lilia purpurea facere velis, dum florent cauliculos ipſorum revulſos decem aut duodecim ſimul colligato, & ſuper fumum ſuſpende, emittunt enim ex caulibus radiculas parvas bulbis ſimiles. Ubi igitur plantandi tempus adfuerit, cauliculos in fæcem vini nigri miſſos macerato, donec purpurea & probe tincta viſa fuerint tibi ipſa diſtrahenti. deinde hoc modo plantato, ſingulis fæce ſufficiente affuſa, atque ſic lilia inde producta purpurea florebunt. At vero lilia per totum annum recentia permanebunt hoc modo. Avellunt ipſa una cum ramulis nondum aperta, ſed adhuc clauſa, inji-

ΚΕΦ. Κ.

Περὶ κρίνων. Ἀνατολίου.

ΕΙ θέλεις (a) κρίνα πορφυρᾶ ποιῆσαι, ὅταν ἀνθήσῃ λαβὼν ἀπ' αὐτῶν τοὺς καυλοὺς, σύνδησον ἀνὰ δέκα ἢ δώδεκα, καὶ κρέμασον ὑπὲρ καπνοῦ, ἀνιᾶσι γὰρ ἐκ τῶν (1) καυλῶν ῥιζία μικρὰ, ὡς βολβία. ὅταν οὖν καιρὸς ᾖ τοῦ φυτεύειν, ἔμβρεξον εἰς τρύγα οἴνου μέλανος τοὺς καυλοὺς, ἕως ἂν διελόντι σοι φανῇ πορφυρᾶ καὶ βεβαμμένα καλῶς. εἶθ' οὕτω φύτευσον, προσπαραχέων ἑκάστῳ τῆς τρυγίας τὸ ἀρκοῦν, καὶ οὕτω τὰ ἐξ αὐτῶν γινόμενα ἀνθήσει πορφυρᾶ. Τὰ δὲ κρίνα ἐπὶ ὅλον τὸν ἐνιαυτὸν νεαρὰ διαμένει οὕτως. ἀφελόντες αὐτὰ μετὰ τῶν κλωνίων οὔπω ἀνεῳγότα, ἀλλ' ἔτι συμμεμυκότα, ἐντιθέασιν εἰς ἀγγεῖα

(a) Κρίνα πορφυρᾶ-] *Haud aliter* Plinius *Tom.* 4. *p.* 114. " *Colliguntur menſe Julio ſcapi areſcentes, liliaque ſuſpenduntur in fumo. Dein nudantibus ſe nodulis, in fæce nigri vini, vel Græci, menſe Martio macerantur, ut colorem percipiant, atque ita in ſcrobiculis ſeruntur, heminis fæcis circumfuſis. Sic fiunt purpurea Lilia: mirumque tingi aliquid, ut naſcatur infectum.*

(1) *Emend. ope MSS.* V. Barocc. *&* Caſaub. *pr. Ed.* καρπῶν.

κεράμεια

κεραμεᾶ νέα (2) ἀκόνιστα, τουτέστιν ἀπίσσωτα, εἶτα πωμάσαντες τὰ ἀγγεῖα ἀποτίθενται, καὶ οὕτω τηρούμενα παραμένει τὸν ἐνιαυτὸν ὅλον νεαρά. εἰ ποτε δὲ ἐν τῷ μέσῳ χρόνῳ βουληθῶσί τινες ἐξ αὐτῶν λαβεῖν πρὸς τὴν χρείαν, ἐν ἡλίῳ τιθέασιν, ὅπως θαλφθέντα διανοιχθῇ. Ἵνα δὲ ἄλλῳ καὶ ἄλλῳ καιρῷ ἀνθοφορῇ τὰ κρίνα, τοὺς βολβοὺς (3) φυτεύων τοὺς μὲν εἰς βάθος δακτύλων δώδεκα, τοὺς δὲ ὀκτὼ, τοὺς δὲ δ'. καταπίθει, καὶ ἕξεις κρίνα ἐπιπολύ. ἔξεστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ποιεῖν ἀνθέων. Φλωρεντῖνος ἐρυθρὸν τὸ κρίνον γίνεσθαι λέγει, ἐάν τις ἐντὸς (4) αὐτῶν λεπτῶν χύσῃ κιννάβαρι, φυλαττόμενος, μὴ τοὺς βολβοὺς (5) διαθραύσῃ. εἰ δὲ καὶ ἄλλῳ χρώματι περιχρίσει τις αὐτὰ, ᾧ θέλει, ἔξεστιν ἑκάστῳ χρώματι τοιαῦτα κρίνα γίνεσθαι.

ciuntque in vaſa fictilia nova non picata, deinde vaſa cooperta reponunt, atque ſic aſſervata per totum annum recentia durant. Siquando autem medio tempore aliqui eis uti velint, in ſole exponant, quo calfacta aperiantur. Quo vero lilia ſæpius florem producant, dum bulbos ipſorum plantas, alios ad altitudinem digitorum duodecim, alios octo, alios quatuor deponito, & diu lilia habebis. Idem etiam in aliis floribus facere licet. Florentinus rubrum lilium futurum ait, ſi quis intra bulborum tunicas cinnabari fundat, caveat autem ne bulbos contundat. Si vero etiam alio colore quis ipſa oblinat, cujuſcunque coloris voluerit lilia naſcentur.

(2) *Pro* ἀκόνιστα *legend. vel* ἀκόνιτα, *ut* Codd. *impreſſi* Dioſcoridis *exhibent* Lib. *I.* Cap. 93.——Κεραμεοῦν ἀγγεῖον ἀκόνιτον (τουτέστιν ἀπίσσωτον), *Vel potius, analogia ſervata,* ἀκώνητα, *nam a* κωνέω *deducitur, idque a* κῶνος, Pix liquida, *teſte* Dioſcoride. *Apud* Heſychium, κωνῆσαι, πισσοκωνῆσαι, Pice oblinere: *Hinc* Μόρος πισσοκώνητος Æſchylo *&* Cratino *dicitur Mors, quam obeunt, qui pice obliti cremantur. Vid.* Etymologum *& Schol.* Ariſtoph. *ad* Veſpas *Vs.* Τὸν σπόγγον ἔχων ἐκ τῆς λεκάνης τὰ μυβόδι' ἡμῶν περικωνεῖ,——. (3) *Ita MSS.* V. Bar. *&* Interp. *antea* φυτεύσαν. (4) Interp. *legiſſe videtur* λεπτῶν χύσῃ, *ita etiam MS.* Voſſ. *In* Bar. λεπτῶν χρίσῃ. (5) *Ita MSS.* V. *&* Bar. *in quo ſcrib.* περιχρίσῃς αὐτὰ ᾧ θέλεις.

ΚΕΦ. ΚΑ.

Περὶ ἴρεως. Λεοντίνου.

(a) ΤΗς Ἰλλυρικῆς ἴρεως ἡ βραχεῖα καὶ λεπτοτάτη φυτεύεται ἐκ προσφάτων φυτῶν Ἰανουαρίῳ, ἄχρις Ἀπριλλίου μηνός.

CAP. XXI.

De Iride. Leontini.

IRis Illyrica parva & tenuiſſima plantatur ex recentibus plantis Januario, uſque ad Aprilem menſem.

(a) Τῆς ἴρεως Ἰλλυρικῆς-] *Vid. quæ ſupra adnotavimus de* Iride Illyrica *ad* Cap. 8. Libri 6*ti.*

CAP. XXII.

De viola Hiſtoria.

VIolæ flos natus eſt ex ea, unde nomen habet. Etenim Jupiter Io puellam amavit, & ex amore coiit; & ut Junonem res lateret, & non innoteſceret, naturæ tranſmutationem fecit. Deprehenſus enim Jupiter, & factum celare cupiens, hominem in buculam tranſmutavit. Terra vero in honorem dilectæ Jovi florem protulit, qui juvenculæ pabulum eſſet, & ſane flos propter ipſam factus ex ipſa nomen tulit, & fortunam puellæ coloribus ſuis oſtendit. Rubeſcit enim veluti virgo, purpuraſcit autem velut bucula, & albeſcit, indicans quod puella in aſtra eſt tranſlata, & quæcunque germen oſtendit, ea in muliere fuerunt.

(1) *Hæc deſunt in MSS. & Verſione.*

ΚΕΦ. ΚΒ.

Περὶ ἴου ἱστορία.

Ἴον τὸ ἄνθος [(1) ἐκ τῆς Ἰοῦς] ἐξ ἧς ὀνομάζεται γέγονεν. ἤρα μὲν γὰρ ὁ Ζεὺς τῆς Ἰοῦς, ἐρῶν δὲ ἐπλησίαζε, καὶ συλλαθεῖν ἐπειρᾶτο τὴν Ἥραν καὶ τὸν ἔλεγχον, μεταβολήν τε ἐποιεῖτο τῆς φύσεως. ἁλοὺς γὰρ ὁ Ζεὺς, καὶ τὸ γεγονὸς ἀποκλέψαι ζητῶν, εἰς βοῦν μεταβάλλει τὴν ἄνθρωπον. τιμῶσα δὲ ἡ γῆ τὴν ἐρωμένην τοῦ Διὸς ἄνθος ἀνῆκε τὴν βοῦν νέμεσθαι, καὶ γεγονὸς δι' αὐτὴν ἐξ αὐτῆς ὀνομάζεται, καὶ δηλοῖ τῆς κόρης τὰς τύχας τοῖς χρώμασιν. ἐρυθραίνεται μὲν γὰρ οἷάπερ παρθένος, πορφύρεται δὲ οἷα βοῦς, καὶ λευκαίνεται, δηλοῦν τὴν εἰς ἄστρα τῆς κόρης μεταβολὴν, ὅσα τὸ βλάστημα φαίνεται, γέγονεν ἡ γυνή.

CAP. XXIII.

De plantatione violarum. Tarentini.

VIolæ purpureæ, & aliæ omnes, tum auricolores, tum ruſſei coloris, poſt idus Martias plantantur, & poſt calendas Maias. Eſt autem folium violæ refrigerans, & inflammationibus prodeſt. Oleum autem violarum febricitantibus illitum eos refrigerat. Similiter etiam viola alba in areolis ſeritur, & Januario tranſplantatur, uſque ad ſeptimum Iduum Februariarum.

(1) *Ita MSS.*

ΚΕΦ. ΚΓ.

Περὶ φυτεύσεως ἴων. Ταραντίνου.

Ἴα τὰ πορφύρεα, καὶ τὰ ἄλλα πάντα, τά τε χρυσίζοντα καὶ τὰ ῥουσίζοντα, μετὰ εἰδοὺς Μαρτίας φυτεύεται, καὶ μετὰ καλάνδας Μαΐας. ἔστι δὲ τὸ τοῦ ἴου φύλλον καταψυχὸν, καὶ ὠφελοῦν ἐν ταῖς φλεγμοναῖς. τὸ δὲ ἔλαιον τὸ ἀπὸ τῶν ἴων τοῖς πυρέττουσιν (1) ἐπιχεόμενον καταψύχει. ὡσαύτως καὶ τὸ λευκόϊον σπείρεται ἐν πρασιαῖς, καὶ μεταφυτεύεται Ἰανουαρίῳ, ἄχρι τῆς πρὸ ἑβδόμης εἰδῶν Φευρουαρίων.

ΚΕΦ. ΚΔ.

Περὶ Ναρκίσσου ἱστορία. (1)

Παραλόγου πάθους λόγος ὑπῆρξε παραλογώτερος. Νάρκισσος γὰρ ἦν ἐρῶν οἴκοθεν, καὶ φθειρόμενος οἴκοθεν. ὥρᾳ μὲν γὰρ διέφερε σώματος, ἔνθεν δὲ τὸ ἐρᾶν καὶ τὸν πόθον ἐκτήσατο. καταλαμβάνει γὰρ πηγὴν, ὡς πιόμενος, θεατὴς δὲ τῆς οἰκείας μορφῆς καταστὰς, ἐραστὴς ὁ αὐτὸς καὶ ἐρώμενος ἐγίνετο. ἐρῶν δὲ αὐτὸς ἑαυτοῦ, διεφθείρετο. ἐπὶ πηγὴν οὖν ἐλθὼν, ἔστεργε μὲν τὴν σκιὰν ὡς ἐρώμενος, ἡττηθεὶς δὲ, καὶ ἑαυτοῦ (2) λαβόμενος, ἐπὶ τοῖς ὕδασι τῆς πηγῆς ἑαυτὸν ἐπαφῆκε, καὶ παραψυχὴν τοῦ πάθους ζητῶν, βίου στέρησιν εὕρατο, τοσοῦτον τῇ τελευτῇ ὀνηθεὶς, ὅσον εἰς ἄνθος τῇ ὁμωνύμῳ μνήμῃ τῆς βλάστης (3) μεταβληθείς.

CAP. XXIV.

De Narciſſo hiſtoria.

INſoliti caſus ratio magis inſolita fuit. Narciſſus enim, dum ſe amabat, periit. forma erat egregia, quæ etiam amoris cauſa fuit. Fonti enim ſitiens incubuit, ſuaque allectus forma, & amator & amaſius fuit. ſui autem amore captus, periit. Fontem igitur adiens, imaginem ſuam amore proſecutus eſt, ſui vero impos factus, & ſeipſum prehendere geſtiens, aquis ſe immerſit, & amoris levamine quæſito, vitæ exitum ſortitus eſt ; nihil autem commodi inde percepit, niſi quod in florem cognominem mutatus fuerit.

(1) *MSS.* F. L. *&* Bod. *addunt* Ταραντίνου. (2) *Emend. ex MSS. prius* λαθόμενος ἐπὶ τῆ--. (3) *Ita MSS.* V. F. L. *&* Bod.

ΚΕΦ. ΚΕ.

Περὶ Φυτείας ναρκίσσου. Διδύμου.

Αὐτόῤῥιζος ὁ νάρκισσος φυτεύεται, πρὸς βλάστησιν ἀρχόμενος Μαΐῳ μηνὶ, καὶ μεταφυτεύεται. ψυχρότατον δέ ἐστι τὸ ἄνθος αὐτοῦ.

CAP. XXV.

De plantatione narciſſi. Didymi.

NArciſſus a viviradicibus plantatur, germen fundere incipiens Martio menſe, & tranſplantatur. Flos ejus frigidiſſimus eſt.

ΚΕΦ. Κϛ.

Περὶ Φυτείας κρόκου. Φλωρεντίνου.

Ο κρόκος αὐτόῤῥιζος φυτεύεται, ὅταν τὸ ἄνθος ἀποβάλῃ. τὸ δ' ἄνθος πρότερον ἀνίησιν ἢ τὸ φύλλον. ἀνθολογεῖται δὲ, ὅταν εὐ-

CAP. XXVI.

De plantatione croci. Florentini.

CRocus a viviradicibus plantatur, cum florem abjecerit. Florem autem prius emittit quam folium. Flos colligitur, ubi bonum colorem

adeptus

adeptus fuerit, cuſpidibus ex medio flore extractis, & ad triduum aut quatriduum ſiccatis, deinde ſumma ejus pars purgatur, & album quidem adimitur, & flos componitur in vaſis quantum fieri poteſt conſtipatus. Diophanes in umbra crocum ſiccandum eſſe tradit.

χρονίσῃ, ἐκ μέσου τῶν ἀνθοῦς ἑλκομένων τῶν γλωχίνων, καὶ διαψυχομένων ἡμέρας γʹ. ἢ δʹ. εἶτα καθαίρεται αὐτοῦ τὸ ἄκρον, καὶ τὸ λευκὸν ἀφαιρεῖται, καὶ συντίθεται εἰς ἀγγεῖα εἰς δύναμιν (1) πεπιλημένον. Διοφάνης δέ φησιν, ὅτι τὸν κρόκον ἐν σκιᾷ χρὴ ψύχειν.

(1) *Ex MSS.* Palatt. *&* Barocc.

CAP. XXVII.

De ſampſucho, coſto, & balſamo.

SAmpſuchum ex ſemine ſeritur, & tranſplantatur Aprili & Maio, jucundum odorem habens, & calidiſſimum. Similiter etiam coſtus & balſamum a viviradicibus plantantur Novembri menſe, ambo odoris fragrantiam habentia.

ΚΕΦ. ΚΖ.

Περὶ σαμψύχου, κόστου, καὶ βαλσάμου.

(a) ΤΟ σάμψυχον ἐκ σπέρματος σπείρεται, καὶ μεταφυτεύεται Ἀπριλλίῳ καὶ Μαΐῳ, ἡδεῖαν τὴν ὀδμὴν ἔχον καὶ (1) θερμοτάτην. ὡσαύτως (b) κόστος καὶ βάλσαμον αὐτόῤῥιζα Νοεμβρίῳ μηνὶ φυτεύονται, εὐώδη ὄντα (2) τὴν ὄσφρησιν.

(a) Τὸ Σάμψυχον-] *Plerique* Vett. *e quibus* Dioſcor. *&* Plinius, *Sampſuchum & Amaracum confundunt*; Alii, *e quorum numero* Galenus, Meleager, *&* Paulus Ægineta, *prorſus diverſa faciunt, varia forſan dialecto inducti*; *nam herba quæ* Ægyptiis, Cypriis, *&* Syris *Sampſuchum*, *eadem* Cyzicenis, Diocli *Medico (qui de Medicamentis lethalibus ſcripſit)*, *&* Siculæ *genti Amaracum dicitur. In Nothis* Dioſcor. Romanis Μαζούρανα, Majorana. Plinius: " *Seritur utroque genere, & ſemine & ramo. Conſul.* Salm. *de* Homon. Hyl. Iatr. *Cap.* 13. Dioſcor. *Lib.* 3. *Cap.* 47. *&* Plinium *Tom.* 4. *p.* 128.

(1) *Ita MSS. prius* θερμότατον ὄν.

(b) Κόστος καὶ βάλσαμον-] *De Coſto ſatis diximus ad Cap.* 13. *Lib. VII. Balſamum* Theophraſti *ætate ſoli* Judææ *conceſſum, poſtea* Dioſcoride *teſte & in* Ægypto *proveniebat.* " *Arboris* (inquit Plinius) *tria genera.* " *Tenui & capillacea coma, quod vocant* Eutheriſton. *Alterum ſcabro* " *aſpectu, incurvum, fruticoſum, odoratius*; *hoc* Trachy *appellant. Ter-* " *tium* Eumeces, *quia eſt reliquis procerius, lævi cortice. Purum balſa-* " *mum vendente Fiſco trecentis Denariis vænibat. Vid. quæ congeſſit* Salm. *ad* Solin. *p.* 591, 2, 3. Dioſcor. *Lib.* 1. *Cap.* 18. Plinium *Tom.* 3. *p.* 43, 4. *&* L. Allat. *in* Euſtathium.

(2) *MSS. habent* πρὸς ὄσφρησιν.

ΚΕΦ. ΚΗ.

Περὶ μισοδούλου, τοῦ καὶ ὠκίμου. Σωτίωνος.

(a) ΤΟ ὤκιμον, τουτέστι τὸ λεγόμενον μισόδουλον, εἰς οὐδὲν ἔγνων χρήσιμον. καὶ γὰρ (b) μανιώδεις καὶ ληθαργικοὺς καὶ ἠπατικοὺς ποιεῖ τοὺς ἐσθίοντας. τεκμήριον δὲ τῆς τούτου κακίας, τὸ τὴν αἶγα πάντα ἐσθίουσαν μόνου ὠκίμου ἀπέχεσθαι. μασσηθὲν δὲ τοῦτο καὶ ἐν ἡλίῳ τεθὲν σκορπίους γεννᾷ. μάλιστα δὲ ταῖς γυναιξίν ἐστι πολεμιώτατον, τοσαύτην ἔχον πρὸς αὐτὰς φυσικὴν ἀντιπάθειαν, ὡς εἴ τις ὑπὸ λοπάδα ὄψου ὁλόῤῥιζον ὤκιμον ὑποθείη, ἀγνοούσης γυναικὸς, οὐ πρότερον ἡ γυνὴ τοῦ ὄψου ἅψασθαι τολμήσειε, πρὶν ἀρθῆναι τὸ ὤκιμον.

CAP. XXVIII.

De Miſodulo, ſive ocimo. Sotionis.

OCimum, hoc eſt *μισόδουλον* appellatum, prorſus inutile eſſe novi. Nam inſanos & lethargicos & hepaticos eos facit qui eo veſcuntur. Signum autem ejus malignitatis eſt, quod capra omnia depaſcens; a ſolo ocimo abſtinet. Manducatum autem & in ſole expoſitum ſcorpios gignit. Maxime autem mulieribus infeſtum eſt, tantam habens adverſus ipſas naturalem contrarietatem, ut ſi quis, inſcia muliere, ſub patinam obſonii integrum cum radice ocimum ſupponat, mulier non prius obſonium contingere audeat, quam ocimum tollatur.

(a) Ὤκιμον ...... μισόδουλον,-] *Occurrit etiam apud* Demetr. *in* Hieracoſoph. *Lib.* 1. *Cap.* 9. Varro *Lib.* 1. *de* Re Ruſt. *dictum putat ὤκιμον, quod ὠκέως valeat.* Κοινῶς (Suidæ verba) λέγεται βασιλικόν.

(b) Μανιώδεις-] *Hæc ad verbum expreſſit* Plinius *Tom.* 4. *p.* 44.

ΚΕΦ. ΚΘ.

Περὶ κιττοῦ ἱστορία.

ΚΙττὸς, τὸ ἄνθος, νέος ἐτύγχανε πρότερον, χορευτὴς Διονύσου γενόμενος. χορεύων δὲ τῷ Θεῷ πρὸς τὴν γῆν καταφέρεται· καὶ γῆ τιμῶσα Διόνυσον ἄνθος ἀνῆκεν ὁμώνυμον [(1) βλάστημα], σώζουσα τὰ τοῦ νέου βλαστήματα. προϊὼν μὲν γὰρ ἐκ γῆς ἄμπελον περιπλέκεσθαι πέφυκεν, οὕτω περιπλεκόμενος, ὡς ὅτε νέος ἐχόρευε.

CAP. XXIX.

De hedera hiſtoria.

HEdera, id eſt Ciſſus, adoleſcens antea fuit, & Bacchi ſaltator, qui, cum coram deo tripudiaret, ad terram prolapſus eſt, & interiit. Terra autem, in honorem Bacchi, florem produxit adoleſcenti cognominem, & juvenis germina conſervavit: quod ubi ex terra prodiit, vitem amplecti ſolet, eo modo quo adoleſcens Bacchum in tripudiis amplecti conſueverat.

(1) *Hæc vox lituram meretur, ſed MSS. retinent; quid autem tota* περικοπὴ *velit, me adhuc latet.*

CAP. XXX.

De plantatione hederæ.

HEdera aqua gaudet; plantatur autem ante calendas Novembres, & à calendis Martiis. Corymbum hedera habebit decorum, ſi quis trium conchyliorum uſtorum & contuſorum cinerem adſpergat, aut alumine corymbos irroret. Alba vero ex nigra fit, terra alba macerata, & hederæ radicibus infuſa per dies octo. Damogeron ait, ſi quis hederæ nigræ corymbos tres in linteolum mundum mittat, & filo obligatos ſplenico ad triduum alliget, ab affectu liberatum iri eum cui ſint alligati.

ΚΕΦ. Λ.

Περὶ φυτεύσεως κισσοῦ.

Ὁ Κισσὸς ὕδατι χαίρει· φυτεύεται δὲ πρὸ καλανδῶν Νοεμβρίων, καὶ ἀπὸ καλανδῶν Μαρτίων. Τὸν δὲ κόρυμβον ὁ κισσὸς εὐπρεπῆ ἕξει, ἐὰν τρία (1) κοχύλια καύσας τις καὶ κόψας, καταπάσῃ, ἢ στυπτηρίᾳ ῥάνῃ τοὺς κορύμβους. λευκὸς δὲ ἐκ μέλανος γίνεται, γῆς λευκῆς βραχείσης, καὶ ταῖς ῥίζαις τοῦ κισσοῦ ἐπιχεομένης δι' ἡμερῶν (2) ὀκτώ. Δαμογέρων δέ φησιν, εἴ τις κισσοῦ μέλανος (3) κορύμβους γ'. εἰς ὀθόνιον καθαρὸν βάλῃ, καὶ δήσας λίνῳ σπληνικῷ περιάψῃ ἐφ' ἡμέρας γ'., ἀπαλλάξει τοῦ πάθους τὸν περιαπτόμενον.

(1) *Ita MSS. prius* κοχίλια .... ῥάνῃ. (2) *Ex MS.* V. *&* Interp. *ante* ὀκτάκις. (3) *Reſtitui ex* Caſaub. *&* Interp. *pr. Ed.* κορύνας, *in MSS.* Long. *&* Bod. κορύμβας.

LIBER XII.

ARGUMENTUM LIB. XII.

HÆC inſunt in hoc libro, qui duodecimus eſt ſelectarum de Agricultura præceptionum, & continet olerum diverſorum ſationem, & quæ ſingulis menſibus plantare & ſerere oporteat, & hortorum conſtructionem mirabilem, & olerum utiles effectus.

ΒΙΒΛΙΟΝ ΙΒ'.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΒ'.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, δωδεκάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ λαχάνων διαφόρων σποράν, ὅσα τε χρὴ ἐν ἑκάστῳ μηνὶ φυτεύεσθαι καὶ σπείρεσθαι, καὶ κηποποιΐαν θαυμαστὴν, καὶ λαχάνων ἐνεργείας ὠφελίμους.

ΚΕΦ. Α.

Γνῶσις (1) τὸ κατὰ μῆνα τί σπείρεται, καὶ τί φυτεύεται, κατὰ τὸ κλίμα Κωνσταντινουπόλεως.

ΜΗΝΙ Ἰανουαρίῳ σπείρεται θαλασσοκράμβη, μετὰ χρυσολαχάνου, καὶ τήλεως.

Μηνὶ Φεβρουαρίῳ (a) σπείρεται (2) κοδίμεντον μετὰ πράσου, καὶ (3) κρομμύδιν, σεῦτλον, δαυκὶν, σευτλόρριζον, (4) θρύμβη, μαρούλια διάφορα, τουτέστι δικάρδιν, φρυγιατικὸν, ῥιγιτανὸν, καὶ κράμβη λευκὴ, καὶ κραμβοασπάραγον, καὶ (5) κολίανδρον, καὶ ἄνηθον, καὶ πήγανον. μεταφυτεύεται δὲ (b) μαροῦλιν, (c) πικρίδιν, θριδάκιν, (d) φρυγιατικὸν, πολύκλωνον, κωμωδιανόν.

CAP. I.

Notitia, quid ſingulis menſibus ſerendum ſit, & quid plantandum, ſecundum clima Conſtantinopolis.

MEnſe Januario ſeritur braſſica marina, cum atriplice, & fœno græco.

Februario menſe ſeritur codimentũ cum porro; & cepula, beta, daucus, beta radicata, thymbra, marulia diverſa, hoc eſt dicardium, phrygiaticum, rhigitanum, & braſſica alba, & crambaſparagus, & coriandrum, & anethum, & ruta. Tranſplantatur autem marulium, picris, lactuca, phrygiaticum, polyclonum, & comodianum.

(1) *Vel delend. vel legend.* τοῦ.

(a) Σπείρεται κοδίμεντον-] Du Freſne *in* Gloſſario: Κοδίμεντον, Petroſelinum Macedonicum. *Herba ſic appellata, quod ſit præcipui uſus in condimentis.* Gloſſæ Jatricæ *MSS. ex* Cod. Regio. 190. Μακεδονικὸν, τὸ κοδίμεντον. *Lexicon* Neophyti *MS.* Πετροσέλινον Μακεδονικὸν, τὸ Κοδίμεντον.

(2) Interp. *&* *MS.* V. κοδιμεῦτον, Bar. κοδυμεῦτον, *ſed* Long. *ut in textu.* (3) Barocc. κρόμμυον. (4) *Vid. Notas ad Cap.* 42. *Lib.* X. (5) Bar. κορίανον.

(b) Μαροῦλιν,-] *Neutra Nomina in* ον *a* Græcis *ſequioris ævi proferuntur in* ι, *ut* Σκεπάρνι, ἀλεῦρι· *vel in* ιν, *ut* Κρομμύδιν *pro* Κρόμμυον, *&* μαροῦλιν *pro* Μαρούλιον. Μαρούλιον *autem &* Μαιούλιον, Lactuca. Gloſſæ Reg. *MSS.* Θρίδαξ, Μαρούλιον. *Et* Symeon Sethi Antiochen. *p.* 39. Μαρούλλια, ἃ καὶ θριδακίναι καλοῦνται, ψυχρά εἰσι. Noſtro *autem* Μαρούλιον *videtur eſſe tantum Lactucæ genus, cum in hoc Menſe, &* Decembri, *&* μαρουλίων *&* θριδακίων *fiat mentio.*

(c) Πικρίδιν-] Πικρίδες, Intuba, Lactucæ amaræ. *In nothis* Dioſc. Οἱ δὲ σέριν, πικρίδα. Suidas. Σέρεις. εἶδος λαχάνων .... αἱ παρ᾽ ἄλλοις πικρίδες, ἢ μᾶλλον πληθέστερον εἰπεῖν, Μακεδονήσια. Neophytus *a* Salm. *citatus*; Σέρις, τὸ κιχώριον, ἤτοι τὸ ἄγριον μαρούλλιον, ὃ καὶ πικρομάρουλον λέγεται, καὶ πικρίς.

(d) Φρυγιατικὸν-] *Quid velint* ῥιγιτανὸν, Φρυγιατικὸν (*niſi forte a* Phrygia *ductum*), *&* κωμωδιανὸν, *quæ toties in hoc capite occurrunt, me neſcire inficias non eo;* πολύκλωνον *forſan, a foliorum vel ramuſculorum multitudine.*

Menſe

Menſe Martio ſeritur beta, enthadium, & atriplex, & dicardium marulium ac rhigitanum. Tranſplantatur marulium, picridium, phrygiaticum, polyclonum.

Μηνὶ Μαρτίῳ (σπείρε) σεῦτλον, (e) ἐνθάδιον, καὶ χρυσολάχανον, καὶ δικάρδιον μαρῦλιν, ῥιγιτανόν. μεταφύτευε δὲ μαρῦλιν, πικρίδιν, φρυγιατικὸν, πολύκλωνον.

Aprili menſe ſub finem ſeritur ſeutlomolochum, & atriplex, & dicardium cum rhigitano. Tranſplantatur autem a Martio & Aprili menſe braſſica alba, ſimiliter & crambaſparagus, & braſſica marina, & marulium cum rhigitano, & ſolum.

Μηνὶ Ἀπριλλίῳ (σπείρε) εἰς τὸ (6) λῆγος σευτλομόλοχον, καὶ χρυσολάχανον, καὶ δικάρδιον σὺν τῷ ῥιγιτανῷ. μεταφυτεύεται δὲ ἀπὸ Μαρτίου καὶ τοῦ Ἀπριλλίου μηνὸς λευκοκράμβη, ὁμοίως καὶ κραμβασπάραγον, καὶ θαλασσοκράμβη, καὶ τὸ μαροῦλιν σὺν τῷ ῥιγιτανῷ, καὶ μόνον.

Menſe Maio ſeminatur ſeutlomolochum, & atriplex, ſimiliter & mentha, & rhigitanum. Tranſplantatur ſeutlomolochum & marulium.

Μηνὶ Μαΐῳ σπείρεται σευτλομόλοχον, καὶ χρυσολάχανον ὁμοίως (7) καὶ ἰδίως, καὶ ῥιγιτανόν. μεταφυτεύεται δὲ σευτλομόλοχον, καὶ μαροῦλιν.

Menſe Junio ſeritur ſeutlomolochum, ſimiliter & dicardium, & porrum minutum tranſplantatur luto oblitum in humidum locum. Similiter & beta, & molochium, & marulium.

Μηνὶ Ἰουνίῳ σπείρεται σευτλομόλοχον, ὁμοίως καὶ δικάρδιον, καὶ τὸ λεπτὸν τοῦ πράσου μεταφυτευόμενον παραπηλωτὸν εἰς ἔνυγρον τόπον. ὁμοίως καὶ τὸ σεῦτλον, καὶ τὸ (f) μολόχιν, καὶ μαροῦλιν.

Julio menſe ſeritur intybum, & ſeutlomolochum, plantatur porrum in terra ſicca, & ſtatim rigatur, ne ſtimulum radicula ejus faciat: Et jam marulium tabeſcere incipit. Neceſſarium eſt etiam tranſplantare & intybum, & ſeutlomolochum. beta autem ſeorſim, & molochium ſeorſim tranſplantari debent.

Μηνὶ Ἰουλίῳ σπείρεται ἔντυβον, καὶ σευτλομόλοχον, καὶ καταφυτεύεται πράσον κατὰ ξηρᾶς γῆς· δεῖ δὲ παραχρῆμα ποτίζειν αὐτὸ, ἵνα μὴ ποιήσῃ κέντρον τὸ ῥιζάριν· (8) μέλλει τήκεσθαι καὶ μαροῦλιν. ἀναγκαστὸν μεταφυτεύειν καὶ ἔντυβον, καὶ σευτλομόλοχον. τὸ δὲ σεῦτλον ἰδίως, καὶ τὸ μολόχιν ἰδίως μεταφυτεύειν.

(e) Ἐνθάδιον ... δικάρδιον μαροῦλιν,-] Ἐνθάδιον *nuſquam, quod ſciam, apud* Botanicos Scriptores *comparet; ſed* Lactuca δικάρδιος *dicitur a duplici corde, quod enim ſpiſſum & coactum intus habet*, Cor Lactucæ *hodie dicimus.*

(6) Interp. *legebat* τὴν λύγρον, *ſed MSS. ut in textu.* (7) *MS.* V. *&* Interp. *ut in textu; ſed in MS.* F. καὶ ἡδύοσμον, L. *&* Bod. *habent* ἰδίοσμος, *utrumque male pro* ἡδύοσμος.

(f) Μολόχιν-] Du Freſne: Μολόχη, Malva, Μαλάχη. *Et in* Anaſtaſio *de* Patribus Sinaïtis. Athenæus *p.* 58. *ſub* Tit. Μαλάχαι. Ἡσίοδος, (inquit) Οὐδ᾽ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ᾽ ὄνειαρ. Τοῦτο Ἀττικῶς. Ἐγὼ δὲ ἐν πολλοῖς ἀντιγράφοις εὗρον τοῦ Ἀντιφάνους τὸ μο καὶ λο, διὰ τοῦ ο γεγραμμένον. Τρώγοντες μολόχης ῥίζαν. Καὶ Ἐπίχαρμος -- πραύτερος ἔγωγε μολόχης.

(8) *Ita legend. nullus dubito, antea* μέλλει γὰρ τήκεσθαι, καὶ μαρ. ἀναγκαῖο μεταφυτεύειν, *ſed* γὰρ *non comparebat in MSS.* V. *&* F.

Μηνὶ Αὐγούστῳ σπείρεται ἔντυβον, καὶ σευτλομόλοχον, καὶ γογγύλιν κεφαλωτὸν, καὶ γογγύλιν πρώϊμον, (9) καὶ γογγυλοασπάραγον, καὶ κράμβην λευκόν. καὶ μεταφυτεύεται πράσον, ἔντυβον, (10) σευτλομόλοχον, καὶ ῥάφανος σπείρεται κατὰ πλάτος· καὶ τὸ εὔζωμον, καὶ τὸ κάρδαμον σπείρεται.

Μηνὶ Σεπτεμβρίῳ σπείρεται σευτλομόλοχον, καὶ ἔντυβον ὄψιμον, καὶ γογγύλιν τὸ τῆς ἀγρίας. μεταφυτεύεται δὲ τὸ γογγύλιν τὸ κεφαλωτὸν, καὶ τὸ γογγύλιν τὸ χρηματίζον εἰς τὸ γογγυλοσπάραγον, καὶ τὸ ἔντυβον τὸ βρουμαλικὸν, καὶ τὸ σευτλομόλοχον ὁμοῦ, καὶ τὸ κολίανδρον, καὶ ὁ ῥάφανος.

Μηνὶ Ὀκτωβρίῳ εἰς τὸ νέον ἔτος σπείρεται μαροῦλιν, πικρίδιν, κωμωδιανὸν, πολύκλωνον, θριδάκιν. μεταφυτεύεται δὲ τὸ γογγύλιν, σεῦτλον, καὶ ἔντυβον, καὶ κάρδαμον, καὶ εὔζωμον, καὶ κράμβην τὸ λευκοκράμβιν.

Μηνὶ Νοεμβρίῳ σπείρεται τῆλις, καὶ μεταφυτεύεται γογγύλα τῆς ἀγρίας, καὶ ἔντυβον ὄψιμον, καὶ σεῦτλον ἰδίως, καὶ μολόχην ἰδίως. σπείρεται δὲ καὶ κολίανδρον.

Μηνὶ Δεκεμβρίῳ σπείρεται μαροῦλιν, καὶ πικρίδιν, πολύκλωνον, θριδάκιν, κωμωδιανόν.

Menſe Auguſto ſeminatur intybum, & ſeutlomolochum, & rapum capitatum, & rapum præcox, & gongylaſparagus, & braſſica alba. Tranſplantatur porrum, intybum, ſeutlomolochum, & raphanus ſeminatur in latitudinem; & eruca, & naſturtium ſeritur.

Menſe Septembri ſeritur ſeutlomolochum, & intybum ſerotinum, & rapum ſylveſtre. Tranſplantatur autem rapum capitatum, & rapum nomine tranſiens in gongylaſparagum, & intybum brumale, & ſeutlomolochum ſimul, & coriandrum, & raphanus.

Menſe Octobri in ſpem novi anni ſeritur marulium, picridium, comodianum, polyclonum, lactuca. Tranſplantatur autem rapum, beta, & intybum, & naſturtium, & eruca, & braſſica alba.

Novembri menſe ſeritur fœnum græcum, & tranſplantantur rapa ſylveſtria, & intybum ſerotinum, & beta ſeorſim, & molochium ſeorſim. Seritur & coriandrum.

Menſe Decembri ſeminatur marulium, & picridium, polyclonum, lactuca, comodianum.

(9) *Emend. ex MS.* Bar. *prius* εἰς. (10) *Supplevi ex MSS. &* Interp.

ΚΕΦ. Β.

Περὶ Κηποποιΐας. Φλωρεντίνου.

CAP. II.

De Horti ſtructura. Florentini.

ΤΟ τῆς κηποποιΐας χρῆμα ἀναγκαιότατόν ἐστι τῷ βίῳ. κῆπον τοιγαροῦν κατασκευαστέον καὶ πρὸς ὑγείαν, καὶ πρὸς τὰς ἐκ τῶν νόσων ἀναλήψεις, μὴ (a) πόῤῥω τῶν οἴκων, ἀλλ' ἐκ τοῦ πλησίον, ὥστε καὶ τὴν ἀπὸ τῆς θέας παρέχειν τέρψιν, καὶ τὸ ἀπὸ τῆς

(a) *Vid. Cap. I. Libri X.*

HOrti ſtructura res eſt ad vitam maxime neceſſaria. Hortum itaque conſtruere convenit & ad ſanitatem, & ad vires a morbis reficiendas, non procul ab ædibus, ſed vicinum, ut & delectationem ex aſpectu inde capiamus, & jucundi-

tatis

ꝏtatis ex odoris fragrantia participes fiamus. Situs autem ejus non ſit ſecundum ventum arearum, ne a tenuiſſimis quibuſque palearum particulis inde allatis plantæ lædantur. Oportet autem eum qui olerum plantationis ſtudio incumbit, proſpicere ut ſemina ſint bona, terra apta, aqua item & ſtercus ſint in promptu. Etenim bona ſemina ſimilia facient ea quæ inde naſcentur. Terra autem apta & fœcunda concreditum ſervabit. Aqua vero alendo olera majora faciet. Stercus autem laxiorem facit terram, ut aquam facile ſuſcipere poſſit, quo & radicibus impertiatur, & plantam emittat.

εὐπνοίας ἥδιστον. μὴ κατὰ ἄνεμον τῶν ἀλωνίων † κειμένων, ἵνα μὴ (1) ὑπὸ τῆς (b) ἄχνης φθείρηται τὰ φυτά. Δεῖ δὲ τὸν φιλοτιμησάμενον περὶ τὴν τῶν λαχάνων φυτείαν, πρόνοιαν ποιεῖσθαι σπερμάτων καλῶν, γῆς ἐπιτηδείας, ὕδατος, κόπρου. τὰ μὲν γὰρ καλὰ σπέρματα ὅμοια τὰ ἐξ αὐτῶν ἐσόμενα ποιήσει. ἡ δὲ ἐπιτηδεία γῆ καὶ γόνιμος τὸ δοθὲν φυλάξει. τὸ δὲ ὕδωρ διὰ τῆς τροφῆς μείζονα τὰ λάχανα ποιήσει. ἡ δὲ κόπρος χαυνοτέραν ἐργάζεται τὴν γῆν, ὥστε ῥαδίως αὐτὴν ὑποδέχεσθαι τὸ ὕδωρ, ἵνα καὶ ταῖς ῥίζαις διαμερίσῃ, καὶ τὸ φυτὸν ἐκπέμψῃ ἔξω.

† *Malim* κείμενον. (1) *Ita MSS. prius* ἀπὸ τῆς ἄγχνης.
(b) Τῆς ἄχνης-] Pallad. *p.* 26. " *Ab area longe ſitus ſit hortus; nam* " *pulverem patitur inimicum.*

CAP. III.

De terra oleribus apta. Didymi.

TErra ad horti culturam optima eſt, quæ neque argilloſa, neque valde aſpera eſt, neque æſtate magnis hiatibus rumpitur. Terra enim argilloſa, quæ hyeme quidem congelatur, per æſtatem vero reſiccatur, omnia in ſe plantata perdit, aut imbecillia & tenuia facit. Vix autem argilloſa idonea reddatur, ſi ex æquo ſtercus ei admiſceatur. Quæ vero in hiatus diſparatur, prorſus inutilis eſt. Aſpera autem neque plantas nutrire, neque capere aquam poteſt. Sunt autem pauci loci aſperi & arenoſi oleribus idonei, qui ſcilicet multum limi habent, quo radices aluntur. Quapropter facile eſt deprehendere terram oleribus aptam. Hanc enim ſi

ΚΕΦ. Γ.

Περὶ γῆς ἁρμοζούσης λαχάνοις. Διδύμου.

ΓΗ κηπεύεσθαι ἀρίστη, ἡ μήτε ἀργιλλώδης, μήτε λίαν τραχεῖα, μήτε τῷ θέρει εἰς μεγάλα χάσματα ῥηγνυμένη. ἥ τε γὰρ ἀργιλλώδης, χειμῶνος μὲν πηγνυμένη, θέρους δὲ ξηραινομένη, πάντα τὰ ἐμπεφυκότα ἀπόλλυσιν, ἢ ἀσθενῆ καὶ λεπτὰ ποιεῖ. μόλις δ᾽ ἂν γένοιτο ἡ ἀργιλλώδης ἐπιτηδεία, εἰ ἐξ ἴσου αὐτῇ κόπρος μιγῇ. ἡ δὲ εἰς χάσματα διϊσταμένη, παντελῶς ἄχρηστος. ἥ τε τραχεῖα οὔτε ἀνατρέφειν, οὔτε στέγειν ὕδωρ δύναται. εἰσὶ δὲ ὀλίγοι τόποι τραχεῖς καὶ ψαμμώδεις εὐλάχανοι, οἱ πολὺ δηλονότι τῆς ἰλύος ἔχουσιν, ἀφ᾽ ἧς αἱ ῥίζαι τρέφονται. διὸ καὶ (1) εὐκόλως ἂν καταλάβοις τὴν ἐπιτηδείαν λαχάνοις γῆν. ταύτην γὰρ λύσας ὕδατι καὶ πλύνας, ἐὰν μὲν εὕρῃς τὸ (2) ἰλυ-

(1) *MSS.* F.L. *&* B. 2. εὐλόγως μὲν καταλάβοις. (2) *MS.* Bar. ἰλυῶδες.

ὦδες πλέον ἔχουσαν, γόνιμον καὶ ἀγαθὴν λαχάνοις δοκιμάσεις, ἐὰν δὲ τὸ ὑδατῶδες πλέον ἔχῃ, λαχάνοις οὐκ ἀγαθή. κἀκείνην δὲ, ἣν ἂν ὥσπερ κηρὸν μαλάσσων τῇ χειρὶ σφόδρα κολλώδη εὕρῃς, ἀνεπιτηδείαν λαχάνοις δοκίμαζε.

aqua diſſolveris, & laveris, & repereris multum limi habentem, fœcundam & oleribus idoneam judicabis. Si vero plus aquoſi humoris habuerit quam limi, oleribus inepta eſt. Illam autem terram, quam, velut ceram manu emolliendo, valde glutinoſam repereris, oleribus itidem ineptam judicato.

ΚΕΦ. Δ.

Ποία κόπρος ἐπιτηδεία λαχάνοις. Τοῦ Αὐτοῦ.

(a) ΒΕλτίων κόπρος † πάντων τοῖς λαχάνοις τέφρα, λεπτοτάτη γὰρ οὖσα, καὶ φύσει θερμὴ, ἀποκτείνει τὰς ψύλλας καὶ τοὺς σκώληκας, καὶ τὰ τοιαῦτα θηρία. δευτέρα κόπρος ἡ τῶν περιστερῶν, καὶ αὐτὴ δυναμένη θηρίον ἀποκτεῖναι, κἂν ὀλίγον δὲ ἐξ αὐτῆς καταβληθῇ, τὸ αὐτὸ δρᾷ, ὅπερ ἄλλης τὸ πλῆθος. Τινὲς δὲ τὴν ὀνείαν κόπρον προκρίνουσι τῆς τῶν περιστερῶν, ὡς γλυκύτερα ποιοῦσαν τὰ λάχανα. καλλίστη κόπρος καὶ ἡ αἰγεία, (1) τὰ αὐτὰ τοῖς προειρημένοις παρέχειν δυναμένη. ἐν ἀπορίᾳ δὲ χρηστέον τῇ ἑτέρᾳ κόπρῳ, μὴ μέντοι νεαρᾷ· θηρίων γάρ ἐστι γεννητικὴ, ἀλλ' ἔστω ἐνιαυσιαία, πολλάκις μεταβληθεῖσα δικέλλαις.

CAP. IV.

Quale ſtercus oleribus idoneum ſit. Ejuſdem.

STercus aptiſſimum omnium oleribus eſt cinis, tenuiſſimus enim cum ſit, & natura calidus, occidit pulices & vermes, & ejuſmodi beſtiolas. Secundo loco columbinum eſt, quod etiam beſtias necare poteſt, & ſi etiam parum ex ipſo injectum ſit, idem efficiet, quod alius ſtercoris magna copia. Quidam tamen aſininum columbino præferunt, quod olera dulciora reddat. Optimum ſtercus eſt & caprinum, eadem ac prædicta præſtare valens. Verum urgente inopia etiam alio ſtercore utendum, non tamen recenti, hoc enim beſtias gignit; ſit autem omnino anniculum, & ligonibus ſæpe turbatum ac agitatum.

(a) Βελτίων κόπρος-] *Ita* Colum. *p.* 71. *&* Palladius. *pag.* 25.
† *An legend.* πασῶν.
(1) *MSS. habent* καὶ τοιαῦτα.

ΚΕΦ. Ε.

Πῶς δυνατὸν λάχανα παντοῖα ἐν ἀνύδροις τόποις ἔχειν. Οὐϊνδανιωνίου.

ΕΠιλεξάμενος ὅσον θέλεις διάστημα γῆς, καὶ ὀρύξας τοῦτο ἐπὶ ποδιαῖον ἢ ἐπὶ πηχυαῖον βάθος, καὶ τὴν ὀρυττομένην γῆν ἀφελὼν, λαβὼν κε-

CAP. V.

Quomodo olera omnigena in locis aqua carentibus haberi poſſint. Vindanionii.

QUantumcunque velis terræ ſpatium eligito, & ipſum pedali aut cubitali profunditate fodito, & ſublata terra effoſſa, tegulas in effoſſo

Foſſo loco ſterne, injicitoque terram puram & cribratam cum aridiſſimo ſtercore, atque ſic plantato aut ſere olera. Quidam, vice tegularum, locum effoſſum complanant tectorio inducto, ex calce videlicet, quemadmodum in torcularibus fieri ſolet, & tunc terram & ſtercus injiciunt, & excolunt. Sive autem calcis tectorio, ſive tegulis quis utatur, etiam murorum foſſum locum ambientium curam habere convenit, eosque ſimiliter tectorio, aut tegulis munire, ut nequaquam diffluere poſſit aqua ad rigandum affuſa. Hoc autem facto, omnia plantant ſimiliter in locis aqua carentibus, hyeme quidem pluvialibus aquis contenti, æſtate autem rigantes. Neque enim multa aqua opus habent, cum humor per totam hyemem delapſus in loco iſto conſervetur, per excogitatam videlicet munitionem, & in vicinos locos non diſtribuatur. Aliqui vero aquæ copiam non habentes, duos hortos faciunt, alterum hyemalem, cui pluviæ proſunt, alterum vero æſtivum, in loco umbroſo & ad ſeptentrionem ſpectante.

κεραμίδας καὶ ταύτας καταστρώσας κατὰ τοῦ σκαφέντος τόπου, ἐπίβαλλε γῆν καθαρὰν καὶ σεσησμένην μετὰ κόπρου ξηροτάτης, καὶ οὕτω φύτευσον ἢ σπεῖρον τὰ λάχανα. Τινὲς δὲ ἀντὶ τῶν κεραμίδων, μετὰ τὸ κατορύξαι τὸν τόπον, ὁμαλίζουσιν αὐτὸν κονιάματι, ἤγουν στακτῇ, καθάπερ τοὺς ληνοὺς, καὶ τότε τὴν γῆν καὶ τὴν κόπρον ἐπιβάλλουσι, καὶ κηπεύουσιν. εἴτε δὲ κονιάματι, εἴτε κεραμίσι τις κέχρηται, ἐπιμελεῖσθαι χρὴ καὶ τῶν περιλαμβανόντων τὸ ὄρυγμα τοίχων, καὶ ἀσφαλίζεσθαι τούτους ὁμοίως κονιάματι, ἢ διὰ τῶν κεραμίδων, ὥστε μηδαμόθεν δύνασθαι τὸ ἐπιβαλλόμενον εἰς ἀρδείαν ὕδωρ διαχεῖσθαι. τοῦτο δὲ ποιήσαντες, κηπεύουσι πάντα (1) ὁμοίως ἐν τοῖς ἀνύδροις τόποις, χειμῶνος μὲν ἀρκούμενοι τοῖς ὀμβρίοις ὕδασι, θέρους δὲ ἀρδεύοντες. οὐ γὰρ πολλοῦ χρείαν ἔχουσιν ὕδατος, τῆς ὅλου τοῦ χειμῶνος νοτίας ἐν τῷ τόπῳ φυλαττομένης διὰ τῆς ἐπινοηθείσης ἀσφαλείας, καὶ οὐ διαδιδομένης εἰς τοὺς πλησιάζοντας τόπους. Τινὲς δὲ, ἀφθονίας οὐκ οὔσης ὑδάτων, δύο κήπους ποιοῦσιν, ἕνα μὲν χειμερινὸν, ὄμβροις βοηθούμενον, ἕτερον δὲ θερινὸν, ἐν (2) παλισκίῳ τόπῳ καὶ πρὸς ἄρκτον κειμένῳ.

(1) *Emend. ex MSS.* V. Bar. *&* Interp. *ante* ὁμοίως, ὡς ἐν τοῖς ἐνύδ. Long. *&* Bod. ὡς ἐν τοῖς ἀνύδ. (2) *Ex MSS.* V. F. L. *&* Bod. *ante* παλυσκίῳ, *in* Bar. πανσκίῳ.

CAP. VI.

Ut hortus vireſcat, & floridus fiat. Democriti.

Vireſcet hortus, ſi loto tuſa & in aquam conjecta eum reſperſeris, aut fœno græco in aqua trito areolas irroraveris: Aut aſini calvariam in medio horti depoſueris.

(a) Κρανίον ὄνου-] *Vid.* Pallad. *p.* 31.

ΚΕΦ. ϛ.

Ὥστε κῆπον εὐθαλῆ εἶναι, καὶ εὐανθῆ. Δημοκρίτου.

Εὐθαλὴς ἔσται ὁ κῆπος, εἰ λωτὸν κόψας καὶ ἐμβαλὼν εἰς ὕδωρ καταῤῥάνῃς, ἢ τῆλιν τρίψας μετὰ ὕδατος, τὰς πρασιὰς ῥάνῃς· ἢ (a) κρανίον ὄνου εἰς τὸ μέσον τοῦ κήπου ἀπόθοιο.

ΚΕΦ. Ζ.

Ἵνα τὰ λάχανα ψυλλόβρωτα μὴ (1) γένηται, μηδὲ ὑπὸ φθειρῶν ἢ ὀρνέων ἀδικῆται. Ἀνατολίου.

ΟΥ γίνεται λάχανα ψυλλόβρωτα, ἐὰν τοῖς σπέρμασιν αὐτῶν ἐν τῷ σπείρειν ὀλίγον ὄροβον μίξῃς. μάλιστα δὲ τοῦτο ῥαφανίσι καὶ γογγυλίσι κατάλληλόν ἐστιν. (2) ἄλλοι δὲ φυσικώτερον ποιοῦντες, εὔζωμον συσπείρουσιν, ἢ συμφυτεύουσι, καὶ μάλιστα κράμβαις. αὗται γὰρ ὑπὸ τῶν ψυλλῶν μᾶλλον βλάπτονται. εἰ δὲ βούλει μηδὲ ὑπὸ ἑτέρου τινὸς βλάπτεσθαι τὰ σπέρματα, χυλῷ ἀειζώου διάβρεχε ταῦτα, πρὶν σπαρῆναι. πάντα δὲ τὰ σπέρματα, τά τε κηπαῖα καὶ ἀρουραῖα, ἀπὸ παντὸς θηρίου ἀκέραια φυλάξεις, ἐὰν ταῦτα (3) προβρέχων εἰς χυλὸν κεκομμένης ἀγρίου σικύου ῥίζης σπείρῃς. ἄβρωτα δὲ μένει τὰ λάχανα, ἐὰν εἰς (a) ταῦλιν χελώνης αὐτὰ σπείρῃς.

CAP. VII.

Ut olera a pulicibus non corrodantur, neque a pediculis aut aviculis lædantur. Anatolii.

OLera a pulicibus non corrodentur, ſi ſeminibus ipſorum parum ervi inter ſeminandum admiſcueris. Hoc vero maxime raphanis & rapis conveniens eſt. Alii magis phyſico remedio utuntur, erucam ſimul ſerentes aut plantantes, & præſertim cum braſſicis. Hæ enim magis a pulicibus infeſtantur. Si vero neque ab alio quopiam ſemina lædi velis, ſempervivi ſucco ea macerato ante ſationem. Omnia autem ſemina, tum hortenſia, tum arvalia, integra & ab omni beſtia illæſa conſervabis, ſi ipſa in ſucco contuſæ radicis cucumeris ſylveſtris ante macerata ſeminaveris. Incorroſa autem manent olera in teſtudine [*ſiccata &*] ſeminata.

(1) *Ita MSS.* Bar. *&* F. (2) *Reſtitui ex MSS. prius* ἄλληλοι. (3) *Ita MSS. &* Interp. *in pr. Ed.* προβρέχῃς .... ἀγρίου συκῆς. *Hanc autem lectionem adſtruit* Pallad. *pag.* XXXI. "*Omnia ſemina horti vel agri feruntur ab omnibus malis monſtris tuta ſervari, ſi agreſtis cucumeris radicibus ante macerentur.*

(a) Ταῦλιν χελώνης-] Du Freſne *in* Gloſſario. Ταῦλις, Tabula, Orbiculus; *hic, per* μεταφορὰν, teſtudo. Pallad. *p.* 28. "*Ut olera animalia infeſta non generent, in corio teſtudinis omnia ſemina, quæ ſparſurus es, ſicca. Ex hoc autem* Palladii *loco ſupplendus eſt* Noſter, *per* ψύξας, *aut quid ejuſmodi.*

ΚΕΦ. Η.

Ὥστε κάμπας ἐν λαχάνοις ἢ δένδροις μὴ εἶναι. (1) Ἀπουληΐου.

ΚΟνίαν ἀμπελίνην βάλε εἰς ὕδωρ ἡμέρας γʹ. καὶ καταῤῥαινε τὰ λάχανα, ἢ [ἄσφαλτον καὶ θεῖον ἄπυρον

CAP. VIII.

Ut erucæ in oleribus aut arboribus non ſint. Apuleii.

CInerem vitigineum per triduum in aquam mittito, & olera inde aſperge, aut bitumine & ſulphure

(1) *Adjeci ex MSS.* F. L. *&* Bod.

vivo

vivo arbores aut olera ſuffumigato. Similiter non erunt erucæ, ſi ſemen in lixivium cineris ficulnei miſſum maceraveris, & ita ſeminaveris. Cæterum erucæ, quæ jam ſunt, perdentur, urina & amurca ex æquo mixtis, & igne fervefactis, deinde refrigeratis, & ſic oleribus adſperſis. Si vero etiam alterius horti erucas aqua cum anetho coxeris, & refrigeratam aquam oleribus irroraveris, erucas perdes. Quidam autem, ubi multæ erucæ ſunt, mulierem menſtrualem in hortum ducunt, diſcalceatam, ſparſis crinibus, unico tantum palliolo indutam, & nihil omnino præterea habentem, neque ſubligaculo ullo circum pudenda velatam, neque alia ulla re tectam. Hæc enim ter hac figura ac habitu hortum circumiens, & per medium egreſſa, ſtatim erucas evaneſcere faciet. Sed & fungos ſub nucis arbore naſcentes ſi quis ſuffumiget, eas perdet. Quin & veſpertilionis ſtercore & allii fuſticulis ademptis capitibus ſuffitis, ita ut vapor per omnem hortum diſpergatur, erucæ necabuntur.

ὑποκάπνιζε τὰ δένδρα, ἢ τὰ λάχανα. ὁμοίως οὐκ ἔσονται κάμπαι, ἐὰν τὸ σπέρμα (2) προβρέξῃς εἰς κονίαν, ἤγουν στακτὴν ἐκ συκίνης τέφρας, καὶ οὕτω σπείρῃς. Τὰς δὲ οὔσας κάμπας διαφθερεῖς, οὖρον καὶ ἀμόργην ἐξ ἴσου μίξας, καὶ ζέσας εἰς πῦρ, ἔπειτα ψύξας, καὶ οὕτως ἐπιῤῥαίνων τὰ λάχανα. εἰ δὲ καὶ ἑτέρου κήπου κάμπας λαβὼν, καὶ ἐν ὕδατι ἑψήσας σὺν ἀνήθῳ, καὶ ψύξας ἐπιῤῥάνῃς τοῖς λαχάνοις, ὀλέσεις τὰς οὔσας κάμπας. Τινὲς δὲ, ὅταν κάμπαι πολλαὶ ὦσι, (a) γυναῖκα καθαιρομένην εἰσάγουσιν εἰς τὸν κῆπον, ἀνυπόδητον, λυσίτριχα, ἓν μόνον ἐνδεδυμένην ἱμάτιον, καὶ μηδὲν ἄλλο ὅλως ἔχουσαν, μήτε περίζωμα, μήτε ἕτερόν τι. αὕτη γὰρ τούτῳ τῷ σχήματι τρὶς περιελθοῦσα τὸν κῆπον, καὶ διὰ μέσου ἐξελθοῦσα, εὐθέως ποιήσει ἀφανεῖς τὰς κάμπας. καὶ μύκητας δὲ τοὺς ὑπὸ ταῖς καρύαις φυομένους θυμιῶν, ἀποκτενεῖς αὐτάς. ἢ νυκτερίδος κόπρον καὶ τὰ τῶν σκορόδων ξύλα χωρὶς τῶν κεφαλῶν θυμιάζων, ὡς τὴν ἀτμίδα εἰς ὅλον τὸν κῆπον περιελθεῖν.

(2) *Ita legend. cum* Interp. *prius* ἐὰν εἰς ... προβρέξῃς κόνιον,---.

(a) Γυναῖκα καθαιρομένην-] *Idem, ad abigendas vel perimendas Erucas, menſtruatæ mulieris experimentum profert* Colum. *in* Hortulo *ſuo, p.* 357. " *At ſi nulla valet medicina repellere peſtem,* " *Dardaniæ veniant Artes,* " *nudataque plantas* " *Fœmina, quæ juſtis tum demum operata juventæ* " *Legibus, obſcæno manat pudibunda cruore;* " *Et reſoluta ſinus, reſoluto mœſta capillo,* " *Ter circum areolas & ſepem ducitur horti.* " *Quæ* " *cum luſtravit gradiens (mirabile viſu),* " *Non aliter quam decuſſa pluit* " *arbore nimbus* " *Vel teretis mali, vel tectæ cortice glandis,* " *Volvitur* " *ad terram diſtorto corpore campe. Hæcce omnia repetit ex* Democriti *libro* περὶ ἀντιπαθῶν, *ſub finem Lib. XI.* Plinius *autem* Tom. 4. *p.* 486. *ex* Metrodoro Scepſio *narrat, in* Cappadocia *inventum fuiſſe, ob multitudinem cantharidum: Cavendumque eſſe, ne ſole oriente id faciant: ſementem enim areſcere.* " *Hujuſmodi Præſtigium* (Ant. Mizaldi *verba, de* Secret. Hort. *Lib. I.*) *referre puduiſſet, niſi multi experti fuiſſent; ſcri-* " *pſiſſetque Doctiſſimus Medicus* Jo. Langius, *in Noricorum terris obſerva-* " *tum & approbatum eſſe.*

K E Φ.

ΚΕΦ. Θ.

Πῶς ἔστι πρασοκουρίδας διαφθεῖραι. Διοφάνους.

ΚΟιλίαν προβάτου νεαρὰν, πλήρη τῆς κόπρου καὶ ἄπλυτον, κατάχωσον μὴ ἐν βάθει, ἀλλ' ἐπιπολῆς. εὑρήσεις γὰρ πεπληρωμένην τῶν (a) πρασοκουρίδων αὐτήν. εἰ δὲ καὶ δεύτερον ποιήσεις τὸ αὐτὸ, πάσας συνάξεις, καὶ οὕτω λαβὼν διαφθερεῖς. φιλόκοπρον γὰρ ὂν τὸ ζῶον, καὶ ἀεὶ ἐν κόπρῳ ὂν, οὕτω ταχέως θηραθήσεται.

CAP. IX.

Quomodo blattæ necentur. Diophanis.

VEntriculum ovillum recentem, ſtercore plenum & illotum, defodito, non in profundum, ſed in ſuperficie. Invenies enim ipſum blattis repletum. Si vero iterum idem feceris, omnes congregabis, & ſic apprehenſas perdes. Cum enim ſtercus amet animalculum, ſemperque in ipſo degat, hoc modo cito & facile capietur.

(a) Πρασοκουρίδων-] Πρασοκουρὶς *viride eſt animalculum, olera & porra (unde & nomen traxit) arrodens:* Heſychius; ζῶον χλωρὸν κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα. *Apud* Theophr. *H.P.* Lib. 7. *p.* 140. Καὶ ἐν τῇ θριδακίνῃ, καὶ ἐν τοῖς πράσοις, καὶ ἐν ἄλλοις πλείοσιν αἱ πρασοκουρίδες ἐγγίνεται. Ariſtot. *quoque* Hiſt. Anim. *Lib.* 5. *Cap.* 19. *ſcribit,* πρασοκουρίδας ἐκ τῶν καράβων *naſci, & habere* πτερά. Pet. Victorius *legendum contendit* πρασιοκουρίδας, *perperam, ut videtur;* Gaza *vertit, apto ſatis vocabulo,* Porricidas. *Vid.* Pallad. *p.* 30. *&* Theophr. *pag. cit.*

ΚΕΦ. Ι.

Τί παρασπειρόμενον ὠφελεῖ τὰ λάχανα. Φρόντωνος.

ΠΑντα τὰ λάχανα ὠφελεῖ καθόλου εὔζωμον τούτοις παρασπειρόμενον.

CAP. X.

Quid commode juxta olera ſeratur. Frontonis.

OMnibus oleribus in univerſum prodeſt eruca, ſi juxta ipſa ſeratur.

ΚΕΦ. ΙΑ.

Πρὸς τὸ κηπωρὸν ἀδικῆσαι. (1) Ἀφρικανοῦ.

(2) ΧΗνῶν ἀφόδευμα ἅλμῃ λύσας ῥαῖνε τὰ λάχανα.

CAP. XI.

Quomodo olitori injuria fiat. Africani.

ANſerum ſtercus muria diſſolutum oleribus aſpergito.

(1) *Ex MSS.* F. L. *&* Bod. (2) *Emend. ex MSS. &* Interpp. Lat. *&* Ital. *ante* Πτηνῶν. *Hanc lectionem firmat* Mizaldus *de hort. ſecret. pag. XVII.*

CAP. XII.

De malva, & diverſorum morborum ex ipſa remediis. Damogerontis.

Malva fervefacta, & per ſe comeſta, raucedinem tollit; cum oleo autem & garo accepta in cibo, ventrem ſolvere poteſt. Folia ipſarum trita cum foliis ſalicis omnibus emplaſtris commodiora ſunt. Nam & inflammari non ſinunt, & ſanguinem ſiſtunt, & recens vulnus cicatrice includunt, membris etiam luxatis ac contuſis medentur. Phalangiorum quoque & reptilium ictus curabunt folia, ſi cepas & porra triveris, eiſque malvæ folia miſcueris, ac impoſueris. Si quis vero ſylveſtris malvæ ſucco cum oleo illinatur, a veſpis non pungetur, ſed & ei qui jam ictus eſt ſuccus prodeſt. & folia malvæ contuſa & impoſita ictum ſanant. Similiter autem malva illita tollit lichenas, ſanguinemque ſiſtit & occultos fœminarum affectus. Succus vero ejus auribus inſtillatus dolorem aurium tollit. In potu acceptus cum melle hepaticos ſanat, & morbo comitiali laborantes reſipiſcere facit. Eodem modo & nephriticis & iſchiadicis prodeſt. At vero decoctum ipſius potatum urinam prolectat. Eſt etiam commodum difficulter parturientibus.

ΚΕΦ. ΙΒ.

(1) Περὶ μαλάχης, καὶ τῆς ἐξ αὐτῆς πρὸς διάφορα πάθη θεραπείας. Δαμογέροντος.

Μαλάχη ἐκζεσθεῖσα, καὶ καθ' ἑαυτὴν ἐσθιομένη, βράγχον παύει· σὺν ἐλαίῳ δὲ καὶ γάρῳ ἐσθιομένη, γαστέρα λύειν δύναται. τὰ φύλλα αὐτῶν τριφθέντα μετὰ φύλλων ἰτέας ἐμπλάστρου πάσης εἰσὶ χρησιμώτερα. φλεγμαίνειν τε γὰρ οὐκ ἐᾷ, καὶ ἵστησι τὸ αἷμα, καὶ συνουλοῖ τὸ πρόσφατον τραῦμα, καὶ στρέμματα δὲ καὶ θλάσματα ἰᾶται. φαλαγγίων τε καὶ ἑρπετῶν πληγὰς (2) ἰάσεται, εἰ κρόμμυα καὶ πράσα λειώσας μίξεις τοῖς φύλλοις τῆς μαλάχης, καὶ ἐπιθήσεις. τῷ δὲ τῆς ἀγρίας μαλάχης χυλῷ εἴ τις (3) χρίσαιτο σὺν ἐλαίῳ, οὔτε (a) ὑπὸ σφηκῶν πληγήσεται, καὶ τὸν φθάσαντα δὲ πληγῆναι ὁ χυλὸς ἰᾶται. καὶ τὰ φύλλα δὲ τῆς μαλάχης συντριβέντα, καὶ ἐπιτιθέμενα, ἰᾶται τὸν πληγέντα. Ὁμοίως θεραπεύει μαλάχη χριομένη (4) λειχῆνας, αἷμα ἵστησι καὶ τὰ κρυπτὰ πάθη γυναικῶν. ὁ δὲ χυλὸς αὐτῆς ἐνσταζόμενος τοῖς ὠσὶ παύει τὴν ὠταλγίαν. πινόμενος δὲ μετὰ μέλιτος ἰᾶται τοὺς ἡπατικοὺς, καὶ ἀνανήφειν ποιεῖ τοὺς ἐπιληπτικούς. ὁμοίως ὁ ταύτης χυλὸς ἰᾶται νεφριτικοὺς, καὶ τοὺς ἰσχιαδικούς. τὸ δὲ ζέμα αὐτῆς πινόμενον θεραπεύει δυσουρίαν. καὶ χρήσιμός ἐστι πρὸς δυστοκίαν.

(1) *Ita reſtitui ex MS.* Bar. *hujus cap. Argum. antea miſere luxatum,* Περὶ μαλάχης καὶ τῆς ἐξ αὐτῆς, καὶ περὶ θεραπείας διαφόρων παθῶν. *Adjeci etiam* Δαμογέροντος *ex MSS.* (2) *Ita MSS. antea* ἰάσῃ. (3) *Emend. ex* Interp. Dioſcor. *&* Plinio; *prius* χρήσαιτο.

(a) Ὑπὸ σφηκῶν-] Dioſcor. *Lib.* 2. *Cap.* 144. Ποιεῖ δὲ καὶ πρὸς μελισσῶν καὶ σφηκῶν πληγὰς καταπλασσομένη, κἂν προχρίσηται δέ τις ὠμὴν λείαν σὺν ἐλαίῳ, ἄπληκτος διαμένει. *Ita etiam* Plinius *Tom.* 4. *p.* 79. *De remediis ex malva petitis adeundi* Dioſc. *&* Plinius, *locis citatis.*

(4) *Hæc revoc. ex MS.* Bar. *ante* χριομ. χῆνας, καὶ——.

CAP.

ΚΕΦ. ΙΓ.

Περὶ θρίδακος, καὶ τῆς ἐξ αὐτῆς θεραπείας, καὶ πῶς ἐστιν αὐτὴν (1) λευκὴν καὶ εὐειδῆ γενέσθαι. Φλωρεντίνου.

Θρίδαξ ὑγρὸν καὶ ψυχρόν ἐστι λάχανον, διὰ τοῦτο πρὸς τὰς πυρώδεις φλεγμονὰς ἁρμόζει. ἔστι δὲ ἄδιψον ἔδεσμα, καὶ ὑπνωτικὸν, καὶ γάλακτος προτρεπτικόν. ἑψηθεῖσα δὲ γίνεται τροφιμωτέρα, συνουσίας ἀποτρέπει, ὅθεν (a) οἱ Πυθαγόρειοι εὐνοῦχον αὐτὴν καλοῦσιν, αἱ δὲ γυναῖκες (2) ἀστυτίδα. Εἰ δὲ βούλει καὶ εὐειδεῖς ἔχειν τὰς θριδακίνας, πρὸ δύο ἡμερῶν τοῦ μέλλειν ἀφαιρεῖσθαι αὐτὰς, τὰς κόμας αὐτῶν, τουτέστι τὸ ἄνωθεν μέρος, δῆσον. οὕτω γὰρ λευκαὶ καὶ εὐειδεῖς ἔσονται. λευκαίνει δὲ αὐτὰς καὶ ψάμμος ἄνωθεν καταχεομένη. Ἡ θριδακίνη ὀρέξεως τροφῆς ἐστιν αἰτία, φλέγμα λύει, ἀφροδίσια ἐπέχει, μετὰ οἴνου γλυκέος ἢ ὄξους ληφθεῖσα χολὴν κίρνησιν. ὑποχόνδρια μετὰ ὑσσώπου καὶ ὄξους ὀνίνησιν. ἑψηθεῖσα δὲ ἐν ῥοδίνῳ, καὶ δοθεῖσα, χολέραν παύει. Ὁ δὲ ὀπὸς αὐτῆς σπλάγχνα οἰδαίνοντα καταστέλλει. μετὰ δὲ γυναικείου γάλακτος ἐπιχρισθεῖσα ἐρυσιπέλατι ὑγείαν παρέξει. Τὸ σπέρμα αὐτῆς τριφθὲν καὶ ποθὲν σκορπιοδήκτους ἰᾶται. θώρακα πεπονθότα ὠφελεῖ. ὕπνον ἐπι-

CAP. XIII.

De lactuca, & medela ex eadem, & quomodo alba ac pulchra proveniat. Florentini.

Lactuca humidum & frigidum eſt olus, & ideo ardentibus inflammationibus congrua eſt. Eſt autem edulium ſitim extinguens, & ſomnificum, & lac allicit. Cocta autem magis alit, coitum vero impedit, unde Pythagorei ipſam eunuchum appellant, mulieres vero aſtytida. Si vero & pulchras habere velis lactucas, biduo ante quam eas ſublaturus es, comas ipſarum, hoc eſt ſupernam partem, ligato. Sic enim albæ & ſpecioſæ erunt. Dealbat ipſas etiam arena ſuperinjecta. Lactuca agreſtis appetentiæ cibi cauſa eſt, pituitam ſolvit, venerem cohibet, cum vino dulci aut aceto accepta bilem temperat. præcordiis cum hyſſopo & aceto prodeſt. Cocta in roſaceo, & data, choleram tollit. Succus ejus viſcera tumentia comprimit. Cum muliebri lacte illitus eryſipelas ſanabit. Semen tritum & potatum morſum ſcorpii ſanat. Pectori affecto prodeſt. Somnum inducit ſanis quidem in cibo acce-

(1) *MSS.* F.L. *&* B. 2. λευκὴν ποιῆσαι καὶ εὐειδῆ.

(a) Οἱ Πυθαγόρειοι εὐνοῦχον- … ἀστυτίδα.] Callimachus *apud* Athenæum *refert,* Venerem Adonin *in lactucis occuluiſſe, ea allegoria innuens, eos, qui aſſiduè lactucis veſcuntur, ad Venerem eſſe invalidos.* Ἴβυκος δ' ὁ Πυθαγόρειος (Athenæi verba) τὴν ἐκ γενέσεώς φησι θρίδακα πλατύφυλλον, πετεινὴν, ἄκαυλον, ὑπὸ μὲν τῶν Πυθαγορείων λέγεσθαι εὐνοῦχον, ὑπὸ δὲ τῶν γυναικῶν ἀστυτίδα. *Apud* Plinium *eadem leguntur* Tom. 3. *p.* 603. " *Rotundam " vero lactucam ac minima radice, latis foliis, Aſtytida vocant: quidam " que Eunuchion, quod hac maxime refragetur Veneri.* Eubulo, *in* Ἀστύτοις, *lactuca* νεκύων βρῶμα *dicitur, propter facultatem* ψυκτικήν. *Plura videantur apud* Euſtath. *in* Il. Χ. *& pag.* 849, *&* 862. Plin. *Tom.* 4. *&* Salmaſium *ad* Solinum, *pag.* 1271.

(2) *Ita legendum ex* Athenæo *&* Caſaub. *refragantibus licet MSS. prid.* ἀστύδα.

ptum,

ptum, ægris vero ſuppoſitum neſcientibus, & præſertim, ſi quis viviradicem lactucæ ſativæ ſiniſtra manu evulſam e terra ante ſolis exortum clam ſub ſtratum ægri ponat. Succus etiam hujus fronti ægroti illitus ſomnum ipſi inducet. Si vero velis lactucas ſeſſiles facere & folioſas, & in caulem non excreſcere, ſed humiles & ad terram depreſſas eſſe, tranſplantatas rigato. cum autem ad altitudinem palmi creverint, circumfodi ipſas ut appareant radices, & ſtercore bubulo recenti oblitas obrue, & ſtatim riga. Ubi autem creverint, germen acutiſſimo ferro finde, & teſtam non picatam impone, quo in latitudinem, & non in longitudinem augmentum capiant. Cæterum lactuca aſſidue comeſta viſus hebetudinem cohibet, & perſpicacitatem inducit, præſertim ſi ſit dulcis. & multæ quidem in cibo acceptæ ventrem ſolvunt, paucæ vero ſiſtunt, & gravedini proſunt. Qui jejuni præſumpſerint lactucam, aquarum varietate in peregrinationibus non offendentur. neque vero ab ebrietate tentabitur, quiſquis ipſam præſumpſerit. Lactuca odorata redditur, ſi citrii ſemen ejus ſemini intrudatur, & ſic ſeratur. Semen potatum fluxum ſeminis cohibet, quapropter his, qui aſſidue per ſomnum id effundunt, exhibetur. Ipſa etiam folia lactucæ quinque numero, aut tria, aut unum, ſomnum inducent ægroto, clanculum ſub pulvinari poſita, ita ut partes a caule avulſæ ad pedes ægroti ſpectent, ſupernæ vero ad ægri caput.

φέρει τοῖς μὲν ὑγιαίνουσιν ἐσθιομένη, τοῖς δὲ νοσοῦσιν, ὑποτιθεμένη ἀγνοοῦσι. καὶ μάλιστα, εἴ τις τὴν θρίδακα τῇ ἀριστερᾷ χειρὶ αὐτόρριζον πρὸ ἀνατολῆς ἡλίου λαβὼν ἐκ τῆς γῆς θείη λάθρα ὑπὸ τὰ στρώματα τοῦ καμνοντος. Καὶ ὁ χυλὸς δὲ ταύτης ἐπιχριόμενος τῷ μετώπῳ τοῦ ἀρρώστου ὕπνον αὐτῷ ἐπάξει. Εἰ δὲ βούλει θρίδακας ποιῆσαι (b) φιαλωτὰς καὶ πολυφύλλους, καὶ μὴ ἐκκαυλεῖν, ἀλλὰ χαμαιζήλους εἶναι, μεταφυτεύσας αὐτὰς πότιζε. ὅταν δὲ μέγεθος παλαιστιαῖον ἔχωσι, περιορύξας αὐτὰς, ὥστε φαίνεσθαι τὰς ῥίζας, περίπλασσε κόπρῳ βοείᾳ νεαρᾷ, καὶ περιχώσας, εὐθὺς ἄρδευε. ὅταν δὲ αὐξηθῶσιν, (3) ἐπίσχισον τὸν βλαστὸν ὀξυτάτῳ σιδήρῳ, καὶ ἐπίθες ὄστρακον ἀπίσσωτον, ὅπως εἰς τὸ πλάτος τὴν αὔξησιν, καὶ μὴ εἰς τὸ μῆκος λαμβάνωσιν. Ἡ δὲ θρίδαξ συνεχῶς ἐσθιομένη ἀμβλυωπίαν ἐπέχει, καὶ ὀξυδορκίαν ἐργάζεται, καὶ μάλιστα εἰ γλυκεῖα εἴη. καὶ πολλαὶ μὲν ἐσθιόμεναι λύουσι γαστέρα, ὀλίγαι δὲ ἱστῶσι, καὶ κόρυζαν παραμυθοῦνται. οὐ (4) ξενίσει δὲ τοὺς ἐν ἀποδημίᾳ τῶν ὑδάτων ἡ ποικιλία, ἐὰν νηστικοὶ προεσθίωσιν αὐτήν. οὔτε δὲ μέθης τις πειραθήσεται, προφαγὼν αὐτῆς. ἡ δὲ θρίδαξ εὐώδης γίνεται, κιτρίου σπέρματος ἐντιθεμένου τῷ σπέρματι, καὶ οὕτω σπειρομένης. τὸ σπέρμα πινόμενον ἐπέχει γονόρροιαν, διὸ τοῖς συνεχῶς ὀνειρώττουσι δίδοται. καὶ αὐτὰ τὰ φύλλα τῆς θρίδακος ε'. ἢ γ'. ἢ ἓν, ὕπνον ἐπάξει τῷ κάμνοντι, τιθέμενα κρύφα ὑπὸ τὴν (5) κοίτην, ὥστε τὰ μὲν ἀπεσπασμένα ἀπὸ τοῦ καυλοῦ πρὸς τοὺς πόδας ὁρᾶν, τὰ δὲ ἄνω βλέποντα πρὸς τὴν κεφαλήν.

(b) Φιαλωτὰς.... Χαμαιζήλους-] *Lactucæ quæ in altum non creſcunt.* Noſtro *ſunt* φιαλωτὰ, *a ſimilitudine Phialæ, quæ latum habebat fundum.* Latinis *dicuntur* ſeſſiles Lactucæ, *ut* Martiali *Lib.* 3. “ *Utrumque porrum,* “ *ſeſſileſque lactucas.* (3) *Ita legend. cenſeo, in pr. Ed.* (*nullo cum ſenſu*) ἐπίχωσον. (4) *Ex MSS. ante,* ξενήσει .... προεσθίουσιν. (5) *MS.* V. *&* Interp. τύλην.

ΚΕΦ. ΙΔ.

Ὥστε θρίδακα ἔχειν ἐν ἑαυτῇ σέλινον, καὶ εὔζωμον, καὶ ὤκιμον, καὶ τὰ τοιαῦτα, ἀπὸ τῆς ῥίζης. Διδύμου.

Αἰγὸς ἢ προβάτου λαβὼν τὴν κόπρον, καίτοι μικρὰν οὖσαν, τρυπήσας, κένωσον εὐφυῶς, καὶ ἔνθες τὰ σπέρματα εἰς τὸ κενωθὲν πυκνῶς τῶν προειρημένων, ἢ ὧν βούλει σπερμάτων, καὶ εἰς βάθος μὴ ἔλαττον παλαιστῶν δύο κατάθου, (1) προϋποπάσας ἁπαλὴν κόπρον, καὶ ἀραιὰν διαθεὶς, ἔπειτα λεπτὴν γῆν (2) ἐπιχώσας ἄρδευε ἠρεμαίως ὕδατι, καὶ ἐκφυὲν τὸ σπέρμα κατάῤῥαινε, συνεχῶς ἐπιπάσσων κόπρον· καὶ ὅταν εἰς καυλὸν αὐξηθῇ, ἐπιμελοῦ πολλῷ μᾶλλον, καὶ ἔσται θρίδαξ τῶν συνεμβληθέντων σπερμάτων συμφυής. Οἱ δὲ συνθλῶντες δύο ἢ τριῶν αἰγῶν ἢ προβάτων κόπρον, τοὺς καλουμένους (3) σπυράθους, καὶ ἀναμίξαντες αὐτοῖς τὰ σπέρματα εἰς ὀθόνιον ἐμβάλλουσι, καὶ καταδήσαντες κατορύττουσι, καὶ τὴν ἄλλην ποιήσαντες ἐπιμέλειαν, ἔχουσι τὴν θρίδακα πολυειδῆ.

CAP. XIV.

Ut lactuca in ſe habeat apium, & erucam, & ocimum, & alia hujus generis, ab eadem radice. Didymi.

Caprinum aut ovillum ſtercus, quantumvis parvum ſit, perforato, & probe evacuato, ſeminaque dicta, aut quæcunque velis, in evacuatam partem ſpiſſe intrudito, & in profunditatem non minorem duobus palmis deponito, ſtercore tenero ac raro ante ſubſtrato, deinde tenui terra aggeſta ſenſim aqua rigato, atque etiam ubi enatum fuerit ſemen irrorato, aſſidue ſtercus inſpergens: & poſtquam in caulem excreverit, multo plus diligentiæ adhibeto, naſceturque lactuca cum injectis ſimul ſeminibus concreſcens. Alii duas aut tres caprini aut ovilli ſtercoris pilulas contundunt, & ſemina ipſis admiſcent, eaque ſimul in linteolum mittunt, & colligata defodiunt, aliaque item cura adhibita, lactucam multiplicem & variarum ſpecierum habent.

(1) *Ita* Caſaub. *prius* προϋποτάσσας. (2) *Ita MSS. ante,* ὑποχώσας ... ἐκφυὸν——. (3) *Reſtit. ex* Polluce, *antea, ut & in MSS.* πυράθους.

ΚΕΦ. ΙΕ.

Περὶ σεύτλων, καὶ πῶς ἐστιν αὐτὰ μεγάλα ποιῆσαι. Σωτίωνος.

Εἰ θέλεις μείζονα καὶ λευκότερα ποιῆσαι (a) τὰ σεῦτλα, τὰς ῥίζας αὐτῶν βολβίτῳ νεαρῷ ἐπί-

CAP. XV.

De betis, & quomodo magnæ fieri poſſint. Sotionis.

Si majores & magis albas facere betas velis, radices ipſarum fimo bubulo recenti intege, &, quem-

(a) Τὰ σεῦτλα-] *De Betarum generibus & facultat. vide* Dioſcoridem *Lib.* 2. *Cap.* 149. Plin. *Tom.* 3. *p.* 604. *&* Athenæum, *p.* 671. *Qui tradit, Anguillas betis involutas* Vett. *in deliciis fuiſſe.*

admodum

admodum in porris, germen finde, & lapidem latum aut teſtam impone. Betæ, cum exterſoriæ facultatis ſint, ventrem emolliunt, fervefactæ & cum oleo & garo ac modico nitro comeſtæ. Succus crudarum betarum furfures & in capite repentes pediculos curare poteſt. Idem permixtus cum cera, & liquefactus, ac panniculo exceptus, omnia dura & tumentia impoſitus curat. impetiginem itemque alopecias eodem modo ſanat.

πλάσσε, καὶ, ὥσπερ ἐπὶ τῶν πράσων, σχίσας τὸν βλαστὸν, λίθον πλατὺν ἢ ὄστρακον ἐπίθες. τὰ σεῦτλα σμηκτικῆς ὄντα δυνάμεως γαστέρα ἐκμαλάσσειν πέφυκεν, ἀπὸ ζέματος μετὰ ἐλαίου καὶ γάρου καὶ ὀλίγου νίτρου ἐσθιόμενα. Ὁ δὲ χυλὸς τῶν ὠμῶν σεύτλων τὰ πίτυρα καὶ ἑρπετὰ τὰ ἐν τῇ κεφαλῇ γινόμενα θεραπεύειν δύναται. μιγνύμενος δὲ ὁ χυλὸς τοῦ σεύτλου ἅμα κηρῷ, καὶ λυόμενος, καὶ μετὰ (b) πανίου ἐπιτιθέμενος, πάντα σκληρὰ καὶ οἰδαίνοντα πάθη θεραπεύει. ἀλφοὺς δὲ καὶ ἀλωπεκίας ὁμοίως ἰᾶται.

(b) *Vid. Notam ad Cap. I. Lib. VIII.*

CAP. XVI.

De diverſis oleribus, & medela ex eiſdem. Varronis.

REmediorum ſpecies paulo ante, cum ſapientiſſimi Neſtoris Ἀλεξίκηπον hexametris & elegiacis verſibus compoſitum interpretarer, abſolutius conſcripſi. & tamen, quum etiam hic diverſorum olerum mentio fiat, neceſſarium duxi, præſertim in agricolarum uſum, itidem ex ipſis remedia ac medelas adſcribere.

ΚΕΦ. Ιϛ.

Περὶ διαφόρων λαχάνων, καὶ τῆς ἐξ αὐτῶν θεραπείας. (1) Βάρωνος.

ΘΕραπείας ἤδη πρώην, ἑρμηνεύων τὰ ἐν τῷ Ἀλεξικήπῳ τοῦ σοφωτάτου Νέστορος ἔπη καὶ ἐλεγεῖα, τελεώτερον συνέγραψα. κἀνταῦθα δὲ μνήμην ποιούμενος διαφόρων λαχάνων, ἀναγκαῖον ᾠήθην, μάλιστα διὰ τὴν τῶν γεωργῶν χρείαν, καὶ τὰς ἐξ αὐτῶν συνθεῖναι θεραπείας.

(1) *Ita* Interp. *MSS.* V.L. *&* Bod. *prius* Μάρωνος. *Suſpectus autem mihi eſt hic titulus, ob diſcrepantem* Varronis *&* Neſtoris *ætatem, cum* Hic *ſub* Alex. Severo (*ſi* Suidæ *fides*) *ſcripſerit,* Ille *autem quam longe vetuſtior ſit, vel pueri norunt: Niſi placeat, hunc titulum ad* Varronem *quendam incertæ & ſequioris ætatis referri.*

CAP. XVII.

De braſſica, & medela ex eadem. Paxami.

NOſſe expedit, quod braſſica in ſalſo loco ſerenda eſt. Quapropter, dum foliorum trium erit, nitrum tritum aut ſalſam terram

ΚΕΦ. ΙΖ.

Περὶ κράμβης, καὶ τῆς ἐξ αὐτῆς θεραπείας. Παξάμου.

ΕΙδέναι δὲ χρὴ, ὅτι τὴν κράμβην ἐν ἁλμυρῷ τόπῳ σπείρειν προσήκει. διὸ χρὴ τριφύλλῳ ταύτῃ γινομένῃ νίτρον λεῖον ἢ ἁλμυρώδη γῆν

διὰ

διὰ κοσκίνου καταπασθεῖσαν πάσσειν, ὡς δοκεῖν αὐτὴν πεπαχνῶσθαι. τούτῳ γὰρ τῷ τρόπῳ καὶ εὐψανωτέρα γίνεται. τινὲς δὲ ἀντὶ τοῦ νίτρου τῇ τέφρᾳ χρῶνται, (1) διὰ τὸ καὶ τὰς κάμπας ἀνελεῖν. κράμβη δὲ ἔλαττον ἑψηθεῖσα, καὶ ἐσθιομένη, λύει γαστέρα, ἐπὶ πλέον δὲ ἑψηθεῖσα, ἐπέχει. Μάθε δὲ καὶ τὰς ἀπὸ τῆς κράμβης θεραπείας. ἡ κράμβη ἐστὶ γυναιξὶν ἐμμηνίων ἐπαγωγὸς, καὶ μάλιστα, εἴ γε τὸ ζέμα αὐτῆς μετὰ γλυκέος πίνοιτο οἴνου. ἑφθὴ δὲ προεσθιομένη φθισικοὺς θεραπεύει. εἴ τις κράμβην δὲ ἑψήσας καὶ λειώσας, καὶ ἀναμίξας ταύτην τῷ ὕδατι ἐν ᾧ (2) ἑψήθη, καὶ ψύξας, χρίσῃ τραύματα νέα, καὶ χρόνια, καὶ οἰδήματα, πραΰνει. ποδάγραν, (3) ἀρθρῖτιν ἰᾶται τῷ ζέματι καταντλουμένη, καὶ ἀναμιγεῖσα ἀλεύροις κριθίνοις, καὶ κοριάνῳ, καὶ πηγάνῳ, καὶ ἁλσὶν ὀλίγοις, καὶ (4) ἐπιτιθεμένη. Μέλιτι δὲ Ἀττικῷ ὁ χυλὸς αὐτῆς μιχθεὶς ὀφθαλμοὺς ὠφελεῖ, τοῖς κανθοῖς προσαγόμενος. τρόφιμος δέ ἐστιν ἐπὶ τοσοῦτον, ὥστε αὔξεσθαι τὰ παιδία ταχύτερον κράμβην ἐσθίοντα. καὶ βωλίτας δὲ φαύλους εἴ τις φάγοι, πίνων τὸν χυλὸν αὐτῆς σωθήσεται. Ἰκτερικοὺς δὲ καὶ σπληνικοὺς, ἐπὶ ἡμέρας μ'. μετ' οἴνου λευκοῦ πινόμενος, ὁ χυλὸς αὐτῆς θεραπεύει. μετὰ οἴνου μέλανος πινόμενος βῆχα παύει. λειχῆνα δὲ ἐξαιρεῖ τὰ φύλλα προστριβόμενα, καὶ δήγματα ἑρπετῶν εὐθέως ἐπιτιθέντα ἰᾶται. Ψώραν καὶ λέπραν κράμβη ἀναμιχθεῖσα (a) στυπτηρίᾳ τῇ στρογγύλῃ ὄξει διαβραχείσῃ θεραπεύει. ἡ δὲ ἐκ τῶν ῥιζῶν αὐτῆς τέφρα

cribro excuſſam adſpergere oportet, ut quaſi pruina conſperſa videatur. Hoc enim modo etiam coctu facilior redditur. Quidam pro nitro utuntur cinere, propterea quod etiam erucas necet. Braſſica minus cocta & comeſta ventrem ſolvit, plus autem cocta ventrem ſiſtit. Diſce autem & ex braſſica medicinas. Deducit braſſica mulieribus menſes, & maxime, ſi decoctum ejus cum dulci vino bibatur. Cocta autem præſumpta phthiſicos curat. Si quis braſſicam coctam & tritam, & cum aqua in qua cocta eſt permixtam ac refrigeratam, vulneribus tum novis tum veteribus inducat, itemque tumoribus, inde mitigantur. Podagram & morbum articularem ſanat decocti ejus fomentum, ipſa vero farinæ hordeaceæ, & coriandro, & rutæ, admixta, modicoque adjecto ſale, & impoſita, idem efficit. Succus ejus melli Attico permixtus oculis prodeſt, angulis admotus. Alimentum autem corpori abunde præbet, adeo ut pueri braſſica veſcentes citius augeſcant. Qui boletos venenatos ederit, ſucco ejus poto ſervabitur. Ictericos & ſplenicos curat ſuccus, cum vino albo ad dies XL. potatus. Idem cum vino nigro potatus tuſſim tollit. Impetiginem tollunt folia affricta, & reptilium morſus ſtatim impoſita ſanant. Scabiem & lepram braſſica alumini rotundo in aceto macerato permixta ſanat. Cinis ex ra-

(1) Caſaub. *& MSS.* L. B. 1,2. καὶ διὰ τὸ τάς. (2) *Ex MS.* V. *&* Interp. *antea* ἑψηθῇ (3) *Emend. ex* Barocc. *prius* ἀρθρῖτιν ἰάσεται. (4) *Praeced. voculam* οὕτως *delevi, auctor. MSS.*

(a) Στυπτηρίᾳ τῇ στρογγύλῃ-] Plinius *de Alumine ex* Dioſcoride *Tom.* 5. *p.* 256. " *Inferioris eſt alterum generis; quod* στρογγύλον *vocant. Duæ ejus* " *ſpecies, fungoſum atque omni humore dilui facile: quod in totum dam-* " *natur. Melius pumicoſum, & foraminum fiſtulis ſpongiæ ſimile, rotun-* " *dumque natura, candido propius; cum quadam pinguitudine ſine arenis,* " *friabile; nec inficiens nigritia.*

dicibus

dicibus ambuſtis prodeſt. Ulcerationem in ore & tonſillis, & uvæ tumorem, ſuccus ejus cum oleo hauſtus, & diu detentus, tollit. Auribus prodeſt ſuccus cum vino fomenti loco admotus. Æſtuoſis in morbo trita & impoſita maximam lenitatem inducet. Cocta autem, & præſumpta per ſe, voci & arteriacis affectionibus medebitur. Unde & vocis exercendæ magiſtri hac utuntur. Muris aranei morſus, & canis tum rabidi, tum non rabioſi morſus, ſemen ipſius aut folia trita ſanant, ſi cum ſilphio & aceto trita imponantur. Datur ipſis etiam decoctum foliorum in potu, arefactorum prius ubi purgata ſunt, deinde coctorum. Splenem attenuat trita & impoſita. Cruda comeſta vigilias tollit, & in imaginationes incidere non ſinit. At vero Neſtor in *'Αλεξικήπῳ* ſuo, braſſicam Lycurgi lachrymam eſſe dicit. Quum enim Bacchus eum timens, inquit, mare ſubiiſſet, Lycurgus vero vite vinctus lachrymam emiſiſſet, ex lachryma braſſicam enatam eſſe dicit, & ob id antipathiam inter vitem & braſſicam manere. Nempe, ſi quando braſſica in arvis appropinquaverit viti, aut ſtatim tabeſcit, aut ſarmentum vitis tabefacit. Ob hanc autem inimicitiam inter ipſas, ſi contigerit a capitis deſtillatione uvam, aut columellam, in guttur laxari, crudæ braſſicæ ſuccus capiti impoſitus uvam retrahit in ſublimem oris partem. Si vero contingat vicinas plantari vitem ac braſſicam, ſarmentum vitis augeſcens, ubi jam braſſicæ appropinquaturum eſt, non amplius directe procedit, ſed retro vertitur, reminiſcens quodammodo mutuæ contrarietatis. Si-

τὰ κατακαύματα ὠφελεῖ. ἕλκωσιν δὲ τὴν ἐν στόματι καὶ παρισθμίοις, καὶ σταφυλῆς οἴδημα, ὁ χυλὸς αὐτῆς μετ' ἐλαίου ληφθεὶς, καὶ ἐπὶ πολὺ κατασχεθεὶς, παύει. ὦτα ὠφελεῖ ὁ χυλὸς μετ' οἴνου καταντλούμενος. Καυσουμένοις ἐν νόσῳ τριφθεῖσα καὶ ἐπιτεθεῖσα μεγίστην οἴσει παρηγορίαν. ἑψηθεῖσα δὲ, καὶ καθ' ἑαυτὴν προεσθιομένη, φωνὴν καὶ τὰς ἀρτηριακὰς διαθέσεις θεραπεύσει. ὅθεν καὶ οἱ φωνασκοὶ ταύτῃ κέχρηνται. μυγάλης δήγματα, κυνοδήκτους καὶ λυσσοδήκτους, τὸ σπέρμα αὐτῆς ἢ τὰ φύλλα ἰᾶται τετριμμένα, εἰ μετὰ σιλφίου καὶ ὄξους λειωθέντα ἐπιτεθείη. δίδοται δὲ αὐτοῖς καὶ τὸ ἀφέψημα τῶν φύλλων πιεῖν, καθαρθέντων πρότερον καὶ ξηρανθέντων, εἶτα ἑψηθέντων. Τήκει σπλῆνα λειωθεῖσα καὶ ἐπιτιθεμένη. ὠμὴ δὲ προβρωθεῖσα ἀγρυπνίαν παύει, καὶ περιπίπτειν φαντασίαις οὐκ ἐᾷ. Ὁ δὲ Νέστωρ ἐν τῷ Ἀλεξικήπῳ αὐτοῦ λέγει, τὴν κράμβην δάκρυον εἶναι τοῦ Λυκούργου. ἡνίκα γὰρ, φησὶν, ὁ Διόνυσος τοῦτον εὐλαβηθεὶς (5) ὑπὸ τὴν θάλασσαν ἔδυ, ὁ δὲ Λυκοῦργος ὑπὸ τῆς ἀμπέλου δεσμευθεὶς δάκρυον ἐπαφῆκεν, ἐκ τοῦ δακρύου λέγει φῦναι τὴν κράμβην, καὶ διὰ τοῦτο ἀντιπαθῶς ἔχειν πρὸς ἀλλήλας τὴν κράμβην καὶ τὴν ἄμπελον. ἀμέλει, εἴ ποτε κράμβη ἐν ἀρούραις προσπελάσει τῇ ἀμπέλῳ, ἢ μαραίνεται παραχρῆμα, ἢ μαραίνει τὸ κλῆμα. διὰ δὲ τὴν οὖσαν μεταξὺ αὐτῶν ἔχθραν, εἰ συμβῇ ὑπὸ ῥεύματος κεφαλῆς τὴν σταφυλὴν, ἤτοι κιονίδα, κατὰ τοῦ λαιμοῦ χαλασθῆναι, ὠμῆς κράμβης ὁ χυλὸς κατὰ κεφαλῆς ἐπιβαλλόμενος ἀνασπᾷ τὴν σταφυλὴν εἰς τὰ μετέωρα τοῦ στόματος. εἰ δὲ συμβῇ παραφυτεύεσθαι ἀλλήλαις ἄμπελον καὶ κράμβην, αὐξόμενον τὸ κλῆμα τῆς ἀμπέλου, ἐπειδὰν μέλλῃ πλησιάζειν τῇ κράμβῃ, οὐκέτι ἐπ' εὐθείας χωρεῖ, ἀλλ' (b) ἀναποδίζει, μεμνημένον τρόπον τινὰ τῆς πρὸς ἀλ-

(5) *In MSS.* ἐπί.

(b) 'Αναποδίζει,-] *Vitem braſſicam refugientem in Vinea ſua ſe vidiſſe* ait Pierius *Hieroglyph. p.* 619.

Z λήλας

ληλα ἀντιπαθείας. ὁμοίως δὲ ἄν τις ἑψομένῃ τῇ κράμβῃ (6) ἐπιψεκάσειεν ἐλαχίστου οἴνου, οὔτε ἑψεῖται λοιπὸν, καὶ ἡ χροιὰ αὐτῆς διαφθαρήσεται. καὶ ὅσοι βούλονται πολὺν οἶνον πίνειν, καὶ μὴ μεθύσκεσθαι, ὠμὴν κράμβην προεσθίουσιν. εἰδέναι δὲ χρὴ, ὅτι κράμβης σπέρμα παλαιούμενον (c) ῥάφανον φύσει.

militer ſi quis braſſicæ, dum coquitur, vini vel minimum inſtillet, non coquitur de cætero, & color ejus corrumpetur. Et qui multum vini bibere volunt, & non inebriari, crudam braſſicam præſumunt. Verum noſſe expedit, quod vetuſtum braſſicæ ſemen raphanum producet.

(6) *Reſtitui ex MSS. prius* ἐπιψεκάσειν.

(c) Ῥάφανον φύσει.] Pallad. *p.* 68. " *Semen braſſicæ vetuſtum mutatur in rapa. Et* Plinius, *totidem pene verbis,* " *Ex ſemine braſſicæ veteris rapa fiunt, atque invicem.*

ΚΕΦ. ΙΗ.

Περὶ ἀσπαράγου.

Διδύμου.

CAP. XVIII.

De aſparago.

Didymi.

Ἀσπάραγος χαίρει γῇ ἡπλωμένῃ. σπείρεται δὲ τῷ ἔαρι. ποιήσας οὖν βόθρους δακτύλων τριῶν, ἐντίθει καθ' ἕκαστον τοῦ σπέρματος κόκκους β'. ἢ γ'. ἀπεχέτωσαν οἱ βόθροι ἀπ' ἀλλήλων διάστημα σπιθαμιαῖον. σπαρέντα δὲ διὰ τοῦ πρώτου ἔτους μὴ ὀχλείσθω, πλὴν τοῦ βοτανισθῆναι. εἰ δὲ βούλει ἀσπάραγον πολὺν ποιῆσαι, (a) κριῶν ἀγρίων κέρατα εἰς λεπτὰ κόψας βάλλε εἰς τὰς πρασιὰς, καὶ ἄρδευε. τινὲς φασὶ παραδοξότερον, ὅτι εἰ ὁλόκληρα κριῶν κέρατα τρηθείη καὶ καταπηχθείη, οἴσει ἀσπάραγον. Εἰ δὲ θέλεις ἀσπάραγον διὰ παντὸς ἔχειν τοῦ ἐνιαυτοῦ, ὅταν τὸν καρπὸν λάβῃς,

Asparagus gaudet terra explanata. Seminatur autem vere. Scrobes itaque digitorum trium facito, & in ſingulis ſeminis grana duo aut tria ponito. Diſtent ſcrobes inter ſe ſpatio dodrantali. Seminati autem primo anno non moveantur, præterquam quod runcentur. Si velis aſparagum multum provenire, arietum ferorum cornua tenuiſſime contuſa ſulcis committe, & rigato. Quidam magis paradoxum tradunt, quod integra arietum cornua, ſi perforentur & pangantur, aſparagum producent. Si velis aſparagum per totum annum habere, quum fru-

(a) Κριῶν...κέρατα-] Plinius *Tom.* 3. *p.* 610. " *Invenio naſci, & arietis cornibus tuſis & defoſſis. Quod ceu incredibile improbat* Dioſcor. *Lib.* 2. *cap.* 152. *hiſce verbis,* Ἔνιοι δὲ ἱστόρησαν, ὅτι ἐάν τις κριοῦ κέρατα συγκόψας καταρύξῃ, φύεται ἀσπάραγος. Ἐμοὶ δὲ ἀπίθανον. Plinius *tradit, apud* Ravennates *aſparagos ad tantum magnitudinis inſtar emicare, ut tres libram pendant.* Athenæus *autem aſparagorum meminit in* Getulia *naſcentium, qui ad* Cypriæ *arundinis craſſitiem accedunt, & duodecim pedes aſſurgunt: amplius autem in montanis & maritimis locis ad ferulæ magnæ craſſitiem creſcere, & viginti cubitorum proceritatem. Vid.* Athen. *p.* 62. Catonem *ſub finem,* & Plin. *Tom.* 3. *p.* 609.

ctum recidis, ſtatim ſarrito radices in ſuperficie repentes. Sic enim tractata planta rurſus aſparagum emittet. Hoc olus non gaudet rigatione, ſed magis ſiccitate. Circa autumnum autem ſi quis iſta olera riget, teneriora & floridiora evadent.

εὐθὺς περίσκαλλε καὶ τὰς ἐπιπολῆς ῥίζας. ἐργασθὲν γὰρ οὕτω τὸ φυτὸν ἀναδώσει πάλιν ἀσπάραγον. τοῦτο δὲ τὸ λάχανον οὐ χαίρει τῇ ἀρδείᾳ, ἀλλὰ μᾶλλον τῇ ξηρότητι. περὶ δὲ τὸ φθινόπωρον ἐάν τις αὐτὰ ἀρδεύῃ, ἁπαλώτερα καὶ (1) εὐανθέστερα ποιήσει.

(1) *MS.* Barocc. εὐθαλέστερα.

CAP. XIX.

De cucurbitis & cucumeribus, & medela ex ipſis, & quomodo utraque ſine ſemine interno proveniant, & præcocia fieri queant.

Quintiliorum.

ΚΕΦ. ΙΘ.

Περὶ κολοκυνθῶν καὶ σικύων, καὶ τῆς ἐξ αὐτῶν θεραπείας, καὶ πῶς δυνατὸν ἑκάτερα μὴ ἔχειν ἔνδοθεν σπέρμα, καὶ πρώϊμα ποιῆσαι.

Τῶν Κυντιλίων.

NON habebunt ſemen internum, hoc modo. Sarmentum aut virgultum primum, mox ubi increverit, cucurbitæ, ſive cucumeris, in terram defodito, quemadmodum vitis ſarmenta ſolent, ut ſumma pars tantum virgulti emineat, &, poſtquam emicuerit, rurſus idem iterum ac tertio defodito, & ſurculos juxta medium & ſuper terram extantes ſecato, ſolumque poſtremum, tertium videlicet, relinquito, & habebis tum cucumeres, tum cucurbitas ſemine carentes. Similiter ſine ſemine eadem facies, ſi per triduum, antequam ſemines, ſemen ipſum oleo ſeſamino maceraveris. Præcoces cucumeres & cucurbitas ſic reddes. In cophinos aut in fictilia inutilia terram cribratam mitte, ſtercore admixto, liquidiorem factam, & anticipato conſueto tempore, videlicet ſub initium veris, ſemina plantato; & cum ſol fuerit & calor, & moderata pluvia, co-

ΟΥχ ἕξουσι σπέρμα ἔνδοθεν, οὕτω· τὴν εὐθὺς αὐξανομένην πρώτην κληματίδα, ἤτοι ἀκρέμονα τῆς κολοκύνθης, ἤτοι σικύου, κατόρυξον εἰς τὴν γῆν, ὥσπερ τὰ κλήματα τῆς ἀμπέλου, ἵνα τὸ ἄκρον μόνον ἐκκύψῃ τοῦ ἀκρέμονος. καὶ, ὅταν αὐξηθῇ, πάλιν ὁμοίως τοῦτο χῶσον ἐπὶ τρεῖς, καὶ τὰς διὰ μέσου καὶ ὑπὲρ γῆς ἐκφύσεις τέμνων, μόνον δὲ τὴν τελευταίαν, λέγω δὲ τὴν γ'. καταλείψας, ἕξεις ἄνευ σπέρματος καὶ κολοκύνθας καὶ σικύους. ὁμοίως (1) δὲ καὶ ἀσπέρμους σικύους καὶ κολοκύνθας ποιήσεις, εἰ τρεῖς ἡμέρας, πρὶν τὸ σπέρμα καταβαλεῖν, ἐναποβρέξῃς τοῦτο σησαμίνῳ ἐλαίῳ. Πρωΐμους δὲ σικύους καὶ κολοκύνθας ποιήσεις, οὕτως. εἰς κοφίνους ἢ ἐν κεραμίοις ἀχρήστοις βάλλε γῆν σεσησμένην κόπρῳ μεμιγμένην, ὑγροτέραν ποιήσας, καὶ προλαβὼν τὸν συνήθη καιρὸν, οἷον ἀρχομένου τοῦ ἔαρος, ἐμφύτευσον τὰ σπέρματα· καὶ ὅταν ἥλιος ᾖ καὶ θερμασία, καὶ ἡνίκα συμμέτρως βρέχει, τίθει τοὺς κοφίνους

(1) *Ita MSS. in pr. Ed.* δὲ ἀσπέρμους κολοκύνθας καὶ σικύας ποιήσεις.

ὑπαιθρίους, καὶ περὶ δυσμὰς ἡλίου εἰσκόμιζε τούτους εἰς οἶκον στεγνὸν, καὶ τοῦτο ποίει συνεχῶς, καταψεκάζων ὕδατι ἡνίκα ἡ χρεία καλεῖ. καὶ ὅταν τελείως παύσωνται οἱ πάγοι, κομίσας εἰς τόπον εἰργασμένον κατόρυξον τοὺς κοφίνους ἢ τοὺς (2) κεράμους ἰσοχείλους τῇ γῇ, καὶ προσάγε τὴν ἄλλην ἐπιμέλειαν. εἰ δὲ ἀφαιροίης αὐτῶν τοὺς ἀκρέμονας, ταχύτερον καρποφορήσουσι. Μακροὺς δὲ τούτους ποιήσεις, οὕτως. ἐὰν ἐν ἰγδίῳ ἢ τινι ἄλλῳ ἀγγείῳ ἐμβαλὼν ὕδωρ παραθῇς πλησίον αὐτῶν ἀπὸ ε΄. ἢ ς΄. δακτύλων. τῇ γὰρ ἑξῆς οἱ σίκυοι ἐπὶ τοσοῦτον ἐκταθήσονται. εἰ δὲ ὕδωρ μὴ ἔχῃ τὸ ἰγδίον, ὑποστρέψουσιν οἱ σίκυοι, καὶ ὑποκαμφθήσονται. οὕτως ὑγρότητι μὲν χαίρουσι, ξηρότητα δὲ φεύγουσι. μετασχηματισθήσεται δὲ εἰς ὃ θέλεις σχῆμα, ἐὰν ποιήσῃς ὀστράκινα ἀγγεῖα, καὶ ἔτι μικροῖς οὖσι περιθῇς καὶ δήσῃς. πληρώσουσι γὰρ τοὺς τύπους καὶ τοὺς χαρακτῆρας. ὅθεν καὶ (a) κάλαμον εἰς μῆκος τεμὼν, καὶ γλύψας καὶ συνθεὶς καὶ περισφίγξας ἐν τούτῳ τὸν σίκυον, ἢ τὴν κολόκυνθαν μικρὰν οὖσαν ἐὰν βάλῃς, αὐξανομένη δι' ὅλου τοῦ μήκους πληρώσει τὸν κάλαμον. Αἱ δὲ κολόκυνθαι γαστρός εἰσι μαλακτικαί. θεραπεύουσιν (b) ὤτων (3) ὀδύνας, τοῦ χυλοῦ αὐτῶν ἐμβαλλομένου εἰς τὰ ὦτα. (c) Τῶν δὲ σικύων τὸ σπέρμα οὔρων δριμέων (4) ἐστὶ κατακεραστικὸν

phinos ſub dio expone, circaque ſolis occaſum eos in domum contectam infer, atque hoc aſſidue fac, aquam irrorans quando uſus poſtularit. Poſtquam vero perfecte ceſſaverint frigus & gelu, cophinos, ſive dolia, in locum ſubactum & excultum deportatos defodi, ita ut labra æqualia ſint terræ, & deinde reliquam curam adhibeto. Si vero ſuſtuleris ipſorum virgulta, citius fructum producent. Longos autem cucumeres facies, hoc modo. Si in mortario aut alio quopiam vaſe aquam prope ipſos appoſueris, ad diſtantiam quinque aut ſex digitorum. Sequenti enim die cucumeres tantum extendentur. Si vero aquam non habeat mortarium, cucumeres & retrocedent, & reflectentur. Tantum enim gaudent humiditate, & fugiunt ſiccitatem. Transfigurabuntur autem in quamcumque velis figuram, ſi fictilia feceris vaſa, eaque parvis adhuc circumpoſueris & obligaveris. formas enim & characteres implebunt. Quare & arundine in longum ſecta, excavataque & commiſſa ac coarctata, ſi in eam cucumerem aut cucurbitam, dum adhuc parva eſt, immiſeris, augeſcens per omnem longitudinem arundinem explebit. Cæterum cucurbitæ ventrem emolliunt. Aurium dolores curant, ſucco ipſarum auribus immiſſo. Verum cucumerum ſemen urinas acres

(2) *Ex MSS. ante* κεραμείους.

(a) Κάλαμον ..... γλύψας-] *Eadem* Palladius *docet, ex* Gargilio Martiale: " *Aliqui florem cucumeris cum viticulæ ſuæ capite cannæ inſerunt,* " *cui prius omnes nodos perforaverint: ibi cucumis naſcetur in nimiam* " *longitudinem tenſus.*

(b) Ὤτων ὀδύνας-] Dioſcor. *Lib.* 2. *cap.* 162. Ὁ δὲ χυλὸς τῶν ξυσμάτων θλιβέντων πρὸς ὠταλγίας καθ' ἑαυτὸν καὶ μετὰ ῥοδίνου ἐγχυματιζόμενος ὠφελεῖ.

(3) *Emend. ex MSS. prius* ὠδίνας .... ἐμβαλλομένων ἐν αὐτοῖς.

(c) Τῶν δὲ σικύων-] *Cucumeres* Græcis *inferioris ætatis* ἀγγούρια *&* πετράγγουρα *vocantur, ita* Symeon Sethi, *p.* 4. Ἀγγούρια. τὰ λεγόμενα σίκυα, κατὰ κοινὴν δὲ πετράγγουρα.

(4) *Ita MSS. antea* ἐπικατακερ.

origani

temperat & ciet. Non lædentur a pulicibus, ſi origani ramulos, cum parvi adhuc ſint, prope defixeris. Nam & præſentes pulices perdunt, & alios naſci non ſinunt. Si vero infanti febricitanti, qui adhuc lacte nutritur, paris longitudinis cucumeres dormienti appoſueris, ſtatim ſanabitur. Omnis enim calor in cucumeres tranſibit. At vero ſylveſtris cucumeris radix ſiccata & tuſa, & cum vino dulci potata, aut cum aqua mulſa, ad vomitus mirabile remedium habetur. Quod ſi cucumeres minus aquoſos habere libeat, ubi ſcrobem foderis, in qua cucumeres plantaturus es, dimidiam paleis aut ſarmentis exple, & aggeſta terra planta, nec riga. Verum ventri ſolvendo aptos aliqui hoc modo faciunt. Radices ſylveſtris cucumeris contuſas aqua potabili per biduum aut triduum macerant, & hoc ipſo cremore eos per dies quinque rigant, atque hoc quinquies faciunt. Plus autem alvo ſolvendæ apti fiunt, ſi, poſtquam germinaverint, radices circumfoderis, & veratri portionem ramulis injeceris, & aggeſta terra ſiveris. Cucumeres in vini albi fæcem dulcem & non perverſam immitte, & vas expletum obline, manebuntque recentes. Similiter & in muria compoſiti permanebunt. Vigorem conſervabunt cucumeres, ſi in vaſculo parum aceti habente ſuſpendantur, ita ut acetum non contingant, & vas oblinatur, ut non tranſpirent, & hoc modo etiam hyeme recentes habebis. Cucurbitas autem ſic ſervabis. Teneras decerptas concide, deinde aquam fervefactam affunde, & per totam noctem ſub dio perfrigera, indeque in muria acri compone, & diu permanebunt. Cucurbitas autem purgatorias facies, ſi ſemen noctem ac

καὶ ἀγωγόν. οὐ βλαβήσεται ταῦτα ὑπὸ ψυλλῶν, ἐὰν κλωνάρια ὀριγάνου μικρὰ ἔτι ὄντα τούτοις παραπήξῃς. τάς τε γὰρ οὔσας ψύλλας φθείρει, καὶ ἄλλας οὐκ ἐᾷ γενέσθαι. Ἐὰν δὲ παιδίῳ ἐν γάλακτι τρεφομένῳ πυρέσσοντι σικύους ἰσομήκεις (5) παρακοιμίσῃς, εὐθέως ἰαθήσεται. εἰς γὰρ τοὺς σικύους ἕλκονται πᾶσαι αἱ θέρμαι. Ἡ δὲ τοῦ ἀγρίου σικύου ῥίζα ξηρανθεῖσα καὶ κοπεῖσα, καὶ μετὰ οἴνου γλυκέος πινομένη, ἢ μετὰ ὑδρομέλιτος, πρὸς ἐμέτους θαυμαστόν ἐστι βοήθημα. ἐὰν δὲ θέλῃς ἀνύδρους σικύους ἔχειν, ἡνίκα ὀρύξῃς τὴν τάφρον, ἐν ᾗ μέλλεις φυτεύειν αὐτοὺς, ἀχύρων ἢ φρυγάνων πλῆσον τὸ ἥμισυ τοῦ βάθους, καὶ τὴν γῆν ἐπιβαλὼν φύτευε, μὴ ποτίζων. Εὐκοιλίους δὲ ἔνιοι ποιοῦσιν αὐτοὺς, οὕτω· ῥίζας τοῦ ἀγρίου σικύου συνθλάσαντες βρέχουσιν ὕδατι ποτίμῳ δύο ἢ τρεῖς ἡμέρας, καὶ τῷ ἀποβρέγματι δι' ἡμερῶν ποτίζουσι ε'. καὶ τοῦτο ποιοῦσι πεντάκις. πλέον δὲ γίνονται εὐκοίλιοι, ἐὰν, μετὰ τὸ βλαστῆσαι, τὰς ῥίζας περιορύξας τοῖς κλωνίοις ἐπιβάλῃς ἐλλεβόρου μέρος, καὶ προσχώσας ἐάσῃς. τοὺς σικύους ἔμβαλλε εἰς τρυγίαν ἡδεῖαν καὶ μὴ τραπεῖσαν οἴνου λευκοῦ, καὶ πληρώσας τὸ ἀγγεῖον κατάχριε, καὶ μένουσι νεαροί. ὁμοίως δὲ καὶ ἐν ἅλμῃ συντιθέμενοι διαμένουσι. Ἀκμαίους τοὺς σικύους φυλάξεις, ἐὰν ἐν ἀγγείῳ ὄξος ὀλίγον ἔχοντι κρεμάσῃς, μὴ ἁπτομένους τοῦ ὄξους, καὶ καταχρίσῃς, ὅπως μὴ διαπνεύσῃ, καὶ ἕξεις τούτους νεαροὺς ἐν τῷ χειμῶνι. Τὰς δὲ κολοκύνθας φυλάξεις, οὕτω. λαβὼν ταύτας ἁπαλὰς κατάτεμνε, εἶτα ὕδωρ ζέσας κατάχεε, καὶ δι' ὅλης νυκτὸς ὑπαιθρίους διαψύξας ἐν ἅλμῃ δριμείᾳ σύνθες, καὶ διαμένουσιν ἐπὶ πολύ. τὰς δὲ κολοκύνθας καθαρτικὰς ποιήσεις, ἐὰν τὸ

(5) *Ex MS.* Bar. *&* Interp. *pr. Ed.* παρακοιμίσεις.

σπέρμα νυχθήμερον (d) σκαμμωνίᾳ ἐμβρέξῃς. μεγάλους σικύους καὶ κολοκύνθας ποιήσεις, τὸ σπέρμα αὐτῶν ἐπὶ κεφαλὴν φυτεύων.

diem in ſcammonia maceraveris. Magnos cucumeres facies, itemque cucurbitas, ſemine ipſorum inverſo & plantato.

(d) Σκαμμωνίᾳ-] *Scammonium ſuccus eſt ex radice cujuſdam herbæ ex convolvulorum genere, foliis hederæ vel helxinæ ſimilibus, triangularibus, albis. Colligitur autem,* τῆς κεφαλῆς (Dioſcor. verba) ἀπὸ τῆς ῥίζης ἀφαιρουμένης, καὶ θολοειδῶς τεμνομένης εἰς κοιλότητα· συῤῥεῖ γὰρ εἰς αὐτὴν ὁ ὀπὸς, καὶ οὕτως ἀναλαμβάνεται εἰς μύακας. Ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες θολοειδῶς, καὶ καρύας φύλλα ὑποτιθέντες, καταχέουσι τὸν ὀπὸν, καὶ οὕτω ξηρανθέντα ἀναιροῦνται. i. e. *Capite exempto, radix ita cultro excavatur, ut excavatio ſenſim a latiore orbe in acutum deſinat; proindeque in id cavum confluit ſuccus, qui conchis demum excipitur. Alii, poſtquam ſcrobes in terra concamerato ſinu effoderunt, juglandum folia inſternunt, in qua radicis inciſæ ſuccus diffundatur, eumque inibi ſiccatum tandem tollunt.* Græci *recentiores* Ἀσκαμμωνίαν *vocant. In Lexico* Nicomedis Iatroſophiſtæ, Δακρύδιον· ἡ ἀσκαμμωνία. Nicandro, δάκρυ κάμμωνος. *Apud* Iſidorum; "*Scamonia, quam Latini acridium vocant. Inde* diacridium, *vel* diagridium, *quod ex Scammoniæ ſucco paratur.* Veteribus *potiſſimum laudatur Scammonium* Colophonium, Prienenſe, *&* Myſium *ex* Aſia: *damnatur autem* Syriacum *&* Judaicum, *utpote adulteratum tithymalli ſucco, & ervi farina. Vide* Dioſc. *Lib.* 4. *Cap.* 171.

ΚΕΦ. Κ.

Περὶ (1) μηλοπεπόνων. Φλωρεντίνου.

ΕΜψύχουσι μὲν ἱκανῶς, χρησιμώτατοι δέ εἰσι πρὸς τὸ εὐκαίρως ἐμεῖν τὸν βουλόμενον. μετὰ γὰρ τὰ σιτία (2) κενοῦσι φλέγμα, πλεῖστον ἐξάγοντες, καὶ κεφαλὴν καθαίροντες. τοὺς δὲ μηλοπέπονας ποιήσεις (a) ῥόδα πνεῖν, ἐὰν τὸ σπέρμα αὐτῶν μετὰ ξηρῶν ῥόδων ἀποθέμενος, καὶ φυράσας φυτεύσῃς. δύνανται δὲ καὶ δίψαν τὴν ἀπὸ καύσωνος καταπαύειν. Πάντας δὲ καὶ τοὺς ἀπὸ (3) σικυηλάτου καρποὺς γλυ-

CAP. XX.

De melopeponibus. Florentini.

REfrigerant quidem abunde; verum utiliſſimi ſunt ad vomitum opportune volenti ciendum. Poſt ſumptum enim cibum pituitam evacuant, plurimum ejus educentes, & caput purgantes. Cæterum melopepones roſarum fragrantiam ſpirare facies, ſi ſemen ipſorum cum roſis aridis repoſueris, & mixta plantaveris. Poſſunt autem ſitim febris ardentis extinguere.

(1) *Scribitur* Μελοπεπ. *in MS.* Barocc. *& a* Salmaſio *in* Solin. *cujus hæc ſunt verba;* "*Sane* μελοπέπονας *ſcribunt Libri opt. in Geoponicis, non* μηλοπέπονας, *tanquam nomen habeant a melle, non a malis. Conſulas* Eundem *de* Homon. Hy. Iatr. *Cap. XXXV.* (2) *Reſtitui ex MSS.* F. L. Bar. *&* Bod. *prius* κινοῦσι.

(a) Ῥόδα πνεῖν-] *Vid. etiam* Palladium, *p.* 88.

(3) *Emend. ex MS.* Barocc. *antea peſſime* σικελάτου.

Omnes

Omnes porro cucumeres dulces efficies, ſi ſemen ipſorum lacte & melle maceraveris, & ſiccatum ſeminaveris. Si vero ſempervivi herbæ ſucco ſemina cucumerum irroraveris, illæſa ipſa ſervabis. Mulier menſtruis laborans cucumerum plantas, & loca in quibus conſiti ſunt, ne accedat. Tabefacit enim fructus, & qui naſcuntur amari erunt.

κεῖς ποιήσεις, ἐὰν τὸ σπέρμα αὐτῶν γάλακτι καὶ μέλιτι βρέξῃς, καὶ ἀναψυχθὲν σπείρῃς. ἐὰν δὲ ἀειζώου βοτάνης τῷ χυλῷ διαβρέξῃς τῶν σικυηλάτων τὰ σπέρματα, ἀβλαβῆ ταῦτα φυλάξεις. γυνὴ ἔμμηνος μὴ εἰσιέτω εἰς σικυήλατα. μαραίνει γὰρ τοὺς καρποὺς, καὶ τὰ φυόμενα πικρὰ ἔσται.

CAP. XXI.

De rapo, ejuſque ſemine. Ejuſdem.

RApum nulli humano morbo curando commodum eſt, verum animalium contuſiones curare poteſt, ungulis ſuppoſitum, & revinctum. At vero ſemen rapi poſt annos tres braſſicam producit, & vice verſa.

ΚΕΦ. ΚΑ.

Περὶ γογγύλης, καὶ τοῦ ταύτης σπέρματος. Τοῦ Αὐτοῦ.

Ἡ Γογγύλη περὶ τὸ θεραπεύειν πάθος ἀνθρώπων οὐκ ἀγαθή· τῶν δὲ ζώων τὰ θλάσματα θεραπεύειν δύναται, ὑποτιθεμένη ταῖς ὁπλαῖς, καὶ καταδεσμευομένη. τὸ δὲ σπέρμα τῆς γογγύλης μετὰ ἔτη γ΄. κράμβην φέρει, καὶ ἀνάπαλιν.

CAP. XXII.

De raphanis. Ejuſdem.

RAphani dulces erunt, quorum ſemen vino mulſo aut uvarum paſſarum ſucco fuerit maceratum. pituitoſis proſunt; nephriticis medentur, maxime, ſi quis externam ipſorum partem cum vino coctam jejunus ſub diluculum comedat. At vero cum melle comeſti tuſſes ſanant: & ſemen ipſorum torrefactum, ac cum melle exceptum, ſimiliter tuſſim & ſpirandi difficultatem tollit. Puerperis dati lactis copiam præbent; ad venerem incitant, & vocem lædunt. Si quis jejunus ipſos ſumat, ſecurus erit

ΚΕΦ. ΚΒ.

Περὶ ῥαφανίδων. Τοῦ Αὐτοῦ.

Ῥαφανίδες γλυκεῖαι ἔσονται, ὧν ἂν τὸ σπέρμα οἰνομέλιτι ἢ χυλῷ σταφίδων διαβραχῇ. φλεγματικοῖς χρήσιμοι, θεραπεύουσι καὶ νεφριτικοὺς, μάλιστα, εἰ τὸ ἔξωθέν τις αὐτῶν μετὰ οἴνου καθεψήσας νῆστις ὑπὸ τὸν ὄρθρον λαμβάνοι. μετὰ δὲ μέλιτος ἐσθιόμεναι βῆχας ἰῶνται· καὶ τὸ σπέρμα αὐτῶν φρυχθὲν, καὶ μετὰ μέλιτος ληφθὲν, ὁμοίως παύει βῆχα καὶ δύσπνοιαν. λεχοῖς δοθεῖσαι παρέχουσι πλῆθος γάλακτος, πρὸς ἀφροδίσια ἐγείρουσι, (a) φωνὴν βλάπτουσιν. εἰ δέ τις νῆστις αὐτῶν λαμβάνει, ἀσφαλὴς ἔσται εἰς τὸ μὴ βλάπτεσθαι ὑπὸ φαρ-

(a) Φωνὴν βλάπτουσιν.] Plinius *Tom.* 4. *p.* 13. " *Democritus venerem hoc* " *cibo ſtimulari putat, ob id fortaſſis voci nocere aliqui tradiderunt.*

μυκήτων. Ὁ χυλὸς αὐτῶν ἐν ὕδατι λαμβανόμενος ἀντιπαθής ἐστι βωλίταις καὶ δηλητηρίοις. εἰ δέ τις (b) χυλῷ ῥαφανῖδος ἐπιμελῶς τὰς χεῖρας ἑαυτοῦ χρίσῃ καὶ τρίψῃ, ἀφόβως καὶ ἀκινδύνως ἑρπετῶν ἐπιλήψεται. σκορπίοις ἐπιτεθεῖσαι παραχρῆμα αὐτοὺς διαχρῶνται. ὕδερον ἰῶνται ἐξ ὕδατος λαμβανόμεναι, καὶ σπλῆνα λεπτύνουσιν. ἴκτερον ὁ χυλὸς αὐτῶν πρὸ βαλανείου ἐν οἴνῳ γλυκεῖ πινόμενος θεραπεύει. Καθαίρουσι τὴν ἄνω κοιλίαν, εἰ λαβών τις αὐτὰς μετὰ μέλιτος, ἐπισχὼν μικρὸν ἐξεμέσειε. καὶ γὰρ πρὸς ἔμετόν εἰσιν ἐπιτήδειαι, καὶ τὰς ὀρέξεις τῶν ἀνορέκτων ἐγείρουσι. (1) τεταρταῖον δὲ ἀπαλλάττουσιν, εἰ συνεχῶς τις αὐτὰς λαμβάνων ἐξεμοίη. Ἐὰν ἔν τινι τόπῳ συμβῇ τὸ ὕδωρ φαῦλον εἶναι, ὑγιεινότερον γίνεται μᾶλλον, εἰ ῥαφανῖσι συνεψηθείη. μόνοις δὲ ὀδοῦσι λυμαίνεται. (c) αἷμα πτύουσιν ἑψηθεῖσαι χρήσιμον ἔδεσμα. εἰ δέ τις προφαγὼν ῥαφανῖδα πληγὴν ἀπὸ σκορπίου δέξηται, οὐ μόνον οὐ τελευτήσει, ἀλλὰ καὶ ταχείας τῆς ἰάσεως τεύξεται. ἡ δὲ ῥαφανὶς λειωθεῖσα, καὶ ἐπιτιθεμένη τοῖς πληγὰς βασάνων δεξαμένοις, τοὺς μώλωπας τάχιστα θεραπεύσει. ἀποσμήχει καὶ φακοὺς, καὶ ἀλωπεκίας δασύνει· τελευταία δὲ ἐσθιομένη πνεύματος ἀποκάθαρσιν ποιεῖται.

ne a venenis lædatur. Succus ipſorum in aqua hauſtus ad boletos & venena prodeſt. Si vero raphani ſucco quis manus ſuas probe illinat ac confricet, intrepide & citra periculum reptilia ac ſerpentes apprehendet. Scorpiis impoſiti raphani eveſtigio ipſos interficiunt. Aquam intercutem ſanant ex aqua ſumpti, & ſplenem attenuant. Morbum regium ſuccus ipſorum ante balneum in vino dulci potatus ſanat. Purgant ſupernum ventrem, ſi quis exceptos cum melle, & pauliſper retentos, revomat. Etenim ad ciendum vomitum commodi ſunt, & excitant appetentiam in his qui cibum averſantur. A quartana liberant, ſi quis ipſos frequenter ſumptos evomat. Si in aliquo loco contingat aquam vitioſam eſſe, ſalubrior fit, ſi raphani in ipſa coquantur. Solos autem dentes corrumpunt. Sanguinem ſpuentibus cocti utile edulium ſunt. Si vero quis præſumpto raphano a ſcorpio ictus ſit, non ſolum non morietur, ſed etiam cito convaleſcet. Tritus autem & impoſitus his, qui tormentorum plagas ſuſtinuerunt, vibices omnes quam celerrime ſanabit. Detergit etiam lentigines, & alopecias denſas reddit: A reliquo autem cibo ſumptus ſpiritum repurgat.

(b) Χυλῷ ῥαφανῖδος-] Idem *Tom. cit. p.* 12. " *Ceraſtis & ſcorpionibus " adverſatur: vel ipſo, vel ſemine infectis manibus impune tractabis: im- " poſitoque raphano ſcorpiones moriuntur.*

(1) *Ita MSS.* V. F. L. *&* Bod. *In* Bar. τεταρταίου. *Prius* τεταρταίων.

(c) Αἷμα πτύουσιν-] Medius *ad hæc & ſanguinem exſcreantibus coctos " dari jubet: & puerperis, ad lactis copiam augendam.*

CAP. XXIII.

De apio. Ejuſdem.

MAgnum evadet apium, ſi ſeminis ejus quantum tribus digitis apprehendi poteſt panniculo vetuſto illigaveris, deinde ſtercore inteʹctum ſtatim rigaveris. Similiter maximum erit apium, ſi circumfoſſis radicibus paleas adjeceris, & rigaveris. Criſpum autem erit apium, ſi ſemen ejus, priuſquam plantetur, in pila leniter tundatur atque cylindrus ipſi inducatur. Apium in cibo acceptum ad venerem procliviores fœminas facit, quare non permittendum lactantibus ut apium edant, præſertim quia lac cohibet. Odoris autem jucunditatem ori conciliat. Quapropter qui oris graveolentiam habent, ejus eſu fœtorem tollunt. Eas etiam quæ in ſcenis verſantur hoc comedere aiunt, quo ora ipſorum odoratiora fiant. Cæterum cum pane cataplaſmatis vice impoſitum apium eryſipelas ſanat, & decoctum ejus in inſeſſum ac fotum affuſum lapides ejicit, & urinam ciet, ac renes ſanat.

ΚΕΦ. ΚΓ.

Περὶ σελίνων. Τοῦ Αὐτοῦ.

ΜΕγάλα ἔσται σέλινα, ἐὰν (a) πανίῳ παλαιῷ τοῦ σπέρματος τοῖς τρισὶ δακτύλοις συλλαβὼν ἐνδήσῃς, εἶτα κόπρῳ περιπλάσας εὐθὺς ἀρδεύσῃς. ὁμοίως δὲ μέγιστον ἔσται σέλινον, εἰ περιορύξας αὐτοῦ τὰς ῥίζας ἄχυρα περιβάλλῃς, καὶ ἀρδεύσῃς. οὖλον δὲ ἔσται τὸ σέλινον, εἰ τὸ σπέρμα αὐτοῦ ἠρέμα, πρὶν φυτευθῇ, (1) πλιθῇ καὶ κυλινδρωθῇ. Βρωθὲν δὲ τὸ σέλινον καταφερεστέρας εἰς τὰ ἀφροδίσια ποιεῖ τὰς γυναῖκας, ὅθεν οὐδὲ χρὴ συγχωρεῖν ταῖς τιθηνούσαις ἐσθίειν τὰ σέλινα, καὶ μάλιστα διὰ τὸ ἐπέχειν τὸ γάλα. τῷ δὲ στόματι εἰς εὐωδίαν συμβάλλεται. διὸ καὶ οἱ δυσώδη τὰ στόματα ἔχοντες, εἰ φάγοιεν, ἀποκρούονται τὴν δυσωδίαν. καὶ τοὺς ἐπὶ σκηνῆς τοῦτό φασιν ἐσθίειν, ὅπως αὐτῶν τὰ στόματα εὐώδη ὦσι. Τὰ δὲ σέλινα ἅμα ἄρτῳ καταπλασσόμενα ἐρυσιπέλατα θεραπεύει, καὶ τὸ ζέμα αὐτῶν ἐγκάθισμα γινόμενον, καὶ ἀπαντλούμενον, λίθους (2) ἐκβάλλει, καὶ δυσουρίαν θεραπεύει, καὶ νεφροὺς ἰᾶται.

(a) *Vid. Notam ad* Cap. I. Libri *VIII.*

(1) *Emend. ex MSS. prius* πλυθῇ. (2) *Sic MSS. &* Interp. *antea* ἐκβαλεῖ.

CAP. XXIV.

De menta. Ejuſdem.

MEnta inutilis eſſe putatur. Cui enim vulneri adhibita fuerit, non facile id ipſum ſanabitur. Si vero & in lac injiciatur, & coagu-

ΚΕΦ. ΚΔ.

Περὶ ἡδυόσμου. (1) Τοῦ Αὐτοῦ.

ΤΟ ἡδύοσμον ἀχρήσιμον εἶναι νομίζεται. ᾧ γὰρ ἂν τραύματι προσενεχθείη, οὐκ ἂν ἔτι τοῦτο ῥᾳδίως ὑγιασθείη. εἰ δὲ καὶ εἰς γάλα ἐμ-

(1) *Adjeci ex MSS.* V. *&* Bar.

βληθῇ,

βληθῇ, καὶ μετὰ ταῦτα ἡ πιτύα ἐπιβληθῇ, οὐ παγήσεται τὸ γάλα. ἀνεπιτήδειον δέ ἐστι καὶ πρὸς τὰ ἀφροδίσια.

lum poſtea immittatur, lac non coagulabitur. Inepta etiam ac incommoda rebus venereis habetur.

ΚΕΦ. ΚΕ.

Περὶ πηγάνου (1) ἡμέρου καὶ ἀγρίου. Τοῦ Αὐτοῦ.

Τὸ πήγανον (2) οὐ χαίρει κόπρῳ, χαίρει δὲ θερμοῖς καὶ εὐηλίοις τόποις· διὸ χειμῶνος τέφραν τούτῳ περιπάσσειν χρή. διὰ γὰρ τὸ ἐκ ταύτης φύσει θερμὸν ἀντέχει πρὸς τὸ κρύος. δεῖ δὲ τὸ πήγανον ἐν σκεύεσι κεραμικοῖς φυτεύειν. Φυλάττεσθαι δὲ χρή, γυναῖκα μεμιασμένην μὴ προσιέναι τούτῳ, ἢ ὅλως ἅψασθαι. εὐθὺς γὰρ αὐτὸ φθείρεται. τοῖς δὲ ἁπαλοῖς ἐγκαρδίοις τοῦ πηγάνου εἴ τις τὰ ὦτα βύσειεν, ἰαθήσεται κεφαλῆς πόνος. (3) Τοῦ δὲ ἀγρίου πηγάνου ὁ χυλὸς μετὰ γυναικείου γάλακτος μιγνύμενος, καὶ ὑπαλειφόμενος, (a) ὀξυδορκίαν παρέχει. καὶ ἀχλύας δὲ ὀφθαλμῶν καὶ ὑποχύσεις ἀρχομένας λύει ἀνθρώπων τε καὶ ζώων, μέλιτος Ἀττικοῦ (4) μέρεσι δυσὶ, καὶ χυλοῦ τοῦ πηγάνου μέρος ἓν μιγνυμένου καὶ ἐπαλειφομένου. καὶ αὐτὸ δὲ τὸ ἄγριον πήγανον ἐσθιόμενον καὶ πινόμενον τὸ αὐτὸ ποιεῖ. Ὁ δὲ καρπὸς τοῦ ἀγρίου πηγάνου πινόμενος ἐπὶ ἡμέρας ιε΄. ἔμβρυα φθείρει. φύσει γὰρ τοῦτο πολέμιον ταῖς κυούσαις. παύει δὲ ἀλγηδόνας καὶ τὰς ἐκ θηρίων βλάβας μετὰ οἴνου πινόμενον. βοηθεῖ καὶ ἐπιληπτικοῖς πινόμενον, καὶ λύει πόνους θώρακος, καὶ τὰ ὦτα μετὰ οἴνου ἢ ῥοδίνου ἐλαίου ἀνακαθαίρει.

CAP. XXV.

De ruta hortenſi ac ſylveſtri. Ejuſdem.

Ruta non gaudet ſtercore, ſed calidis & apricis locis; quapropter per hyemem cinere ipſam tegere oportet. ex hujus enim naturali calore frigori reſiſtit. Oportet autem rutam in vaſis fictilibus plantare. Et cavendum eſt, ne mulier inquinata ipſi accedat, aut omnino contingat. Statim enim ipſam perdit. Cæterum ſi quis tenera rutæ medulla aures obturet, capitis dolorem ſanabit. At vero ſylveſtris rutæ ſuccus muliebri lacte permixtus, & ſublitus, viſus acumen præbet. Caligines etiam oculorum & incipientes ſuffuſiones tum hominum, tum animalium ſolvit, mellis Attici partibus duabus ad unam ſucci rutæ partem admixtis & illitis. Ipſa etiam ſylveſtris ruta in cibo ac potu ſumpta idem facit. Semen autem ſylveſtris rutæ potatum per dies quindecim fœtus perdit: naturaliter enim uterum geſtantibus adverſatur. Tollit etiam dolores & noxas ex beſtiis cum vino potata. Prodeſt etiam comitiali morbo in potu, & ſolvit thoracis dolores, aures etiam cum vino aut oleo roſaceo repurgat.

(1) *Præced. voculam* καὶ *delevi, auctor. MS.* Bar. (2) *Hanc voculam ſupplevi ex MSS. &* Interp. (3) *Locum hunc, in priori Ed. miſere mutilum, in integrum reſtitui, & ſupplevi, a* τοῦ *ad* μιγνύμενος, *ex MSS.* Plinio *&* Interp.

(a) Ὀξυδορκίαν παρέχει.] *Ita* Plinius *Tom.* 4. *p.* 49. "*Multi ſucco rutæ* "*cum melle Attico inuncto diſcuſſerunt caligines, vel cum lacte mulieris* "*puerum enixæ, vel puro ſucco angulis oculorum tactis.*

(4) *Conſtructioni melius conſuletur, ſi ſcribamus* μερῶν δυοῖν, *& inferius* μέρους ἑνὸς, *in* Bar. μέρους τετάρτου.

CAP.

CAP. XXVI.

De eruca. Ejuſdem.

ERucæ ſemen muris aranei morſibus medetur in vino potatum; lumbricos educit, ſplenem attenuat, cicatrices nigras bubulo felle & aceto permixtum purgat; ſanat etiam lentigines. Permixtum vero melli maculas in facie emendat. Cum vino præſumptum minus dolere facit eos, qui flagris cæduntur. At vero ſylveſtris erucæ folia tria, ſiniſtra manu apprehenſa, arquatum morbum ſanant. Eruca autem prope conſita omnibus oleribus prodeſt. Ipſa etiam axillarum fœtorem ac graveolentiam corrigit.

ΚΕΦ. Κϛ.

Περὶ εὐζώμου. (1) Τοῦ Αὐτοῦ.

ΕΥζώμου σπέρμα μυγάλης δήγμασι ἐν οἴνῳ ποθὲν θεραπεύει· ἕλμινθας ἐξάγει, σπλῆνα λεπτύνει, οὐλὰς μελαίνας μετὰ βοείας χολῆς καὶ ὄξους μιχθὲν καθαίρει· ἰᾶται δὲ τοῦτο φακούς. μιχθὲν δὲ τὸ εὔζωμον μετὰ μέλιτος τοὺς ἐν τῷ προσώπῳ σπίλους καθαίρει. μετὰ οἴνου προποθὲν ἧττον ἀλγεῖν ποιεῖ μαστιγουμένους. Ἀγρίου δὲ εὐζώμου φύλλα τὸν ἀριθμὸν γ΄. τῇ ἀριστερᾷ χειρὶ ληφθέντα ἴκτερον ἰᾶται· τὸ δὲ εὔζωμον παρασπειρόμενον πάντα τὰ λάχανα ὠφελεῖ. (2) τὸ εὔζωμον θεραπεύει καὶ δυσώδεις μασχάλας.

(1) *Supplevi ex MS.* V. (2) *MSS.* V. F. L. *&* Bod. *habent* τὸ εὔζωμον δυσώδεις μασχάλας μεταβάλλει.

CAP. XXVII.

De naſturtio. Ejuſdem.

NAſturtii ſemen farinæ fabaceæ admixtum, addita etiam lixivii parte, ſtrumas & carbunculos ſanat; verum linteoli loco braſſicæ foliis utendum eſt. Cum menta autem & vino potatum lumbricos & tænias educit. In lacte caprino coctum thoraci medetur. Suffitum vero ſerpentes fugat. Aiunt veſcentes naſturtio mentis acumine ſubtiliores evadere. Res venereas maxime reprimit. Cum melle tuſſi medetur. Imponitur etiam ulceribus cuniculatim depaſcentibus. Succus

ΚΕΦ. ΚΖ.

Περὶ καρδάμου. Τοῦ Αὐτοῦ.

ΚΑρδάμου σπέρμα μιχθὲν ἀλεύροις κυαμίνοις, (1) προσβληθέντος στακτῆς μέρους, ἰᾶται (a) χοιράδας καὶ ἄνθρακας, χρηστέον δὲ ἀντὶ ὀθόνης φύλλοις κράμβης. μετὰ δὲ ἡδυόσμου καὶ οἴνου πινόμενον ἕλμινθας (2) καὶ ταινίας ἐξάγει. γάλακτι δὲ αἰγείῳ συνεψόμενον (3) θώρακας ἰᾶται. θυμιώμενον δὲ ὄφεις ἐλαύνει. Φασὶ δὲ τοὺς ἐσθίοντας κάρδαμον ὀξυτέρους τὴν διάνοιαν γίνεσθαι. Ἀφροδισίων ἐφεκτικώτερόν ἐστι. μετὰ μέλιτος βῆχα ἰᾶται. ἐπιτίθεται δὲ καὶ (4) ἕλκεσιν ὑπονόμοις. ὁ χυλὸς δὲ

(1) *Emendavi ex MSS. prius* προσβαλὼν... μέρος, ἰάσῃ χοιράδας.

(a) Χοιράδας-] Plinius *Tom.* 4. *p.* 46. " *Cum lomento ſtrumis illitum,* " *opertumque braſſica, præclare medetur. Optimum Babylonium.*

(2) *Reſtit. ex MSS. &* Interp. *antea peſſime* κατ' ἐνίους. (3) *MSS.* V. *&* F. θώρακα. (4) *Ita legend. ex MS.* Bar. *&* Dioſcoride. *Prius* ἕλκεσι καὶ ὕπον.

αὐτοῦ

αὐτοῦ τριχῶν ἀπόρροιαν ἐπέχει. στέαρ δὲ χήνειον (5) προσλαβὼν τὰ φυόμενα ἐν κεφαλῇ ἑλκύδρια καὶ πιτυρίασιν θεραπεύει. (6) δοθιῆνας μετὰ ζύμης πεπαίνει. φασὶ δὲ αὐτοῦ τὸν χυλὸν καὶ ὀδόντων ἄλγημα ἰᾶσθαι, διὰ τῶν ὤτων εἰσχεόμενον.

ipſius pilorum defluxum ſiſtit. Adipe anſerino addito, ulcuſcula in capite furfureſque ac porriginem curat. Furunculos cum fermento maturos facit. Aiunt etiam dentium dolorem ſucco ejus per aures inſtillato ſanari.

(5) *Melius cum* Interp. προσβαλών, *etſi tota Phraſis ſit minus Græca.*
(6) *Emend. ex* Dioſcor. *pr. Ed.* δοθίνας.

ΚΕΦ. ΚΗ.

Περὶ σέρεως, ἤτοι τρωξίμων. Διδύμου.

CAP. XXVIII.

De intybo ſive ſeride, aut troximis. Didymi.

ΣΕρις, τουτέστι (a) τρώξιμα ἐν ὄξει βαπτόμενα καὶ ἐσθιόμενα στομάχῳ κατάλληλα. αἱμοπτυϊκοῖς ὁ χυλὸς ὠφελιμώτατος, εἰ παρὰ μίαν πίνοιεν. ἰᾶται δὲ καρδιακοὺς ἀνατριφθεῖσα, καὶ ὑπὸ τὸν ἀριστερὸν τιτθὸν ὑποτεθεῖσα. δίδοται δὲ τοῖς ἧπαρ ἀλγοῦσιν ὁ χυλὸς αὐτῆς, ἐν ἡλίῳ πρότερον ἐπ᾽ ὀλίγον ψυγείσης, εἶτα τριφθείσης. εἰ δέ τις μετὰ τὴν γένναν τῆς σελήνης θεασάμενος αὐτὴν ὀμόσει ἐπ᾽ αὐτῆς μὴ φαγεῖν σέριν, μήτε ἵππεια κρέα, ἐν ταῖς λ΄. ἡμέραις, οὐκ ἀλγήσει ὀδόντας.

SEρις ſive intyba, hoc eſt τρώξιμα Græcis appellata, aceto intincta & comeſta ſtomacho conveniunt. Sanguinem ſpuentibus ſuccus utiliſſimus eſt, ſi alternis diebus bibatur. Intybum cardiacis medetur tritum, & ſiniſtræ mammæ ſubditum. Datur etiam dolentibus hepar ſuccus ejus, in ſole antea paululum ſiccatæ, & deinde tritæ. Si vero quis in prima lunæ die ea conſpecta juraverit per ipſam, quod intybum non comedet, neque equinas carnes, per triginta dies, non dolebit dentes.

(a) Τρώξιμα-] *Acetariorum nomen* (Salm. verba) *proprium factum τῶν σερίδων· quæ τρώξιμα* Græcis *appellata ſunt.* Gloſſæ; *Acetaria*, Τρώξιμα. *De Intybis intelligendum, quæ aceto intingebantur ad ſtomachum bonum faciendum, ut hodie crithmum marinum.*

ΚΕΦ. ΚΘ.

Περὶ πράσων. Σωτίωνος.

CAP. XXIX.

De porris. Sotionis.

Ὁ Σωτίων παραινεῖ, μετὰ τὸ σπαρῆναι τὰ πράσα, εὐθέως συμπατεῖν τὴν πρασιὰν, καὶ μὴ ἄρδειν, ἀλλ᾽ ἐᾶν ἀνεπιμέλητον ἡμέρας γ΄. τῇ δὲ δ΄. ἄρδειν, οὕτω γὰρ ἔσεσθαι κάλλιστα. πράσον ἁδρότατον ἔσται, ἐὰν ἄμμον τῇ γῇ συμμίξῃς ἐν τῷ φυτεύειν. ὁμοίως τὰ πράσα ἔσται μεγάλα, εἰ

SOtion admonet, poſt ſationem porrorum, ſtatim conculcandam eſſe areolam, & non rigandam, ſed negligendam per dies tres, quarta vero rigari debere, ita enim pulcherrima proventura. Porrum autem pleniſſimum erit, ſi arenam terræ admiſcueris inter plantandum. Similiter

Similiter porra magna fient, ſi, dum tranſplantas ipſa, teſtam aut lapidem latum ſuppoſueris, & non rigaveris. Magna itidem erunt, ſi, dum tranſplantas, caput porri abſque ferro, radio videlicet aut arundine acuta, in medio punxeris, & ſemen in medium ipſorum injeceris. Etenim immiſſum ſemen unitur, & porrum intumeſcere facit. Aliqui ſemen immittunt, non proprium, ſed raporum, & hoc unitur, & magnitudinis eſt cauſa. Valde autem majora porra fient, ſi panniculo lineo detrito & veteri quantum ſeminis tribus digitis apprehendi poteſt illigaveris, deinde ſtercore intexeris, ſtatimque rigaveris. Totus enim ſeminum acervus unitus unum magnum porrum efficit. Idem contingit etiam in apio. Si vero quis cuminum præſumat ante porra, non olebit. Cæterum reptilium & phalangiorum ictus, ſi porra trita imponas, citius quam alio pharmaco curabis. Coctum autem porrum cum melle datum omnes circa arterias affectiones curare ſolet, & ſemen ejus cum paſſo potatum urinam ciet. Aſſidue autem comeſtum viſum hebetat, & ſtomacho ineptum eſt. Morſis a beſtiis confert ſuccus potatus cum aqua mulſa, ipſa etiam porra cataplaſmatis vice impoſita opem ferunt. Prodeſt etiam aurium dolori ac ſonitui, cum aceto & thure, aut lacte, aut roſaceo inſtillatus. Puſtulas quoque nocturnas ſanat. Porris valde flaccidis & vietis utendum eſt. non minus enim quam carnes nutriunt. Dolentibus latus hoc olus commodum eſt.

μεταφυτεύων αὐτὰ ὄστρακον ἢ λίθον πλατὺν (1) ὑποθείης, καὶ μὴ ποτίσῃς. Μεγάλα δὲ ἔσται, εἰ μεταφυτεύων αὐτὰ, τὴν κεφαλὴν τοῦ πράσου ἄνευ σιδήρου, οἷον κερκίδι ἢ καλάμῳ ὀξεῖ, κεντήσας κατὰ τὸ μέσον, ἐμβάλλῃς τοῦ σπέρματος αὐτῶν. τὸ γὰρ ἐμπεσὸν σπέρμα ἑνοῦται καὶ οἰδαίνειν ποιεῖ τὸ πράσον. ἔνιοι δὲ σπέρμα ἐμβάλλουσιν, οὐ (2) τὸ οἰκεῖον, ἀλλὰ (a) γογγυλίδων, καὶ τοῦτο ἑνοῦται, καὶ μεγέθους αἴτιον γίνεται. Ἔσται δὲ μείζονα πάνυ τὰ πράσα, ἐὰν εἰς (b) πανίον λινοῦν παλαιὸν τοῦ σπέρματος τοῖς τρισὶ δακτύλοις συλλαβὼν ἐνδήσῃς, εἶτα κόπρῳ (3) περιπλάσας εὐθέως ἀρδεύσῃς. ὅλα γὰρ τὰ σπέρματα ἑνούμενα ἓν μέγα πράσον ἀποτελεῖ. τὸ αὐτὸ συμβαίνει καὶ ἐπὶ σελίνου. εἰ δέ τις κύμινον προφάγοι πρὸ τῶν πράσων, οὐκ ὀζέσει. Τὰς δὲ ὑπὸ τῶν ἑρπετῶν καὶ φαλαγγίων πληγὰς, ἐὰν πράσα λελειωμένα ἐπιθήσῃς, τάχιον ἑτέρου φαρμάκου θεραπεύσεις. ἑφθὸν δὲ τὸ πράσον σὺν μέλιτι διδόμενον πάσας τὰς περὶ ἀρτηρίαν διαθέσεις θεραπεύειν πέφυκε, καὶ τὸ σπέρμα δὲ αὐτοῦ ἅμα γλυκεῖ ποτιζόμενον δυσουρίαν ἰᾶται. Συνεχῶς δὲ ἐσθιόμενον ἀμαυροῖ τὰς ὄψεις, καὶ ἔστι κακοστόμαχον. (c) τοῖς δὲ θηριοδήκτοις σὺν μελικράτῳ πινόμενος ὁ χυλὸς συμβάλλεται, καὶ αὐτὰ δὲ καταπλασσόμενα (4) ὠφελεῖ. βοηθεῖ καὶ ὠταλγίαις καὶ ἤχοις σὺν ὄξει καὶ λιβάνῳ, ἢ γάλακτι, ἢ ῥοδίνῳ (5) ἐνσταγείς. τὰς ἐπινυκτίδας ἰᾶται. τοῖς πράσοις (6) τακεροῖς πάνυ χρῆσθαι προσήκει. τρέφει γὰρ οὐχ ἧττον κρεῶν. τοῖς πλευρὰν ἀλγοῦσι τὸ λάχανον τοῦτο πρόσφορον.

(1) *Ita MSS.* F. L. *&* Bod. (2) *Ex MSS.* Bar. *&* Palatt. *pr. Ed.* τῶν σικύων.
(a) Γογγυλίδων-] *Vid.* Pallad. *p.* 70.
(b) Πανίον-] *Ita etiam* Columella *p.* 379.
(3) *Ita MS.* Barocc. *&* Interp. *ante* περιπάσας.
(c) *Hæc omnia, ad finem capitis, ex* Dioſcoride *deſumpta ſunt,* Lib. 2. Cap. 179. (4) *Supplevi ex* Dioſcoride. (5) *Ita* Dioſcor. *rectius, antea* ἐνσταγίν. (6) *Emend. ex* Barocc. *prius* τακηροῖς.

ΚΕΦ. Λ.

Περὶ σκόρδων.

Τὰ σκόρδα γίνεται κάλλιστα ἐν τοῖς λευκογείοις. ταῦτα δὲ ἐσθιόμενα ἕλμινθας ἐξάγει, καὶ οὖρα κινεῖ, καὶ ἐχιοδήκτοις καταπλασσόμενα καὶ τρωγόμενα καὶ λυσσοδήκτοις βοηθεῖ. καυθέντα δὲ καὶ φυραθέντα μέλιτι, καὶ καταχριόμενα, ὑπώπια καὶ ἀλωπεκίας ἰῶνται. ὀδονταλγίας δὲ διακρατούμενα ἐν τῷ στόματι παύει. σὺν ἐλαίῳ δὲ καὶ ἅλατι ἐξανθήματα θεραπεύει (1). ἀφίστησι δὲ καὶ φακοὺς καὶ λειχῆνας. Ἑφθὸν δὲ καὶ ὠμὸν ἐσθιόμενον βῆχας χρονίους ὠφελεῖ. εἰ δέ τις προτρώγει τὸ σκόρδον, ἀβλαβὴς ἀπό τε ἑρπετῶν καὶ τῶν ἄλλων δηλητηρίων ἔσται. καὶ πληγέντας δὲ τριφθέντα καὶ ἐπιτεθέντα ἰᾶται. πάνυ δὲ ὠφελεῖ καὶ μετὰ οἴνου πινόμενα. χρησιμώτερα δὲ καὶ τοῖς πέττειν τροφὰς μὴ δυναμένοις. Οὖρα ὑπάγει, νεφρῖτιν ἰᾶται, οὐκ ἐᾷ ὑπὸ φαύλων ὑδάτων βλάπτεσθαι. εἰ δὲ θέλεις γλυκύτερα εἶναι τὰ σκόρδα, τεθλασμένα ταῦτα φύτευε. Τοῦ δὲ σκόρδου τὸ μέν ἐστιν ἥμερον καὶ κηπευτὸν, τὸ δὲ ἄγριον, ὃ καὶ ὀφιόσκορδον καλοῦσιν. ἔστι δὲ τὸ ἄγριον εὐτονώτερον τοῦ ἡμέρου πρὸς τὰς εἰρημένας θεραπείας. Γλυκύτερα ποιήσεις τὰ σκόρδα, ἐν τῷ φυτεύειν συνεπιβάλλων στέμφυλα τῶν (2) ἐλαίνων. ἄνοσμα δὲ ἔσται, ἐὰν καὶ σπείρηται καὶ ἐξαιρῆται, ὑπὸ γῆν οὔσης τῆς σελήνης. τινὲς δέ φασιν (3) ἄνοσμα αὐτὰ γίνεσθαι, ἐὰν ἐπὶ τῇ βρώσει ὠμὸν κύαμον ἐπιμασήσαιτό τις.

CAP. XXX.

De alliis.

ALlia optima proveniunt in terra alba. Hæc in cibo ſumpta lumbricos expellunt, & urinam movent, & morſis a vipera & a rabioſo cane, tum in cataplaſmate, tum in cibo proſunt. Uſta autem & melle ſubacta, ac illita, ſugillata & alopecias ſanant. Dentium dolores in ore detenta tollunt. Cum oleo autem & ſale eruptiones papularum curant, [& hydropicis medentur]. Removent etiam lentigines & impetigines. Coctum autem & crudum comeſtum ad veteres tuſſes prodeſt. Si quis autem allium præſumat, a ſerpentum reptiliumque ictibus ac aliis venenis illæſus manebit. Sed etiam ictos ab illis allia trita & impoſita ſanant. Valde proſunt etiam cum vino potata. Commoda ſunt etiam eis, qui alimentum concoquere non poſſunt. Urinam ſubducunt, renum morbum ſanant, & vitioſarum aquarum noxam arcent. Quod ſi velis allia dulciora eſſe, contuſa hæc planta. Cæterum allium aliud eſt ſativum & hortenſe, aliud ſylveſtre, quod etiam allium anguinum vocatur. Sylveſtre autem magis valet quam ſativum ad prædictas medelas. Dulciora item efficies allia, ſi in plantatione nucleos olivarum ſimul depoſueris. Fœtore autem carebunt, ſi & ſerantur & extrahantur, luna ſub terra latente. Quidam tradunt ipſa gravem halitum non eſſe factura, ſi quis ab ipſis crudam fabam inſuper mandat.

(1) Caſaub. Interp. *&* *MS.*V. *ſupplent* καὶ ὑδρωπιῶντας θεραπεύει, *ſed in cætt. MSS. &* Dioſcor. *cujus hæc ſunt, non comparent.* (2) *Rectius forſan* ἐλαιῶν. (3) *Ita MSS. prius* εὔοσμα.

CAP.

CAP. XXXI.

De cepis.

CEpas tranſplantaturus caudas ipſarum & extremitates aufer, & magnæ evadent. Diebus viginti ante tranſplantationem terram fodito ac ſiccato, ut omni humiditate privetur, & ſic plantato, ac multo majores erunt. Si vero & capita ipſarum undique denudaveris, & ſic poſueris, adhuc grandiores erunt. Optimæ autem erunt in terra rubra plantatæ, velut allia in alba. Quo vero cepæ integræ permaneant, ipſas in aquam calidam injectas ſiccato ad ſolem, & ſiccatas reponito in paleis hordeaceis, ita ut ſe mutuo non contingant. Cepæ autem tritæ cum melle omni vulneri commode imponuntur. Quique ſingulis diebus cepas teneriores ſelectas cum melle jejunus comederit, ſanus vivet. Cepa igitur ulcus ſanabit, allium vero etiam ſi ſano corpori imponatur, ipſum exulcerabit. Cepæ inſuper cum aceto illitæ ad ſolem vitiliginem albam repurgant, & affrictæ alopecias citius ſanant. Succus etiam ipſarum auribus pure manantibus utilis eſt, & angina laborantibus illitus prodeſt; & viſui obtuſo prodeſt. Cepa quoque aſſata exhibita tuſſim curare poteſt.

ΚΕΦ. ΛΑ.

Περὶ κρομμύων.

ΚΡόμμυα μεταφυτεύων τὰς οὐρὰς αὐτῶν καὶ τὰ ἄκρα ἀφαίρει, καὶ ἔσται μεγάλα. πρὸ ἡμερῶν κʹ. τοῦ μεταφυτεύειν σκάψας καὶ ξηράνας τὴν γῆν, ὡς ἀφῃρῆσθαι πάσης νοτίδος, φύτευε, καὶ ἔσται πολλῷ μείζονα. εἰ δὲ καὶ περιψιλώσας τὰς κεφαλὰς αὐτῶν θείης, ἔτι μᾶλλον μείζονα ἔσται. κάλλιστα δὲ ἔσται ἐν γῇ ἐρυθρᾷ φυτευόμενα, ὥσπερ τὰ σκόρδα ἐν τοῖς λευκογείοις. ἵνα δὲ ἄσηπτα διαμείνῃ τὰ κρόμμυα, εἰς θερμὸν ὕδωρ αὐτὰ ἐμβαλὼν ψύξον ἐν ἡλίῳ, καὶ ξηρανθέντα κατάθες ἐν (a) ἀχύροις κριθίνοις μὴ ἁπτόμενα ἀλλήλων. Τὰ δὲ κρόμμυα μετὰ μέλιτος τριβέντα ἐπιτήδειά ἐστι πρὸς πᾶν τραῦμα ἐπιτιθέμενα. ὑγιεινῶς τε διάξει, ὁ ἑκάστης ἡμέρας τῶν κρομμύων ἐπιλεγόμενος τὰ ἁπαλώτερα, καὶ μετὰ μέλιτος νῆστις ἐσθίων. τὸ μὲν οὖν κρόμμυον τὸ ἕλκος ὑγιὲς ποιήσει, τὸ δὲ σκόρδον κἂν ὑγιαίνοντι (1) σώματι ἐπιτεθῇ, ἑλκώσει. Τὰ δὲ κρόμμυα σὺν ὄξει καταχριόμενα ἐν ἡλίῳ ἀλφοὺς ἀποῤῥίπτει, καὶ παρατριβόμενα ἀλωπεκίας θᾶττον ἰᾶται. καὶ ὁ χυλὸς αὐτῶν πρὸς ὦτα πυοῤῥοοῦντα χρήσιμος, καὶ συναγχικοῖς διαχριόμενος (2) καὶ πρὸς ἀμβλυωπίαν δὲ ποιεῖ τὸ κρόμμυον. ὀπτὸν δὲ διδόμενον βῆχα θεραπεύειν δύναται.

(a) Ἀχύροις-] Plinius. *Tom.* 3. *p.* 593. " *Cepæ genera apud Græcos* " *Sardia, Samothracia, Alſidena, Setania, Schiſta, Aſcalonia ab Oppido* " *Judææ nominata.... Servantur optime in paleis.* Pompeianæ *&* Marſicæ *ſimplicis meminit* Columella *p.*419.

(1) *Revocavi ex MSS.* (2) *Supplevi ex* Caſaub. *& MSS.*

ΚΕΦ. ΛΒ.

Περὶ καυκαλίδων.
Παξάμου.

Αἱ καυκαλίδες τρωγόμεναι νεφριτικοὺς ἰῶνται διὰ οὔρων, καὶ τὸ ὕδωρ αὐτῶν πρὸ μιᾶς ὥρας τοῦ λουτροῦ πινόμενον ἅμα (1) τῷ γλυκεῖ ἰκτερικοὺς δι' ἱδρώτων θεραπεύει. καὶ αὐταὶ δὲ τρωγόμεναι σὺν ὀξυμέλιτι καὶ ἐμούμεναι τὴν ἄνω κοιλίαν καθαίρουσι, καὶ μελαγχολίαν, καὶ ἀνορεξίαν, καὶ τεταρταῖον θεραπεύουσιν.

CAP. XXXII.

De caucalidibus.
Paxami.

Caucalides in cibo ſumptæ nephriticos per urinam ſanant, & ipſarum aqua hora una ante balneum cum paſſo potata morbum regium per ſudorem curat. Comeſtæ inſuper cum aceto mulſo, & vomitu rejectæ, ſupernum ventrem purgant: Atram quoque bilem, & appetentiam cibi languentem, ac quartanam febrem curant.

(1) *Emend. ope MSS. pr. Ed.* ποτῷ.

ΚΕΦ. ΛΓ.

Περὶ γλήχωνος.
Λεοντίνου.

Ὁ Γλήχων πέψεώς ἐστιν ἐργάτης, ξηρὸς λειωθεὶς, καὶ (1) μετὰ τροφὴν λαμβανόμενος. διαμασηθεὶς δὲ, καὶ προσκολληθεὶς τοῖς βλεφάροις ὀφθαλμίαν ἀκμάζουσαν ἄκρως θεραπεύει, ὥστε ἑλέσθαι τὸν πειραθέντα μᾶλλον χρῆσθαι τούτῳ ἐπὶ τῶν ὀφθαλμῶν, ἢ τοῖς δοκιμωτάτοις κολλυρίοις.

CAP. XXXIII.

De pulegio.
Leontini.

Pulegium concoctionem promovet, cum aridum eſt tritum, & poſt cibum ſumptum. Manſum autem, & palpebris agglutinatum, lippitudinem vigentem eximie curat: adeo ut qui ejus rei periculum fecerit, magis expetat ipſo ad oculos uti, quam probatiſſimis collyriis.

(1) *In MSS.* Bar. *&* Palatt. μετὰ τροφῆς.

ΚΕΦ. ΛΔ.

Περὶ ἀνήθου.

Τὸ ἄνηθον ἐσθιόμενον ἀμβλύνει τὴν ὄψιν.

CAP. XXXIV.

De anetho.

Anethum comeſtum viſum hebetat.

CAP.

CAP. XXXV.

De ſcimbro. *Damogerontis.*

SCimbrum, quod quidam ſiſymbrium vocant, appetentiam cibi excitat, & urinam ciet. Gaudet autem aere temperato & ſicco, & loco aprico nequaquam arboribus infeſtato. Nutritur ſub terra, & augeſcit. Seritur autem & plantatur, verum a ſemine tertio anno fructum dabit. Si vero quis a vertice radicis, ex quo germen habet, quod quidam oculum appellant, plantet, eodem anno fructum producet.

ΚΕΦ. ΛΕ.

Περὶ σκίμβρου. Δαμογέροντος.

ΤΟ σκίμβρον, ὅ τινες (1) σισύμβριον καλοῦσιν, ὀρέξεώς ἐστιν ἐνεργητικὸν, καὶ οὔρων κινητικόν. χαίρει δὲ ἀέρι εὐκραεῖ καὶ ξηρῷ, καὶ τόπῳ εὐηλίῳ μηδαμόθεν ἐνοχλουμένῳ ὑπὸ δένδρων. τρέφεται δὲ ὑπὸ γῆν, καὶ αὔξεται. Σπείρεται δὲ καὶ φυτεύεται, ἀλλὰ ἀπὸ μὲν σπέρματος τῷ γ΄. ἔτει δώσει τὸν καρπόν. εἰ δέ τις ἀπὸ τῆς κορυφῆς τῆς ῥίζης, ἐξ ἧς ἔχει τὴν βλάστην, ἣν τινες ὀφθαλμὸν καλοῦσι, φυτεύσει, ἐν αὐτῷ τῷ ἔτει δώσει τὸν καρπόν.

(1) *Ita* Interp. *ex* Dioſcoride, *antea* σύσιβρον. *De Siſymbrio autem vid.* Dioſcor. *pag.*141. & Plinium *Tom.*4. *pag.* LXXXVIII.

CAP. XXXVI.

De bulbis. *Anatolii.*

BUlbi magni erunt, ſi, quemadmodum porris, teſtæ ſupponantur circa radices plantarum. Plantantur vero bulbi a calendis Novembribus, uſque ad calendas Februarias.

ΚΕΦ. ΛϚ.

Περὶ βολβῶν. Ἀνατολίου.

(a) ΟΙ βολβοὶ ἔσονται μεγάλοι, ἐὰν, ὡς τοῖς πράσοις, ὑποτεθῇ ὄστρακα περὶ τὰς ῥίζας τῶν φυτευομένων. φυτεύονται δὲ οἱ βολβοὶ ἀπὸ νεομηνίας Νοεμβρίου, ἕως νεομηνίας Φεβρουαρίου.

(a) Οἱ βολβοὶ-] *Plura Bulborum genera recenſet* Plinius *Tom.* 4. *ex* Theophraſto; Megarenſes, *quos* Cato & Nicander *maxime laudant*; Libycos, & Appulos. *In* Taurica Cherſoneſo *adeo dulces naſcuntur, ut etiam crudos mandant.* Theophraſtus, *ex eoque* Athenæus, *lanigerum quoddam bulbi genus memorat*, --- ὃ ἔχει τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας· ὥστε ἀνὰ μέσον εἶναι τοῦ τε ἐδωδίμου τοῦ ἐντὸς, καὶ τοῦ ἔξω. ὑφαίνεται δὲ ἐξ αὐτοῦ καὶ πόδεια, καὶ ἄλλα ἱμάτια. διὸ καὶ ἐριῶδες τοῦτο, καὶ οὐχ ὥσπερ τὸ ἐν Ἰνδοῖς τριχῶδες. *Bulbi, maxime Regii, Venerem mirum in modum accendunt; unde Adagium,* Οὐδέν σ᾽ ὀνήσει βολβὸς, ἂν μὴ νεῦρ᾽ ἔχῃς. *Ægyptii omnium deterrimi.* *Vid.* Athen. *p.* 63, 4. & Plin. *Tom.* 3. *p.* 591.

ΚΕΦ. ΛΖ.

Περὶ σκίλλης. Βηρυτίου.

Τῆς σκίλλης τὸ ἄνθος ἐκφυόμενον ῥαβδοειδὲς, καὶ μὴ θᾶττον μαραινόμενον, εὐκαρπίαν σημαίνει.

CAP. XXXVII.

De ſcilla. Berytii.

Scillæ flos ad virgæ ſpeciem enaſcens, & non cito marceſcens, fertilitatem fructuum portendit.

ΚΕΦ. ΛΗ.

Περὶ λαπάθου. Ἀφρικανοῦ.

Τοῦ ἀγρίου λαπάθου ὁ καρπὸς καρδίαν καὶ δυσεντερίαν ἰᾶται, μετ᾽ οἴνου πινόμενος. περιαπτόμενος δὲ τῷ ἀριστερῷ βραχίονι, γυναικὸς ἀτοκίας ἰᾶται. ἡ δὲ ῥίζα τοῦ ἀγρίου λαπάθου θεραπεύει ἴκτερον καὶ ὕδρωπα. ἑψομένη δὲ μετ᾽ ὄξους καὶ καταπλαττομένη λέπραν ἰᾶσθαί φασι, καὶ λειχῆνας, καὶ ἀλφούς.

CAP. XXXVIII.

De lapatho. Africani.

Sylveſtris lapathi ſemen cardiacos & dyſenteriam ſanat, cum vino potatum. Alligatus autem ſiniſtro brachio, mulieris ſterilitatem ſanat. Radix autem ſylveſtris lapathi arquatum morbum & hydropem curat. Cocta vero cum aceto & impoſita lepram ſanat, & impetigines, & vitiligines albas.

ΚΕΦ. ΛΘ.

Περὶ κινάρων. Βάρρωνος.

(a) Τὰς κινάρας φύτευε Νοεμβρίῳ μηνί. τότε γὰρ φυτευθεῖσαι τῷ ἔαρι τὸν καρπὸν δώσουσι. τῷ δὲ ἔαρι φυτευθεῖσαι μόλις οἴσουσι

CAP. XXXIX.

De cinaris. Varronis.

Cinaras Novembri menſe planta- to. Tunc enim plantatæ vere fructum dabunt. Vere autem plantatæ vix ſequenti anno fructum fe-

(a) Τὰς κινάρας-] Theophraſtus *H. P.* Lib. *VI.* Cap. 4. *Cinaram vocat* κάκτον Σικελικὴν, *& in* Græcia *naſci denegat; Quem locum ex* Athenæo *emendatum tranſcribere erit operæ pretium.* Ἡ δὲ (inquit) Κάκτος καλουμένη περὶ Σικελίαν μόνον, ἐν τῇ Ἑλλάδι δ᾽ οὐκ ἔστι· ἴδιον δὲ παρὰ τὰ ἄλλα τὸ φυτόν. ἀφίησι γὰρ εὐθὺς ἀπὸ τῆς ῥίζης καυλοὺς ἐπιγείους· Τὸ δὲ φύλλον ἔχει πλατὺ καὶ ἀκανθῶδες· Κάκτους καλοῦσι δὲ τοὺς καυλούς· Ἐδώδιμοι δέ εἰσι περιλεπόμενοι, καὶ μικρὸν ὑπόπικροι· Καὶ θησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ· ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι πλέρνικα, καὶ τοῦτο ἐδώδιμον· Τὸ δὲ περικάρπιον ἀφαιρεθέντων τῶν παππωδῶν σπερμάτων ἐδώδιμον, καὶ ἐμφερὲς τῷ τοῦ φοίνικος ἐγκεφάλῳ· Καλοῦσι δὲ αὐτὸν ἀσκαλίαν. *Cacti* Siculæ *meminit &* Phanias, *quinto de Plantis; Cinaram vocavit* Sopater Paphius, *qui ſub* Alexandro Magno *floruit.* Ptolemæus Euergetes Ariſtarchi *diſcipulus, teſte* Athenæo *p.* 71. *in Commentariis ſuis prodidit, juxta* Lethonem Libyæ *fluvium plurimam naſci Cinaram, quam milites ejus ſpinis purgatam & comederunt, & in cibum illi obtulere. Hodie* Articactus. *Vid.* Columellam *Lib. X. pag.* 353.

rent,

rent, & ipſæ quidem graciles erunt, fructus autem brevis. Cinararum plantæ accipiantur quæ majoribus ſtirpibus adnatæ ſunt, & acuta falce recidantur, effoſſa prius circumjacente terra, ſublata ſimul & aliqua radicis parte. Plantentur autem in terra ſubacta, veteri ſtercore affuſo, æſtate etiam rigato ipſas, & quidem frequenter. Sic enim tenerum & pleniorem fructum habebis. Odoratas facies cinaras, ſi ſemen ipſarum in roſarum, aut liliorum, aut lauri, aut aliquo alio ſucco per triduum maceratum ſic terræ mandaveris. Sine ſpinis autem producentur, ſi acumina ſeminum hebetaveris affricando ad lapidem. Affirmant aliqui, quod quocunque tempore cinaræ plantentur, eodem & fructum reddent, & propter hoc per totum annum cinaras haberi poſſe. Laurinas porro facies cinaras, ſi accepto lauri fructu, eoque perforato, ſemen cinaræ in cavernam immiſeris, & ſic plantaveris. Similiter autem ſine ſpinis naſcentur, ſi in lactucæ radice decorticata, & in minutas partes conciſa, ſemen occulatur, ſingulis ſegmentis ſemine intruſo, & ſic plantentur. Radicibus cinararum mures libentiſſime veſcuntur, & ad has a longinquo accurrunt. Arcebimus autem ipſos, radicibus lana involutis, aut ſtercore ſuillo aut cinere ficulno radicibus appoſito, atque hoc aut per contrarietatem quandam naturalem contingit, aut quod odorem harum rerum averſentur & fugiant. Dulces fient cinaræ, ſi ſemen ipſarum lacte & melle maceraveris, & ſiccatum ſeminaveris.

τὸν καρπὸν τοῦ ἐπιόντος ἐνιαυτοῦ, καὶ αὗται μὲν ἔσονται ἰσχναί, ὁ δὲ καρπὸς βραχύς. λάμβανε δὲ τὰ φυτὰ τῶν κιναρῶν τὰ παραπεφυκότα τοῖς μείζοσι στελέχεσιν, ὀξεῖ δρεπάνῳ ἀφαιρῶν ἀπὸ τῆς γῆς, (1) ἀποσκάψας πρότερον τὴν περικειμένην γῆν, καὶ συναφαιρεῖ μέρος τι τῆς ῥίζης. τὰ δὲ φυτὰ εἰς εἰργασμένην γῆν φύτευε, ἐπιχέων κόπρον παλαιάν, τοῦ δὲ θέρει ἄρδευε αὐτὰς συνεχῶς. οὕτω γὰρ † ἁπαλὸν καὶ ἁδρότερον τὸν καρπὸν ἕξεις. Εὐώδεις δὲ ποιήσεις τὰς κινάρας, εἰ τὸ σπέρμα αὐτῶν εἰς χυλὸν ῥόδων, ἢ κρίνων, ἢ δάφνης, ἢ ἄλλῳ τινὶ εὐώδει βρέξας ἐπὶ γʹ. ἡμέρας οὕτω καταθείης. δίχα δὲ ἀκανθῶν ποιήσεις τὰς κινάρας, ἐὰν τὰ ὀξέα τῶν σπερμάτων ἀμβλύνῃς τρίψει λίθου. Διαβεβαιοῦνται δέ τινες, ὅτι ᾧ ἂν καιρῷ αἱ κινάραι φυτευθῶσι, (2) τούτῳ καὶ τὸν καρπὸν δώσουσι, καὶ διὰ τοῦτο (3) δύνασθαι διὰ παντὸς τοῦ ἐνιαυτοῦ ἔχειν κινάρας. δαφνωτοὺς ποιήσεις κινάρας, ἐὰν λαβὼν δάφνης καρπὸν, καὶ τρήσας, ἐμβάλῃς τὸ σπέρμα τῆς κινάρας εἰς τὴν τρύπην, καὶ οὕτω φυτεύσῃς. γίνονται δὲ ὁμοίως δίχα ἀκανθῶν, εἰς ῥίζαν θριδακίνης λελεπισμένην, καὶ εἰς λεπτὰ συγκεκομμένην, ἐφ' ἕκαστον τῶν τμημάτων κρυβέντος τοῦ σπέρματος, καὶ φυτευθέντος. Τὰς ῥίζας τῶν κιναρῶν ἥδιστα ἐσθίουσιν οἱ μύες, καὶ μακρόθεν ταύταις ἐπιτρέχουσιν. εἴργομεν δὲ αὐτοὺς ἐρίῳ τὰς ῥίζας εἰλοῦντες, ἢ χοιρείαν κόπρον ἢ συκίνην τέφραν ταῖς ῥίζαις παρατιθέντες, ἢ κατὰ ἀντιπάθειαν, ἢ κατὰ ἀποστροφὴν τῆς ὀσμῆς. γλυκείας δὲ ποιήσεις τὰς κινάρας τὸ σπέρμα αὐτῶν γάλακτι καὶ μέλιτι βρέχων, καὶ ἀναψυχθὲν σπείρων.

(1) *Ita* Barocc. *prius* σκάψας. † *Ex MSS.* (2) *MS.* Saracen. *habet* τούτῳ αὐτοῦ--- (3) *Revoc. ex MSS. &* Interp.

ΚΕΦ. Μ.

Περὶ ἀνδράχνης. Παξάμου.

Ἡ Ἀνδράχνη καταπλασσομένη παύει ἐρυσιπέλατα. τὸ δὲ φύλλον αὐτῆς ὑποτιθέμενον τῇ γλώσσῃ ἀδιψοτέρους ποιεῖ.

CAP. XL.

De portulaca. Paxami.

Portulaca cataplaſmatis modo impoſita eryſipelas tollit. Folium vero ejus ſuppoſitum linguæ ſitim extinguit.

ΚΕΦ. ΜΑ.

Μυκήτων ποίησις. Ταραντίνου.

Αἴγειρον ἀπόκοψον, καὶ κατὰ τῆς ἀποκοπῆς τοῦ στελέχους τοῦ ἑστῶτος ἐν τῇ γῇ ζύμην ὕδατι λύσας ἐπίχεε, καὶ εὐθέως ἔσονται οἱ (a) μύκητες αἰγειρῖται. Εἰ δὲ βούλει καὶ γῆν ἐνέγκαι σοι μύκητας, ἐπιλεξάμενος γῆν ὄρειον, ἀραιὰν, εἰωθυῖαν φέρειν κάλαμον, καὶ φρύγανα καὶ πάντα τὰ εὔφλεκτα συναθροίσας, ὅταν συννεφῆ τὸν ἀέρα ἴδῃς, ὡς ὄμβρον ἐπικεῖσθαι, πῦρ ἐκείνοις ἄναψον. οὕτω γὰρ ἔσονται μύκητες αὐτόματοι. εἰ δὲ ἀρξαμένῳ σοι τὴν πυρὰν ποιεῖσθαι μὴ ἐπιγένηται ὄμβρος, ὕδατι ἀραιῷ καὶ καθαρῷ εἰς ὄμβρου μίμησιν καταῤῥαινον τοὺς πυρωθέντας τόπους, καὶ φύσονται μύκητες, εἰ καὶ φαυλότεροι. καλλίους γάρ εἰσιν οἱ διὰ τῶν ὄμβρων τρεφόμενοι.

CAP. XLI.

Quomodo fungi fiant. Tarentini.

Populum nigram deſecato, & in plagam trunci ſtantis in terra fermentum aqua diſſolutum infundito, & ſtatim provenient fungi populnei. Si vero & ex terra fungos produci velis, elige terram montanam, raram, arundinem ferre ſolitam, & ſarmenta & omnia quæ facile comburuntur coacervata incende, cum ita nubilum aerem eſſe videris, ut imber inſtet. Sic enim ſponte naſcentur fungi. Si vero conſtructa jam pyra imber non ſuccedat, aqua pura ignitos locos rarius irrorato, ad imbris videlicet imitationem, & naſcentur fungi, quanquam deteriores. Meliores enim ſunt ab imbribus nutriti.

(a) Μύκητες αἰγειρῖται.] Dioſcor. *Lib.* 1. *Cap.* 109. Ἔνιοι δὲ ἱστοροῦσι τὸν φλοιὸν τῆς λεύκης καὶ τῆς αἰγείρου τμηθέντα εἰς λεπτὰ μεγέθη, καὶ σπαρέντα ἐν πρασιαῖς κεκοπρισμέναις, ἐν παντὶ καιρῷ μύκητας ἐδωδίμους φύειν. *De Fungis vid.* Plin. *Tom.* 4.

A R G U-

LIBER XIII.

ARGUMENTUM Lib. XIII.

HÆC inſunt in hoc libro, qui decimus tertius eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de locuſtis, & brucho, & ſcorpiis, & ſerpentibus, & ejuſmodi beſtiis venenum ejaculantibus. Inſuperque ad pulices, & cimices, & culices, & alia hujus generis animalcula noxia medelam.

(1) *Supplevi ex MSS.*

ΒΙΒΛΙΟΝ ΙΓʹ.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΓʹ.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, τρισκαιδεκάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ ἀκρίδων, καὶ βρούχου, καὶ σκορπίων, καὶ ὄφεων, καὶ τῶν τοιούτων ἰοβόλων. ἔτι δὲ καὶ πρὸς ψύλλας, καὶ κόρεις, καὶ κώνωπας, καὶ πρὸς ἕτερα τοιαῦτα λυμαινόμενα (1) θηρία θεραπείαν.

CAP. I.

De locuſtis. Democriti.

MUlta quidem a Veteribus prodita ſunt ad arcendas locuſtas. Verum ego faciliora inde ſelecta ſcribo. Si nebula locuſtarum ingruat, omnes intus deliteſcant, & præteribunt locum. Si vero, antequam hoc obſervatum ſit, derepente inſtiterint, nihil omnino contingent, ſi lupinis amaris aut cucumeribus ſylveſtribus in muria ferveſactis conſpergantur. Eveſtigio enim morientur. Similiter præteribunt ſubjectum locum, ſi captos veſpertiliones eo in loco ex altis arboribus ſuſpenderis. Si autem captas locuſtas exuſſeris, ab odore vertigine afficiuntur, & partim moriuntur, partim demiſſis alis captorem expectant, & a ſole perduntur. Hoc phyſicum eſt. Nam ſi etiam ſcorpium uſſeris, reliquos aut capies, aut fugabis. Idem & in formicis contingit, docente experientia. For-

ΚΕΦ. Α.

Περὶ ἀκρίδων. Δημοκρίτου.

ΠΟΛΛΑ μὲν τοῖς Ἀρχαίοις εἴρηται πρὸς (1) ἀποδίωξιν ἀκρίδων. ἐγὼ δὲ εὐχερέστερα ἐπιλεξάμενος γράφω. ἐὰν (a) νέφος ἀκρίδων ἐπέρχηται, πάντες ἔνδον μενέτωσαν ἀφανεῖς, καὶ παρελεύσονται τὸ χωρίον. ἐὰν δὲ, πρὶν τοῦτο παραφυλαχθῆναι, ἐξαίφνης ἐπιστῶσιν, οὐχ ἅψονται οὐδενὸς, εἰ πικρῶν θέρμων ἢ ἀγρίων σικύων ζεσθέντων σὺν ἅλμῃ καταῤῥανθῶσι. θανοῦνται γὰρ παραχρῆμα. Ὁμοίως παρελεύσονται τὴν ὑποκειμένην χώραν, ἐὰν θηράσας νυκτερίδας προσδήσῃς ταύτας ἐν τοῖς ὑψηλοῖς δένδροις τοῦ χωρίου. ἐὰν δὲ καὶ θηράσας ἐκ τῶν ἀκρίδων καύσῃς, σκοτοῦνται ὑπὸ τῆς ὀσμῆς, καὶ αἱ μὲν θνήσκουσιν, αἱ δὲ τὰ πτερὰ καθεῖσαι περιμένουσι τοὺς θηράσοντας, καὶ ὑπὸ ἡλίου διαφθείρονται. φυσικὸν ἐστι τοῦτο. καὶ γὰρ κἂν σκορπίον θηράσας καύσῃς, καὶ τοὺς λοιποὺς θηράσεις, ἢ ἀποδιώξεις. τὸ αὐτό ἐστι καὶ ἐπὶ μυρ-

(1) *Ita legend. cum* Interp. *refragantibus licet MSS. in pr. Ed. peſſime* ἀπόδειξιν.

(a) Νέφος ἀκρίδων-] *Ita* Palladius *ex* Democrito *p.* 30.

 μήκων,

μήκων, ὡς ἡ πεῖρα ἐδίδαξεν. ἴσως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων ζώων τὸ αὐτὸ συμβαίνει. Ἀποδιώξεις τὰς ἀκρίδας, ἐὰν γάρον ἐξ αὐτῶν σκευάσας βόθρους ὀρύξῃς, καὶ (2) τούτους ἐγκαταβρέξῃς τῷ γάρῳ. (3) μεθ' ἡμέρας γὰρ ἐπελθὼν εὑρήσεις αὐτὰς ἐν τοῖς βόθροις ὕπνῳ βεβαρημένας· ὅπως δὲ αὐτὰς (4) κατακτείνῃς, σοὶ μελήσει. οὐχ ἅψεται ἀκρὶς οὐδενὸς, ἀψινθίου, ἢ πράσου, ἢ κενταυρίου ὕδατι λειουμένων καὶ καταῤῥαινομένων.

taſſis autem & in aliis hujuſmodi animalibus idem contingit. Fugabis locuſtas, ſi confecto ex ipſis garo ſcrobes effoderis, eoſque garo reſperſeris. Antequam enim luceſcat ſi acceſſeris, reperies ipſas in ſcrobibus ſomno gravatas; quomodo vero ipſas perimas, tibi curandum relinquo. Nihil omnino continget locuſta ex iis quæ abſinthio, aut porro, aut centaurio aqua tritis reſperſeris.

(2) *Ex MSS. antea* ταύτας. (3) Caſaub. *& MS.* V. *melius forſan* περὶ ἡμέρας. *Vel deeſt numerus dierum.* (4) *Ita MSS. prius* ἀποκτείνειν.

ΚΕΦ. Β.

Περὶ βρούχου. Διδύμου.

Περὶ τὸ στέλεχος τῆς ἀμπέλου παρὰ τὴν ῥίζαν τρεῖς κόκκους σινήπεως χῶσον. φυτευόμενα γὰρ ταῦτα τῇ ὀδμῇ (a) τὸν βροῦχον ἀναιρεῖ.

CAP. II.

De brucho. Didymi.

Circa truncum vitis juxta radicem tria ſinapis grana obruito. Hæc enim plantata odore ſuo bruchum enecant.

(a) Τὸν βροῦχον.] H. Stephanus *in* Theſauro *V.* Βροῦκος. " Βροῦκος " *Ionibus eſt* Ἀκρίδων εἶδος, *teſte Heſychio, qui etiam addit, Cyprios vocare* " *viridem locuſtam* Βροῦχαν, *Tarentinos autem* Ἀττέλεβον, *Alios* ἀρουραίαν " μάντιν. *Apud Suid. &* Etymolog. *ſcribitur per* χ, *& exponitur* Κάμπη, " *Eruca. Sed ab iis rectius dicitur* εἶδος ἀκρίδος, *& derivatur* παρὰ τὸ " βρύχειν, τὸ ἐσθίειν, *pleonaſmo* τοῦ ο *&* τροπῇ τοῦ κ, *quaſi* βρύκος, *non in-* " *epte. Nam &* μάσταξ σιτοβόρος *Nicandro vocatur,* παρὰ τὸ μασᾶσθαι, " *referente & Clitarcho, Ampraciotarum dialecto* μάστακα *appellari* τὴν " ἀκρίδα.

ΚΕΦ. Γ.

Περὶ γαλῶν. Ἀφρικανοῦ.

Ἅλας ἀμμωνιακὸν βρέξον, καὶ σῖτον σύμβρεξον, καὶ ταῦτα παρὰ τοὺς τόπους ὅπου πυκνῶς διέρχονται διάσπειρον· ἢ γὰρ τεθνήξονται φαγοῦσαι, ἢ φεύξονται. Φασὶ δὲ, ὅτι εἴ τις θηράσας μίαν ἐξ αὐτῶν τὴν οὐρὰν ἢ τοὺς ὄρχεις ἀποκόψῃ, καὶ ζῶσαν ἐάσῃ, μὴ εὑρεθήσεσθαι αὐτὰς λοιπὸν ἐν ἐκείνῳ τῷ χωρίῳ.

CAP. XII.

De muſtelis. Africani.

Salem ammoniacum & frumentum ſimul macerato, & hæc juxta locum ubi frequenter diſcurrunt diſſeminato: aut enim his comeſtis morientur, aut fugabuntur. Aiunt autem, quod ſi quis capta una ex ipſis, caudam aut teſticulos ejus amputet, vivamque dimittat, de cætero non amplius ipſas repertum iri in illo loco.

CAP. IV.

De muribus domeſticis. Paxami.

MUres enecantur, veratro cum polenta objecto, aut ſylveſtris cucumeris ſemine cum veratro nigro, & colocynthide, & polenta. Si vero calacanthum, & origanum, & apii ſemen, & nigella ſuffumigetur, fugabuntur. Si vero cinerem quercinum cavernæ appoſueris, cinere reſperſi ſcabie infeſtantur & necantur. Si ferri ramenta lima detrita fermento admixto depoſueris ubi abundant, iis guſtatis morientur. Si libeat mures excæcare, tithymallum contuſum & cum polenta ac vino mulſo mixtum ipſis appone, ubi enim ederint, excæcabuntur. Anatolius autem & Tarentinus, in libro de horreo, ad domeſticos mures perdendos iiſdem uſi ſunt medicamentis. Si vero uno apprehenſo caput ipſius excoriaveris, & dimiſeris, reliqui fugabuntur. Pereunt etiam rubi radice, cum butyro paneque ac caſeo mixto, guſtata. Quidam veratrum album & cynocrambes corticem tuſum & cribratum, cum polenta & ovis & lacte, in maſſam redigunt, eamque cavernis ipſorum immittunt. Mures fu-

ΚΕΦ. Δ.

Περὶ μυῶν κατοικιδίων. Παξάμου.

ΟΙ μύες ἀναιροῦνται, ἐλλεβόρου μετὰ ἀλφίτων παραβληθέντος, ἢ σικύων ἀγρίων (1) τὸ σπέρμα μετὰ ἐλλεβόρου μέλανος, καὶ κολοκυνθίδος, καὶ ἀλφίτων. (a) καλακάνθου δὲ καὶ ὀριγάνου, καὶ σελίνου σπέρματος, καὶ μελανθίου θυμιωμένου, φεύξονται. ἐὰν δὲ κονίαν δρυΐνην παραθῇς τῇ τρυμαλιᾷ, (2) κονιαζόμενοι ψωριῶσι καὶ ἀναιροῦνται. ἐὰν ῥίνημα σιδήρου μίξας μετὰ ζύμης ἀπόθοιο ὅπου πλεονάζουσι, γευσάμενοι ἀπολοῦνται. εἰ δὲ θέλεις (3) τυφλῶσαι τοὺς μῦς, τιθύμαλλον κόψας μετὰ ἀλφίτων καὶ οἰνομέλιτος μίξας παράθου αὐτοῖς· φαγόντες γὰρ τυφλωθήσονται. ὁ δὲ Ἀνατόλιος καὶ Ταραντῖνος, ἐν τῷ περὶ σιτοβόλου, περὶ τῆς τῶν κατοικιδίων μυῶν φθορᾶς τοῖς αὐτοῖς κέχρηνται φαρμάκοις. Ἐὰν δὲ ἕνα πιάσας ἐκδείρῃς αὐτοῦ τὴν κεφαλὴν, καὶ ἀπολύσῃς, οἱ λοιποὶ φεύξονται. καὶ βάτου ῥίζης, μετὰ βουτύρου καὶ ἄρτου καὶ τυροῦ μιγέντος, γευσάμενοι ἀπόλλυνται. τινὲς δὲ ἐλλέβορον λευκὸν καὶ κυνοκράμβης φλοιὸν κοπέντα καὶ σησθέντα, σὺν ἀλφίτοις καὶ ᾠοῖς καὶ γάλακτι μάζαν ποιήσαντες, εἰς τὰς τρυμαλίας αὐτῶν ἐμβάλλουσι. Μύες φεύξονται, (b) αἱμα-

(1) *Conſtructioni melius conſuletur, ſi legamus* τοῦ σπέρματος.

(a) Καλακάνθου-] Καλακάνθη *herba* Græcis *recentioribus eſt, quæ* Vett. γλαύκιον *dicebatur.* Gloſſæ Medicæ *a* Salmaſio *cit.* Γλαύκιον, τὸ καλακάνθιον. In aliis; Γλαύκιον, ἤτοι καλάκανθα. *Atramentum Sutorium* Latinis *dictum, eſt* τὸ χάλκανθον, Eodem *obſervante, pro quo* χαλκάνθην *&* καλακάνθην *infima* Græcia *dixit. Scholiaſtes* Nicandri *in* Theriacis *ad Vs.*-- ἄνθεσιν εἴσατο χαλκοῦ. Σχολ. Καλκάνθην, ἣν νῦν φασι Καλακάνθην. *De Chalcantho metallico agitur. De Glaucio, ſive* Καλακάνθα *herba, vid.* Dioſcoridem *Lib.* 3. *Cap. C.*

(2) *Emend. ex MSS. prius* κωνιαζόμενος. (3) *Ita MSS. &* Interp. *ante* τυφλῶσαι.

(b) Αἱματίτου λίθου-] *Vid.* Dioſcor. *Lib. V. Cap.* 144. Plinius *ait,* Sotacum *ex vetuſtiſſimis auctoribus quinque genera Hæmatitarum enumerare, præter magnetem, e quibus primas tribuit* Æthiopico.

πίτου λίθου θυμιωμένου, καὶ μυρίκης χλωρᾶς καπνιζομένης. Ἀνατόλιος δέ φησι, βαλὼν εἰς λεκάνην χαλκῆν ἀμόργην, καὶ ἐν μέσῳ τοῦ οἴκου ἀποθέμενος νυκτὸς, πάντας τοὺς μύας συνάξεις. ἐν τοῖς ἄλλοις ὡς ὁ Δίδυμος καὶ αὐτός.

gantur hæmatitæ lapidis ſuffitu, & myrica viridi ſuffumigata. Anatolius autem amurcam in pelvim æream infundere jubet, & in media domo noctu deponere, eoque facto omnes mures congregari aſſerit. In aliis autem & ipſe ſentit, ut Didymus.

ΚΕΦ. Ε.

Περὶ μυῶν ἀρουραίων. Ἀπουληΐου.

CAP. V.

De muribus ruſticis. Apuleii.

Ἀπουλήϊος παραινεῖ (1) χολὴν βοείαν ἀλείφειν τὰ σπέρματα, καὶ οὐχ ἅψονται τούτων οἱ μύες. ἄμεινον δὲ ἐν ταῖς ὑπὸ κύνα ἡμέραις (2) κωνείου σπέρμα μετ' ἐλλεβόρου, καὶ μετ' ἀλφίτων, ἢ σικύου ἀγρίου, ἢ ὑοσκυάμου, ἢ ἀμυγδάλων πικρῶν, καὶ ἐλλεβόρου μέλανος συγκόψαι, καὶ ἐξ ἴσου συμμίξαι ἀλφίτοις, καὶ ἐλαίῳ φυρᾶσαι, καὶ παραθεῖναι ταῖς ὀπαῖς τῶν ἀρουραίων μυῶν. γευσάμενοι γὰρ ἀπολοῦνται. Οἱ δὲ κατὰ Βιθυνίαν ἔμπειροι (a) ῥοδοδάφνης (3) φύλλα εἰς τὰς ὀπὰς ἐμφράττουσιν, ὥστε αὐτοὺς ἐξιέναι σπεύδοντας τοῖς ὀδοῦσιν ἅπτεσθαι. ἁπτόμενοι γὰρ διαφθείρονται. Λαβὼν χάρτην ἔγγραψον εἰς αὐτὸν ταῦτα, Ἐξορκίζω μῦς τοὺς ἐνταῦθα καταλαμβανομένους, μή με ἀδικήσητε αὐτοὶ, μήτε ἄλλον ἐάσητε· δίδωμι γὰρ ἀγρὸν ὑμῖν τόνδε (καὶ λέγεις ποῖον)· εἰ δὲ ὑμᾶς ἔτι ὧδε ὄντας

Apuleius monet bubulo felle ſemina illinenda eſſe, ut mures ipſa non arrodant. Melius eſt autem in diebus canicularibus cicutæ ſemen cum veratro & polenta, aut ſylveſtris cucumeris, aut hyoſcyami, aut amygdalarum amararum, & veratri nigri pares portiones contuſas farinæ miſcere, & oleo ſubigere, & cavernis murium ruſticorum apponere. His enim guſtatis morientur. Qui vero in Bithynia rerum experti ſunt, rhododaphnes foliis foramina obſtruunt, quo mures prodire geſtientes illa dentibus attingant. Ex contactu enim enecantur. Chartam accipe, & in ipſam hæc ſcribe, Adjuro mures omnes hic prehenſos, ne me injuria afficiatis ipſi, neque alium ſinatis; do enim vobis agrum hunc (& nominas qualem): Si vero vos deinceps hic deprehendero,

(1) *Potius* χολῇ βοείᾳ, *ſed MSS. ut in textu.* (2) *Emend. & ſupplevi ex MSS. antea* κωνίου... ἐλλεβόρου, ἢ σικύου.

(a) Ῥοδοδάφνης-] Palladius *p.* 30. "*Nonnulli rhododaphnes foliis aditus murium claudunt, qui roſis his, dum in exitu nituntur, intereunt. De Rhododaphne* Dioſcor. *Lib.* 4. *Cap.* 82. Νήριον, οἱ δὲ ῥοδοδάφνην, οἱ δὲ ῥοδόδενδρον,--. *Et* Plinius *paulo uberius* Tom. 3. *p.* 255. "*Rhododendron, ut nomine apparet, a Græcis venit: Alii Nerion vocarunt, alii Rhododaphnen; ſempiternum fronde, roſæ ſimilitudine, caulibus fruticoſum. Jumentis Capriſque & Ovibus venenum eſt. Idem Homini contra ſerpentium venena remedio.* Dioſcorides *ſcribit, pene omnibus quadruped. lethalem eſſe.*

(3) *Ita MSS. prius* φύλλοις τὰς----

per Deorum matrem, diſtraham vos in ſeptem partes. Hæc ubi conſcripſeris, chartam in loco, ubi mures ſunt, ante ſolis ortum agglutinato (ita ut literæ foras proſpectent) ad lapidem ſponte naturæ productum. Hoc a me propterea ſcriptum eſt, ne videar quid omittere. Non probo autem omnia hujuſmodi, abſit. Imo omnibus idem conſulo, ne ulli talium riſu dignorum animum advertant.

καταλάβω, παραλαβὼν τὴν Θεῶν τὴν μητέρα, διαιρήσω ὑμᾶς εἰς μέρη ζ. ταῦτα γράψας κόλλησον τὸν χάρτην ἐν τῷ χωρίῳ, ἔνθα εἰσὶν οἱ μύες, πρὸ ἀνατολῆς ἡλίου (τὰ δὲ γράμματα ἔξω βλεπέτω) πρὸς αὐτοφυῆ λίθον. (b) Τοῦτό μοι γέγραπται, διὰ τὸ μὴ δοκεῖν τι παραλιμπάνειν. οὐ δέχομαι δὲ πάντα τὰ τοιαῦτα, μὴ γένοιτο. καὶ πᾶσι τὰ αὐτὰ συμβουλεύω, ὥστε μὴ προσέχειν μηδενὶ τούτων γέλωτος (4) ἀξίῳ.

(b) Τοῦτό μοι γέγραπται-] *Hæc ſunt* Compilatoris *verba, qui iterum Lectores monet, ne eum tam ridiculæ ſuperſtitionis poſtulent.*

(4) *MS.* V. *&* Interp. ἀξίων.

CAP. VI.

De fele. Sotionis.

Felis avem nullam contingit, ſi ſub alam ipſius ruta ſylveſtris ſuſpendatur.

ΚΕΦ. ϛ.

Περὶ αἰλούρου. Σωτίωνος.

Αἴλουρος ὄρνιθος οὐχ ἅπτεται, ἐὰν κρεμασθῇ ὑπὸ τὴν πτέρυγα αὐτῆς ἄγριον πήγανον.

CAP. VII.

De talpis. Paxami.

Si talpas perdere velis, veratrum album & cynocrambes corticem tuſa & cribrata, cum farina & ovis in vino & lacte macerata ac ſubacta, in maſſas cogito, eaſque cavernis ipſorum immittito. Aut in nucem, ſive aliud ejuſmodi vas anguſtum, paleas & cedriæ quod ſatis eſt ac ſulphur injice, & in loco ubi talpa habitat, parvas quidem cavernas obtura, ne per ipſas fumus exiliat, in majorem vero, per quam ſpiritus ingredietur, infernam nucis partem ponito, & quodam modo ad cavernam aptato, quo facto inſufflato, ut per fumum omnis cedriæ

ΚΕΦ. Ζ.

Περὶ ἀσπαλάκων. Παξάμου.

Εἰ θέλεις τοὺς ἀσπάλακας διαφθεῖραι, ἐλλέβορον λευκὸν καὶ κυνοκράμβης φλοιὸν κοπέντα καὶ σησθέντα, σὺν ἀλφίτοις τε καὶ ᾠοῖς δευθέντα εἰς οἶνον καὶ γάλα, μάζαν ποιητέον, καὶ εἰς τὰς τρυμαλιὰς αὐτῶν ἐμβλητέον. εἰς (a) καρυΐνην, ἤ τι ἄλλο τοιοῦτον σκεῦος στενὸν, ἔμβαλλε ἄχυρα καὶ (1) κεδρίας τὸ ἀρκοῦν καὶ θεῖον, καὶ εἰς τὸν τόπον ἔνθα ὁ ἀσπάλαξ κατοικεῖ τὰς μὲν λοιπὰς τρυμαλιὰς τὰς μικρὰς φράξον, ἵνα μὴ δι' αὐτῶν ἐξέρχηται ὁ καπνὸς, κατὰ δὲ τῆς μείζονος, δι' ἧς τὸ πνεῦμα εἰσρυήσεται, θεὶς τὸ κάτω τῆς καρυΐνης, καὶ τρόπον τινὰ συναρμόσας τῇ ὀπῇ φύσα, ὥστε διὰ τοῦ

(a) Καρυΐνην-] *Vid.* Pallad. *p.* 30.

(1) *Ita legend. prius* κεδρίας.

καπνοῦ πᾶσαν τὴν τῆς (b) κεδρίας καὶ τοῦ θείου ὀσμὴν εἰσρυῆναι, καὶ ἀποπνίξαι τὸν ἀσπάλακα· καὶ οὕτως ἑκάστου ἀσπάλακος τὸν φωλεὸν περιελθὼν, καὶ τὸ αὐτὸ ποιήσας, πάντας διαφθείρεις.

ac ſulphuris odor illabatur, & talpam ſuffocet: atque hoc modo ſingularum talparum latebras circumito, idemque facito, atque omnes perdas.

(b) Κεδρίας-] Palladius ceram *habet, pro* cedriam, *quæ eſt Cedri arboris ſuccus, vel potius primus ſudor aquæ modo fluens, dum Cedrus comburitur. Propter inſignem in ſervandis defunctorum corporibus virtutem, quibuſdam* (inquit Dioſcor.) νεκρῶν ζωὴ *dicta fuit.*

ΚΕΦ. Η.

Περὶ ὄφεων. Φλωρεντίνου.

Ὄφεις οὐκ ἔσονται ἐν χωρίῳ, ἐὰν ἀψίνθιον ἢ ἀρτεμισίαν ἢ ἀβρότονον περὶ τὴν ἔπαυλιν φυτεύσῃς. τοὺς δὲ ὄντας ἐλάσεις, ἐὰν κρίνου ῥίζαν, ἢ κέρας ἐλάφειον, ἢ ὄνυχας αἰγὸς θυμιάσῃς. πᾶν δὲ ἑρπετὸν ἀπελάσεις, εἰ ὀπὸν, καὶ μελάνθιον, καὶ (a) χαλβάνην, καὶ ἐλάφου κέρας, καὶ ὕσσωπον, καὶ θεῖον, καὶ πύρεθρον, καὶ πευκέδανον, καὶ ὄνυχας αἰγὸς κόψας καὶ μίξας, εἶτα λεάνας, καὶ παραχέας ὄξος δριμὺ, σφαιρία μικρὰ ποιήσας θυμιάσῃς. καὶ καθ' ἓν δὲ αὐτῶν ἕκαστον θυμιώμενον ἐξελαύνει τὰ ἑρπετά. Φασὶ δέ τινες, τὸν τῆς ῥοιᾶς κλάδον ἄθηρον εἶναι, διὰ τοῦτο καὶ ἐν ταῖς στιβάσιν ἀξιοῦσιν αὐτὸν παρατίθεσθαι, ἀσφαλείας ἕνεκεν. ὄφεις δὲ περιστερῶνι οὐκ ὀχλήσουσιν, ἐὰν ἐν ταῖς τέτταρσι γωνίαις ἐπιγράψῃς Ἀδάμ· ἐὰν δὲ ἔχῃ θυρίδας, καὶ ἐν αὐταῖς. Δημόκριτος δέ φησιν, ὄφιν μὴ κινεῖσθαι, ἴβεως πτεροῦ ἐπιρριφθέντος αὐτῷ, θνήσκειν δὲ, δρυὸς φύλλων ἐπιβληθέντων αὐτῷ, καὶ ἀσίτου τινὸς εἰς τὸ στόμα αὐτοῦ (b) ἐμπτύσαντος. Ἀπουλήϊος δέ φησι, τὸν ὄφιν κα-

CAP. VIII.

De ſerpentibus. Florentini.

SErpentes in regione non erunt, ſi abſinthium aut artemiſiam aut abrotonum circa prædium ac villam plantaveris. Qui vero jam ſunt, abigentur radicis lilii, aut cornu cervini, aut ungularum caprinarum ſuffitu. Omne autem reptile fugabis, ſi laſeris ſuccum, & nigellam, & galbanum, & cervi cornu, & hyſſopum, & ſulphur, & pyrethrum, & peucedanum, & ungulas caprarum contuderis & miſcueris, deinde triveris, & acetum acre affuderis, factiſque inde pilulis parvis fumum & vaporem excitaveris. Sed & ſingula ex ipſis ſeorſim ſuffita reptilia exterminant. Quidam produnt, punicæ ramum beſtias venenatas & ſerpentes fugare, & ideo ipſum in ſtragulis ponere dignantur, ſecuritatis gratia. Serpentes columbaria non infeſtabunt, ſi in quatuor angulis inſcripſeris Adam; quod ſi feneſtras habeant columbaria, etiam in ipſis inſcribe. Democritus tradit, ſerpentem non moveri, ibidis penna ipſi injecta, mori autem, quercus foliis ipſi injectis, & ſi quis jejunus in os ejus inſpuat. Apuleius ait, ſerpentem arundine ſemel per-

(a) Χαλβάνην,-] *Ita etiam* Maro; " Diſce & odoratam ſtabulis incendere cedrum, " Galbaneoque agitare graves nidore chelydros. *Vid. quæ ſuperius adnotav. ad* Lib. 5. Cap. 48.

(b) Ἐμπτύσαντος-] Plinius *Tom.* 4. *p.* 570. " *Opilius tradit ſerpentes* " *rumpi, ſi quis in hiatum earum exſpuat.*

cuſſum

cuſſum obtorpere, ſæpius autem, corroborari. Idem tradit, ſerpentem cavernam ſubeuntem, ſi quis ipſius caudam ſiniſtra manu apprehendat, facile extrahi, verum dextra id fieri non poſſe. Non enim remittit tractus, ſed aut effugit, aut abrumpetur. Tarentinus ait, ad hominem oblitum ſucco dracunculi ſerpentem non accedere, neque ad eos qui obliti ſunt ſucco aut ſemine raphani; &, ſi geſtaverint tantum, nulla injuria affici. Eos vero, qui a ſerpente morſi ſunt, radicem roſæ alligatam ſervare. Florentinus ait, ſerpentem non accedere ad locum ubi jacet cervi adeps, aut centaureæ radix, aut gagates lapis, aut dictamnus, & aquilæ aut milvi ſtercus. Eadem mixta cum ſtyrace, & ſuffita, reptilia abigunt. Morſis a vipera ſuccum foliorum fraxini præbibendum dato, ex vino

λάμῳ ἅπαξ πληγέντα ναρκᾷν, πλεονάκις δὲ, ῥώννυσθαι. ὄφιν εἰς ὀπὴν καταδυόμενον, εἰ μέν τις τῇ ἀριστερᾷ χειρὶ ἐπιλάβηται τῆς οὐρᾶς, ῥᾳδίως αὐτὸν ἐξελκύσει, τῇ δὲ δεξιᾷ μὴ δύνασθαι. οὐ γὰρ συνδίδωσιν ἑλκόμενος, ἀλλ' ἢ ἀποφεύγει, ἢ ἀποκοπήσεται. Ταραντῖνος δέ φησι, τῷ χριομένῳ χυλῷ δρακοντείας βοτάνης ὄφιν μὴ προσιέναι, μηδὲ τοῖς χρισαμένοις χυλῷ ἢ σπέρματι ῥαφάνου· κἂν βαστάζωσι μόνον, μὴ ἀδικεῖσθαι. τοὺς δὲ ὀφιοδήκτους ῥίζαν ῥόδου περιαφθεῖσαν σώζειν. Φλωρεντῖνός φησιν, ὄφιν μὴ προσιέναι ἔνθα κεῖται ἐλάφου στέαρ, ἢ (1) κενταυρίου ῥίζα, ἢ γαγάτης λίθος, ἢ (c) δίκταμνος βοτάνη, καὶ ἀετοῦ ἢ ἰκτίνου κόπρος. μιγέντα μετὰ (d) στύρακος, καὶ θυμιώμενα, ἀπελαύνει ἑρπετά. τοὺς ἐχιοδήκτους προπότιζε χυλῷ φύλλων μελίας, οἴνῳ μὲν (2) ἀπυρέκτους, πυρέττοντας δὲ

(1) *Sic cum* Interp. *legend. ante* κενταύρου.

(c) Δίκταμνος-] *Dictamnus, aliquibus Pulegium ſylveſtre,* Cretæ *proprius, foliis lanoſa pube obductis.* Plinius *&* Dioſcor. *negant florem aut ſemen proferre, ſed* Damocrates *apud* Galen. *&* Virgil. Æneid. 12. *florum meminerunt.* Theophr. *H.P.* Lib. *IX.* Cap. 16. *negat ramulis aut fructu medicos uti, unde forſan error* Plinii *&* Dioſc. *nullos habere aſſerentium.* Dioſcorides *ait*——Τοιαύτη τῆς βοτάνης ἡ δύναμις, ὡς καὶ ὀσφραινομένην διώκειν, καὶ προσαπτομένην ἀναιρεῖν τὰ ἰοβόλα θηρία.

(d) Στύραξ-] *Tria ſtyracis genera memorant Vett. & recentiores* Medicorum *filii.* Λιπαρὸς στύραξ, *qui &* στακτὴ στύρακος, *liquor eſt melleus, pinguis ac reſinoſus, quem flavus ſtyrax emittit, ſi manu prematur. Hic eſt optimus.* Στύραξ καλαμίτης, *qui, eroſo intus a vermibus arboris ligno, poſtea egeritur, & virgulis exenteratis adhærens concreſcit, quæ arundinibus non abſimiles: Inde & nomen. Hic ſecundas tenet. Tertius iſtis deterior* χυματίας *vocatur, quod excavato arboris trunco ſcobe mixta efflueret, & circa radicem accumularetur;* Strabo *de ſtyracis arbore ſuccum huncce* χυματίαν *effundente,* Τὸ μὲν πρῶτον (inquit) πιτύρσις ἢ πρίσμασιν ἐοικός τι ψῆγμα προχεῖ, καὶ σωρὸς συνίσταται πρὸς τῇ ῥίζῃ. *Laudatiſſimum ſtyracem dedere, teſte* Plinio, Syria, *circa* Marathunta *&* Caſium Seleuciæ *montem,* Piſidia, Cyprus, *&* Pamphylia. Plinius *Tom.* 3. *p.* 33. " *Styracem &* " *ad ſerpentes fugandas urunt Sabæi, in odoriferis ſilvis frequentiſſimas. Plura vid. apud* Dioſc. *Lib.* 1. *Cap.* 79. Plinium *Tom.* 3. *&* Salm. *de Homonymis Hyles Iatricæ* Cap. 97.

(2) *An legend. ex MS.* Barocc. *&* Athenæo *Lib.* 2. ἀπυρέτους.

εὐκράτῳ

(3) εὐκράτῳ, τοῖς φύλλοις τοῖς ἐκθλιβεῖσι καταχρίε τὸ δῆγμα. τῇ ἀσπίδι προσένεγκε (4) ἁλικακάβου ῥίζαν, καὶ ὑπνώσει. τρίβολον βοτάνην λειώσας ὕδατι, καὶ τὴν τρίβολον αὐτὴν τῇ ὀπῇ ἐνθεὶς, διώξεις τοὺς ὄφεις. ἐὰν κεράμια ταριχηρὰ περὶ τὴν ἔπαυλιν καταχωσθῇ, πᾶν ἑρπετὸν εἰς αὐτὰ ἐμπεσεῖται. σὺ δὲ βύσας ἀσφαλῶς ἔξω τῶν ὅρων καύσεις.

quidem febre carentibus, febricitantibus vero ex vino diluto, foliis vero expreſſis morſum inungito. Aſpidi halicacabi radicem admove, & ſopor eam occupabit. Tribulum aqua terito, & ipſum in cavernam trude, & ſerpentes fugabis. Si dolia ſalſamentis tincta circa prædium defodiantur, omne reptile in ipſa illabetur. Tu vero probe obturata extra fines ipſa exures.

(3) *Emend. ex MSS. prius male* ἀκράτῳ. (4) *Ita MSS. ante* ἀλυκακάβου, *&* *bis* τρίβωλον.

ΚΕΦ. Θ.

Περὶ σκορπίων. Διοφάνους.

Ἐὰν σκορπίον ἕνα θηράσας καύσῃς, καὶ οἱ λοιποὶ σκορπίοι φεύξονται. εἰ δέ τις χυλῷ ῥαφανίδος ἐπιμελῶς τὰς χεῖρας τὰς ἑαυτοῦ χρίει, ἀφόβως καὶ ἀκινδύνως σκορπίων καὶ τῶν λοιπῶν ἑρπετῶν (1) ἐπιλήψεται. αἱ δὲ ῥαφανίδες σκορπίοις ἐπιτεθεῖσαι παραχρῆμα αὐτοὺς διαχρῶνται. τὴν δὲ ἀπὸ σκορπίου πληγὴν θεραπεύσεις ἀργυρῷ δακτυλιδίῳ τὸν τόπον σφραγίζων. (a) σανδαράχη μετὰ χαλβάνης καὶ βουτύρου ἢ αἰγείου στέατος θυμιωμένη σκορπίους καὶ πᾶν ἑρπετὸν ἐκδιώξει. εἰ δέ τις σκορπίον αὐτὸν εἰς ἔλαιον ἑψήσει, καὶ τοῦ πληγέντος ὑπὸ σκορπίου ἀλείψει τὸν τόπον, παύσει (2) τὴν ἀλγηδόνα. Ἀπουλήιος δέ φησι, τὸν πληγέντα ὑπὸ σκορπίου ὑπὲρ ὄνου (3) καθίσαι πρὸς τὴν οὐρὰν ἐστραμμένον, καὶ τὸν ὄνον ἀλγεῖν ὑπὲρ αὐτοῦ καὶ πέρδεσθαι. Δημόκριτός φησι, τὸν πληγέντα ὑπὸ σκορπίου, καὶ εὐθέως εἰπόντα τῷ ὄνῳ, σκορπίος με ἔπληξεν, οὐκ ἀλγήσειν, τῆς ἀλγηδόνος εἰς τὸν ὄνον μεταβαινούσης. ἀντιπάθειαν ἔχει ὁ ἀσκαλαβώτης πρὸς τὸν σκορπίον·

CAP. IX.

De ſcorpiis. Diophanis.

Si ſcorpium unum captum combuſſeris, etiam reliqui fugabuntur. Si quis autem raphani ſucco manus ſuas diligenter illinat, intrepide & citra periculum ſcorpios ac reliqua reptilia apprehendere poteſt. Ipſi vero raphani ſcorpiis impoſiti ſtatim ipſos interficiunt. Scorpii ictum ſanabis, argentei annuli ſigillo loco impreſſo. Sandaracha cum galbano & butyro ſive adipe caprino ſuffita ſcorpios & omnia reptilia fugabit. Si quis ſcorpium ipſum in oleo coquat, & locum a ſcorpio ictum inungat, dolorem tollet. Apulcius jubet, ictum a ſcorpio ſuper aſinum ſedere ad caudam converſum, & aſinum pro ipſo dolere ait ac pedere. Democritus ait, ictum a ſcorpio, & ſtatim loquutum ad aſinum, A ſcorpio ictus ſum, non doliturum, dolore nimirum in aſinum tranſeunte. Naturalem contrarietatem habet ſtellio adverſus ſcorpium:

(1) *Sic legend. prius* ἐπιλήψεσθαι.
(a) Σανδαράχη] *Vid. quæ adnotav. ad* Cap. 19. Libri *ſexti.*
(2) *In MSS.* τῆς ἀλγηδόνος. (3) *Ita MSS.*

Si

Si igitur quis ſtellione in oleo liquefacto, ipſo oleo ictum inungat, a dolore ipſum liberat. Idem tradit, roſæ radicem alligatam a ſcorpio ictos ſanare. Plutarchus nucem avellanam lectulorum pedibus alligat, ut ſcorpius ad ipſos non accedat. Zoroaſtres ait, lactucæ ſemen cum vino potatum a ſcorpio ictos ſanare. Florentinus prodit, quod ſi quis in plagam recens icti fici ſuccum inſtillet, venenum non ulterius progreſſurum eſſe. Et ſi ictus ſcillam ederit, illæſus manebit, inſuperque ſcillam ſapore dulcem eſſe confitebitur. Tarentinus ait, eum, qui teneat ſideritidem, vivos ſcorpios tenere poſſe, ita ut ab ipſis nulla injuria afficiatur.

ἐὰν οὖν τις (4) εἰς ἔλαιον τήξας τὸν ἀσκαλαβώτην ἐκ τοῦ ἐλαίου χρίσῃ τὸν πληγέντα, ἀπαλλάσσει τῆς ὀδύνης. ὁ Αὐτὸς δέ φησι, τοὺς σκορπιοδήκτους ῥίζαν ῥόδου περιαφθεῖσαν ἰᾶσθαι. Πλούταρχος λεπτοκάρυον προσάπτει τοῖς κλινόποσιν, εἰς τὸ μὴ προσιέναι τὸν σκορπίον (5) αὐτοῖς. Ζωροάστρης φησὶ, (6) τὸ θρίδακος τὸ σπέρμα μετὰ οἴνου ποθὲν ἰᾶσθαι τοὺς σκορπιοδήκτους. Φλωρεντῖνός φησιν, ἐάν τις τῇ πληγῇ τοῦ ἄρτι πληγέντος (b) συκῆς ὀπὸν ἐπιστάξῃ, τὸν ἰὸν μὴ προβήσεσθαι πόῤῥω. ἢ κἂν ὁ πληγεὶς σκίλλαν φάγῃ, οὐ βλαβήσεται, ἀλλὰ καὶ τῇ γεύσει τὴν σκίλλαν γλυκεῖαν εἶναι λέξειε. Ταραντῖνος δέ φησι, (c) τὸν κρατοῦντα σιδηρῖτιν βοτάνην ζῶντας κρατεῖν σκορπίους, μὴ βλαπτόμενον ὑπ' αὐτῶν.

(4) *Hanc lacunam ſupplevi ope MSS. &* Interp. *in pr. Ed.* τις ἐκ οὐ---. (5) Caſaub. Interp. *& MS.V. hæc adjungebant,*--- αὐτοῖς. Φησὶ γὰρ τῷ λεπτοκαρύῳ μὴ προσιέναι τὸν σκορπίον. *In cæteris autem MSS. non comparent, cum ſuperflua ſint.* (6) *Ex MS.* Barocc.

(b) Συκῆς ὀπὸν-] Plin. *Tom.* 4. *p.* 279. " *Lactis ficulni natura adverſatur crabronum, veſparumque, & ſimilium venenis, privatim ſcorpionum.*

(c) *De Sideritidis generibus plura habent* Dioſcor. *Lib.IV. &* Plinius *Tom.IV. pag.* 387. *&* 409. *Hunc autem locum reſtitui auctor. MSS. in pr. Ed.* σιδηρίτην ... ἐάν τις κρατῇ.

CAP. X.

De formicis. Paxami.

SI formicas captas uſſeris, reliquas formicas fugabis, quod experientia conſtat. Si cedriam circum cavernas obleveris, formicæ aream non ingredientur. Formicæ acervum frugum non attingent, ſi terra alba acervum circumſcripſeris, aut ſylveſtre origanum circumpoſueris. Expelles formicas ex cavernis ſuis, ſi cochlearum tegmina, hoc eſt teſtas, cum ſtyrace uſſeris, & contuſa in

ΚΕΦ. Ι.

Περὶ μυρμήκων. Παξάμου.

ἘΑν μύρμηκας θηράσας καύσῃς, ἀποδιώξεις τοὺς λοιποὺς μύρμηκας, ὡς ἡ πεῖρα ἐδίδαξεν. ἐὰν κεδρίαν παραχρίσῃς περὶ τὰς τρώγλας, μύρμηκες εἰς τὸ ἁλώνιον οὐκ εἰσελεύσονται. μύρμηκες σωροῦ γεννήματος οὐχ ἅπτονται, ἐὰν τὸν σωρὸν γῇ λευκῇ περιγράψῃς, ἢ ἄγριον ὀρίγανον (1) περιθῇς. ἐξελάσεις δὲ τοὺς μύρμηκας τῶν ὀπῶν, ἐὰν κοχλιῶν σκεπάσματα, τουτέστι τὰ ὄστρακα, μετὰ στύρακος καύσῃς, καὶ κόψας (2) ἐμπάσῃς εἰς τὰς μυρμηκιάς. ὁμοίως μύρμηκας ἀπελα-

(1) *Præced. voculam* ἐὰν *delendam ſuadebat MSS. conſenſus.* (2) *Emend. ex MS.* Bar. *prius male* ἐμβιβάσῃς.

περὶ

πρὸς ὀρίγανον καὶ θεῖον λειώσας, καὶ περὶ τὰς μυρμηκιὰς (3) περιπάσας. μύρμηκες παντελῶς ἀπολοῦνται, ἐὰν ὀποῦ Κυρηναϊκοῦ διαχέας ἐλαίῳ ἐπιχέῃς ἐπὶ τὴν μυρμηκιάν. Μύρμηκες οὐχ ἅψονται φυτῶν, ἐὰν τὰ στελέχη καταχρίσῃς θέρμοις πικροῖς μετὰ ἀμόργης τετριμμένοις, ἢ ἀσφάλτῳ μετὰ ἐλαίου τετριμμένῃ, ἢ ἑψημένῃ. μύρμηκες οὐχ ἅψονται μελιτηροῦ ἀγγείου, (4) κἂν ἀπώμαστον τύχῃ εἶναι τὸ ἀγγεῖον, ἐὰν λευκῷ (5) ἐρίῳ αὐτὸ περιστέψῃς, ἢ λευκῇ γῇ ἢ μίλτῳ ἐὰν περιγράψῃς. Τινὲς ὀπὸν ὄξει διέντες τὰ στελέχη ἐπαλείφουσι, καὶ εἰς τὰς ὀπὰς αὐτῶν ἐγχέουσιν. ἐὰν τὰ στελέχη τῶν ἀμπέλων κισσῷ δασεῖ περιδήσωμεν, εὑρεθήσονται μετ᾽ ὀλίγον οὐ μόνον οἱ μύρμηκες, ἀλλὰ καὶ οἱ κάνθαροι, ὑπὸ τὴν τοῦ κισσοῦ σκιάν, εὐάλωτοι πρὸς ἀναίρεσιν. Ἀπόλλυνται δὲ παντελῶς οἱ μύρμηκες, τῆς ῥίζης τοῦ ἀγρίου σικύου καπνιζομένης, ἢ (a) σιλούρου, μάλιστα Ἀλεξανδρίνου, θυμιωμένου μαλακῇ πυρᾷ. ἑνὸς δὲ ἀναιρεθέντος μύρμηκος, οἱ ἄλλοι φεύξονται τὸν φωλεόν. εἴ τις κόκκον σίτου βασταζόμενον ὑπὸ μύρμηκος τῷ ἀντίχειρι τῆς ἀριστερᾶς χειρὸς λαβὼν εἰς δέρμα φοινικοῦν ἐμβάλῃ, καὶ περιάψῃ τῇ κεφαλῇ τῆς γυναικός, ἀτόκιον ἔσται τῇ φορούσῃ. μυρμήκων δὲ καυθέντων, ὑπὸ τῆς ὀσμῆς καὶ οἱ λοιποὶ φεύξονται. ἤκουσα, ὡς καὶ ἀποθανόντα μύρμηκα ἕτερος φέρει ἐπὶ τῶν ὤμων μύρμηξ. εἴρξεις τοὺς μύρμηκας χολὴν ταυρείαν καὶ πίσσαν μετὰ ἀμόργης μίσγων, καὶ χρίων τὸ σπέρ-

cavernas ipſarum conſperſeris. Similiter expelles formicas, origano & ſulphure tritis, & circum cavernas ipſarum adſperſis. Formicæ penitus interibunt, ſi laſer Cyrenaicum oleo diſſolutum cavernæ affuderis. Formicæ non contingent plantas, ſi truncos obleveris lupinis amaris cum amurca tritis, aut bitumine cum oleo trito, aut cocto. Non contingent formicæ vas mellarium, etiamſi operculo caruerit, ſi albam lanam circumdederis, aut terra alba aut rubrica circumſcripſeris. Quidam ſuccum laſeris aceto dilutum truncis illinunt, & in cavernas ipſarum infundunt. Si truncos vitium hedera denſa obligemus, reperientur paulo poſt formicæ, imo etiam ſcarabæi, ſub hederæ umbra, ita ut facile capi queant. Intereunt penitus formicæ, radice ſylveſtris cucumeris ſuffumigata, aut ſiluro, maxime Alexandrino, ſuffito ad lentum rogum. Una formica ſublata, aliæ ultro relinquent latebram. Si quis granum tritici, quod a formica geſtatur, pollice ſiniſtræ manus apprehenſum in pellem puniceam mittat, & capiti mulieris alliget, ſterilis erit quæ id geſtat. Quod ſi formicæ urantur, aliæ odore ipſarum fugabuntur. Audiviſſe me autem memini, quod formicam mortuam altera formica in humeris effert. Arcebis formicas, felle taurino & pice cum amurca mixtis, in-

(3) *Sic legend. quis non videt? antea* περιπάσσας. (4) *Ita MSS. prius* καί. (5) *Ex MSS. in pr. Ed. peſſime* ἀγγείῳ.

(a) Σιλούρου ... Ἀλεξανδρίνου.] *Silurus piſcis vorax, tantæ magnitudinis, teſte* Plinio, *ut equos natantes demergat, & in* Mœno Germaniæ *amne protelis boum extrahatur, porculo Marino ſimillimus. Ab* Athenæo *numeratur inter piſces* Nilo *peculiares, &* Juvenali——" Municipes Pharia de merce Siluri. Harduinus *contendit, a* Pannoniis Danubii *accolis* Arciam *vocari, & ſub* Glanidis *nomine ab* Aldrovando *&* Hippol. Salviano *exhiberi.* Σίλουρος *ab* Alexandrinis *dictus eſt, quaſi* σείουρος, ἀπὸ τοῦ σείειν συνεχῶς τὴν οὐράν. *Conſul.* Plin. *Tom.* 2. *p.* 296. Aldrovand. Salvian. *&* Salm. *ad* Solin. *p.*1314.

deque

deque illito trunco. Idem faciunt & rubrica & pix mixta ac illita. Quidam piſcem coracinum appellatum in arbore ſuſpendunt, atque ſic formicas perdunt.

νον. (6) τὸ αὐτὸ ποιεῖ καὶ μίλτος καὶ πίσσα μιγνυμένη καὶ ἐπιχριομένη. τινὲς ἰχθὺν τὸν καλούμενον (b) κορακῖνον (7) κρεμῶσι τῶν δένδρων, καὶ διαφθείρουσι τοὺς μύρμηκας.

(6) *Ita MSS. prius* καὶ——.

(b) Κορακῖνον.] *Coracinus, piſcis in* Ægypto *principatum obtinens, ab* Euthydemo, Heracleonte Epheſio, *&* Philotimo, *in τῷ* Ὀψαρτυτικῷ, Saperda *appellatur*; *a* Parmenone Rhodio, *in* Διδασκαλίᾳ μαγειρικῇ, Platiſtacus. Nilotici Coracini *in deliciis* Vett. *habiti, & ab* Alexandrinis, *ob latam & rotundam figuram,* Πλάτακες *dicti.* Κορακίνου *nomen accepit,* ἀπὸ τοῦ διηνεκῶς κόρας κινεῖν. Martial. *Lib.* 13. " Princeps Niliacis raperis, Coracine, macellis: " Pellææ prior eſt gloria nulla gulæ.

(7) *Sic legend. prius* κρεμάσαι.

CAP. XI. — ΚΕΦ. ΙΑ.

De culicibus. Democriti. — Περὶ κωνώπων. Δημοκρίτου.

CUlices perdit pilus equinus extentus in janua & per mediam domum: non permittet ipſos introire, ſed exiget calacantha & nigella ſuffita. Si ſpongiam acri aceto imbutam a capite ſuſpenderis & ſub pedes, culices te non impetent. Fugabis eoſdem rutam madefaciens, & domum reſpergens, item domo conyzæ coctæ decocto reſperſa: aut galbani, aut ſulphuris, ant cumini ſuffitu. Si cannabis viridis ramum florentem juxta te ponas dormiturus, culices te non attingent. Nec etiam accedent ad te, ſi mannã cum aceto & oleo corpori illeveris. Fugan-

Κώνωπας διαφθείρει θρὶξ ἱππεία διαταθεῖσα εἰς τὴν θύραν καὶ διὰ μέσου τοῦ οἰκήματος· οὐκ ἐάσει δὲ αὐτοὺς εἰσελθεῖν, ἀλλ' ἐκδιώξει τοῦ οἰκήματος, (a) καλακάνθη καὶ μελάνθιον ὑποθυμιώμενον. ἐὰν δὲ σπόγγον ὄξει δριμεῖ βρέξας κρεμάσῃς πρὸς κεφαλῆς καὶ ὑπὸ τοὺς πόδας, οὐ μή σου ἅψονται κώνωπες. ἀπελάσεις δὲ τοὺς κώνωπας πήγανον βρέχων, καὶ ῥαίνων τὴν οἰκίαν, (1) καὶ κόνυζαν ἑψῶν, καὶ τῷ ζέματι ῥαίνων τὴν οἰκίαν, ἢ χαλβάνην θυμιῶν, ἢ θεῖον, ἢ κύμινον. εἰ δὲ καννάβεως ὑγρᾶς κλῶνα ἀνθοῦντα παραθήσῃς καθεύδειν μέλλων, οὐχ ἅψονταί σου κώνωπες. Οὐ προσελεύσονται δέ σοι, ἐὰν (b) μάννην μετὰ ὄξους καὶ ἐλαίου

(a) *Vid. Notas ad Cap.* 4. *hujus Libri.*

(1) *Hanc lacunam, a* καὶ *ad* οἰκίαν, *ſupplevi ex MSS.*

(b) Μάννην.] *Manna noſtra* Vett. *cognita fuiſſe videtur, ſub nomine* δροσομέλιτος *vel* Ἀερομέλιτος, *ut ex* Amyntæ *libro* περὶ σταθμῶν Ἀσίας, *ab* Athenæo *Lib. XI. citato, liquet:* Ἀμύντας, (Athen. verba) ἐν τῷ πρώτῳ περὶ τῶν Ἀσίας σταθμῶν, περὶ τοῦ Ἀερομέλιτος καλουμένου διαλεγόμενος γράφει οὕτως. Σὺν τοῖς φύλλοις δρέποντες συντιθέασιν εἰς παλάθης Συριακῆς τρόπον πλάττοντες, οἱ δὲ σφαίρας ποιοῦντες, καὶ ἐπειδὰν μέλλωσι προσφέρεσθαι ἀποκλάσαντες ἀπ' αὐτῶν ἐν τοῖς ξυλίνοις ποτηρίοις, ἃς καλοῦσι ταβαίτας, προβρέχουσι, καὶ διηθήσαντες πίνουσι, καὶ ἔστιν ὅμοιον, ὡς ἂν τις μέλι πίνοι διείς, τοῦτο δὲ καὶ πολὺ ἥδιον. Manna *noſtra non potuit accuratius depingi, hodie etiam*

ἀλείφῃς. (2) φεύξονται δὲ, ὕλης ὄξους καὶ ὀριγάνου ὑποκαπνιζομένου. βόλβιτον ὑποθυμιαθὲν, καὶ τοῖς τοίχοις (3) ὑποχριόμενον, ἐκδιώξει τοὺς κώνωπας. κἂν ἑλενίου γο. α'. (c) Ἀμμωνιακοῦ θυμιάματος γο. β'. στύρακος γο. β'. κηρύκων κεκαυμένων δραχ. β'. κοπέντων, τὰ περιβόλαια θυμιαθῇ. Σπόγγος ὄξει βραχεὶς, ἐὰν ἐκ τῆς ὀροφῆς κρεμασθῇ, πάντας ἐκεῖ συνάξει. οὐκ ἀδικήσουσι κώνωπες τὸν ἐν τῇ κλίνῃ, καννάβεων ὑποτεθέντων. πήγανον ὕδατι βρέχε, ἢ κόνυζαν ἑψήσας ῥαῖνε τὴν οἰκίαν, καὶ διώξει τοὺς κώνωπας. ἀπελαύνει αὐτοὺς καὶ (d) βδέλλιον θυμιώμενον.

tur item fæcis aceti & origani nidore. Stercus bubulum ſuffitum, & muris ſublitum, culices eliminabit. Idem continget, ſi inulæ unc. I. Ammoniaci ſuffimenti unc. II. ſtyracis unc. II. & buccinorum uſtorum drachmis duabus contuſis amicula ſuffumigaveris. Spongia aceto imbuta, ſi e tecto domus ſuſpendatur, omnes culices illuc congregabit. Culices moleſti non erunt jacenti in lecto, qui cannabem ſubſtratam habet. Rutam aqua macerato, aut conyzam coquito, indeque domum irrora, & culices exterminabit. Abiguntur item bdellii ſuffitu.

in India *venalis circumfertur in maſſas coacta, admixtis foliis, & ex* Calabria *eadem forma affertur, dura & concreta.* Cl. Salm. *aſſerit* Vett. *Saccharum, ſive* Μέλι καλάμινον, *fuiſſe Mannæ ſpeciem quandam. Nulla Mannæ mentio apud* Plin. *aut* Dioſcoridem.

(2) *Ita MSS. &* Interp. *prius* φεύξονται δὲ, εἰ κόνυζαν ἑψήσεις, καὶ τῷ ζέματι ῥανεῖς τὴν οἰκίαν. ὁμοίως φεύξονται, ὕλης——. (3) *Ita MSS.*

(c) Ἀμμωνιακοῦ θυμιάματος-] *Ammoniacum, quod eo ad ſuffimenta uterentur* Libyes, Λιβυκὸν θυμίαμα, *& ſimpliciter* θυμίαμα, *dictum eſt: Recentioribus* Græcis γομφίτης, *quod* Vett. φύραμα. Dioſcor. *Lib.* 3. *Cap.* 98. Ἀμμωνιακόν ὀπός ἐστι νάρθηκος, γεννωμένου ἐν τῇ κατὰ Κυρήνην Λιβύῃ. καλεῖται δὲ αὐτοῦ ὅλος ὁ θάμνος σὺν τῇ ῥίζῃ, Ἀγασυλλίς. *Quod boni coloris & purum fuit,* θραῦσμα *vocabant, quod autem terram & calculos admixtos habuit,* φύραμα. Plinius *Hammoniaci arborem* Metopon *vocat, pro Galbani arbore, quam ita vocat* Dioſcorides.

(d) Βδέλλιον-] Bdellium, *Lachryma arboris nigræ, magnitudine oleæ, folio roboris, fructu naturaque caprifici; Quidam brochon, alii malacham, alii Maltacon, vel (ut in* Dioſc. *ſcribitur)* Μάδελκον *appellant. Duo genera recenſet* Dioſcor. *Lib.* 1. *cap.* 80. *Probatur, quod guſtu eſt amarum, tranſlucens, taurino glutini ſimile, lignorum & ſordium expers, odoratum in ſuffitu, & unguium ad inſtar læve; hinc* Βδέλλα ὄνυξ *vocatur a* Damocrate *apud* Galenum. *Alterum genus, ſordidum, & nigrum, grandioribus glebis, ab* India *affertur. Naſcitur arbor in* Bactria, Arabia, India, *&* Media; Dioſc. Saracenica *dicitur.* Harduinus *ad* Plin. *aſſerit, bdellium ſincerum a* Luſitanis *vocari* Anime, *teſte* Monardo; Bactrianum *vero &* Indicum *eſſe* Benzoin, *ſive* Benjuinum, *Officinarum. Vid. quæ* Salm. *congeſſit ad* Solin. *p.* 1150, 1. *&* Plin. *Tom.* 3. *p.* 16.

CAP.

CAP. XII.

De muſcis. Berytii.

Laurus cum veratro nigro contuſa, & in lacte, aut paſſo, aut aqua mulſa vel in aqua macerata, & irrorata, muſcas necat. Si vero caſſiam triveris cum oleo, & corpori illeveris, ad te non accedunt. Si vero abigere ipſas ſit animus, calacanthum ſuffumigato. Similiter autem & foliorum ſambuci decoctum reſperſum ipſas fugat. Anatolio auctore, ſi muſcas in unum locum congregare velis, ſcrobem facito, & rhododaphnas contuſas in ipſam mittito, iſthucque univerſas congregabis. Muſcæ non infeſtabunt boves, ſi lauri fructum in oleo coctum ipſis illeveris. Nunquam autem brutis inſident, ſi leonino adipe illinantur. Veratrum cum lacte aut ſapa, auripigmento addito, maceratum, & reſperſum, muſcas perimit. Si vero alumen & origanum trita illeveris, non inſidebunt.

ΚΕΦ. ΙΒ.

Περὶ μυιῶν. Βηρυτίου.

Δάφνη μετὰ ἐλλεβόρου μέλανος κοπεῖσα, καὶ μετὰ γάλακτος, ἢ γλυκέος, ἢ ὑδρομέλιτος βραχεῖσα, ἢ ἐν ὕδατι, (1) καὶ ῥανθεῖσα, μυίας ἀναιρεῖ. ἐὰν δὲ κασσίαν τρίψῃς μετὰ ἐλαίου, καὶ ἀλείφῃς, οὐκ ἐπέρχονταί σοι. εἰ δὲ διῶξαι αὐτὰς θέλεις, καλάκανθον θυμίασον. ὁμοίως δὲ καὶ φύλλων ἀκτῆς τὸ ἀπόζεμα ῥανθὲν διώκει ταύτας. Ἀνατόλιος δέ φησιν, εἰ θέλει αὐτὰς εἰς ἕνα τόπον συναθροῖσαι, ποιήσας βόθρον, καὶ κόψας ῥοδοδάφνας ἔμβαλλε εἰς αὐτὸν, κἀκεῖ συνάξεις ἁπάσας. Μυῖαι δὲ οὐκ ἀδικήσουσι βόας, εἰ δάφνης καρπὸν ἑψήσας μετὰ ἐλαίου τούτους (2) ἐπαλείψῃς. μυῖαι δὲ παντελῶς οὐκ ἐπικαθέζονται τοῖς ἀλόγοις, ἐὰν λεοντείῳ στέατι καταχρισθῶσιν. ἐλλέβορος δὲ μετὰ γάλακτος ἢ ἑψήματος σὺν ἀρρενικῷ βραχεὶς, καὶ ῥανθεὶς, μυίας ἀναιρεῖ. ἐὰν δὲ στυπτηρίαν καὶ ὀρίγανον λειώσας χρίσῃς, οὐ καθεδοῦνται.

(1) *Emend. ex MSS.* F. L. B. 1, 2. *in pr. Ed.* κεραθεῖσα. (2) *Ita MSS. antea* ἐπαλείφεις.

CAP. XIII.

De veſpertilionibus. Africani.

In viis publicis platani folia ſuſpende, & veſpertiliones non ingredientur. Occidit ipſas hedera ſuffumigata.

ΚΕΦ. ΙΓ.

Περὶ νυκτερίδων. Ἀφρικανοῦ.

Εἰς τὰς (1) ὁδοὺς κρέμασον φύλλα πλατάνου, καὶ οὐκ εἰσελεύσονται νυκτερίδες. νυκτερίδας ἀναιρεῖ κισσὸς θυμιώμενος.

(1) *Ex MSS. prius* εἰσόδους.

ΚΕΦ. ΙΔ.

Περὶ κόρεων. Διδύμου.

Ὑγρὰ πίσσα καὶ ἀγρίου σικύου (1) ὀπὸς ἐπιβαλλόμενος ἐν κλίνῃ ἀναιρεῖ τὰς κόρεις. ὁμοίως δὲ καὶ σκίλλα κατατμηθεῖσα, καὶ συλλειωθεῖσα ὄξει, σπόγγῳ (2) χριομένης τῆς κλίνης. ὁμοίως φύλλα κιτρίων μετὰ ἐλαίου ἑψήσας ἄλειφε τὰς ἁρμογὰς τῶν κλινῶν, καὶ χολὴν ταύρου ἢ τράγου ὄξει δριμεῖ μίξας, ἄλειφε τὴν κλίνην καὶ τοὺς τοίχους. τὸ αὐτὸ δὲ συμβαίνει, ἐὰν ἔλαιον παλαιὸν καὶ θεῖον ἄπυρον λειώσας καταχρίσῃς τὴν κλίνην. οὐκ ἔσονται δὲ κόρεις, ἐὰν (a) ἰχθυόκολλαν ἑψήσας καταχρίσῃς τὰς κλίνας. Τὰς δὲ οὔσας κόρεις (3) διαφθερεῖς, ἐὰν ἀμόργην ἑφθὴν εἰς χολὴν βοὸς μίξας μετ᾽ ἐλαίου ἐπιῤῥάνῃς αὐταῖς· ἢ κισσοῦ ἢ καππάρεως φύλλα λειώσας ἐλαίῳ τὰς κλίνας ἀλείψῃς. τοῦτο καὶ τὰς ἐν τῷ τοίχῳ κόρεις προσφερόμενον ἀναιρεῖ. Δραστικὸν δὲ φάρμακον (4) σκευάζεται ὧδε. σταφίδος ἀγρίας (5) ὀξύβαφον, καὶ σκίλλης εἰς λεπτὰ τετμημένης τὸ ἴσον, καὶ ὄξους δριμέος κοχλιάριον ἓν ὁμοῦ τρίβεται, εἶτα θερμαίνεται, καὶ οὕτως ὁ τόπος καταχρίεται· καὶ κεδρίας μέρος ἕν, καὶ γλυκέος (6) μέρη δ΄. συμμίξας χρίσεις. τὸ αὐτὸ δράσει καὶ αἰγὸς ἢ μόσχου χολὴ, καὶ γλυκέος τὸ ἴσον σὺν ὄξει. Φλωρεντῖνός φησι, κόρεις ὑποθυμιωμένας βδέλλας ἀναιρεῖν, βδέλλας δὲ τὰς κόρεις, καπισε-

CAP. XIV.

De cimicibus. Didymi.

PIx liquida & ſylveſtris cucumeris ſuccus in lectum miſſa cimices necant. Similiter & ſcilla diſſecta, atque aceto trita, ſi inde lectus ſpongia illinatur. Similiter citriorum folia cum oleo coquito, & lectorum commiſſuras illinito, aut fel tauri vel hirci acri aceto dilue, indeque lectum ac parietes illine. Idem contingit, ſi oleum vetus & ſulphur vivum triveris, ac lectis illeveris. Non erunt cimices, ſi gluten piſcium coctum lectis illeveris. Eos vero, qui jam ſunt, perdes, ſi amurcam coctam felle bubulo mixtam cum oleo ipſis adſperſeris; aut hederæ aut capparis folia oleo trita lectis illeveris. Hoc medicamine, & qui in pariete ſunt, cimices tollentur. Efficax autem pharmacum præparatur hoc modo. Herbæ pedicularis acetabulum, ſcillæ in minutas partes ſectæ tantundem, & aceti acris cochlearium unum ſimul teruntur, deinde calefiunt, & ſic locus illinitur: Et cedriæ partem unam paſſi partibus quatuor permiſcens illines. Idem faciet & capræ aut vituli fel, cum pari modo paſſi ac aceti. Florentinus ait, cimices ſuffitu hirudinum necari, ſi lectum ſtratis contegatur, ne fœtidus halitus tranſpirare poſſit, & vice verſa hirudines inter-

(1) *MSS. habent* ὁ χυλός. (2) *Emend. ex MSS. prius* χριομένη τῇ κλίνῃ.

(a) Ἰχθυόκολλαν-] Plinius *Tom.* 4. *p.* 853. " *Ichthyocolla appellatur* " *piſcis, cui glutinoſum eſt corium: idemque nomen glutino ejus: Quidam* " *ex Ventre, non ex Corio, fieri dicunt Ichthyocollam, ut glutinum tauri-* " *num. Ita* Dioſcor. *Lib.* 3. *Cap.* 102. Ἰχθυόκολλα λεγομένη κοιλία ἐστὶν ἰχθύος κητώδ. Διαφέρει δὲ ἡ ἐν Πόντῳ γινομένη——.

(3) *Ita MS.* Bar. *ante* διαφθήρεις. (4) *Ex MSS. pr. Ed.* σκευάζονται.

(5) *Auctor. MSS. ante* ὀξυβάφου. (6) *Ex MSS.* F. L. & Bod. *prius* μέτρα δ΄. εἰ συμμ.

fici

ſici cimicum ſuffitu. Scolopendra etiam ſiccata & ſuffumigata idem facit. Et hederæ folia trita admixtis hirudinibus decem. Democritus ait, pedes leporis aut cervi circa fulcra lecti appenſos, juxta dorſum quo te reclinas, non ſinere cimices naſci. At vero in itineribus, ſi vas aqua frigida plenum ſub lectum poſueris, cimices te dormientem non impetent. Etenim calidæ affuſio, qua omnes utuntur, eos quidem qui occurrunt perdit, verum non eſt impedimento quo minus cito regenerentur.

γνωμένους σκεπάσμασι τοῦ σκίμποδος, ὥστε μὴ διαπνεῖν τὴν δύσπνοιαν. καὶ (b) σκολόπενδρα ξηραινομένη καὶ (7) ὑποθυμιωμένη τὸ αὐτὸ δρᾷ. καὶ κισσοῦ φύλλα τριβέντα, καὶ βδέλλαι ι'. Δημόκριτος δέ φησι, πόδας λαγωοῦ ἢ ἐλάφου περὶ τοὺς ἐρμῖνας τῆς κλίνης προσαρτωμένους, (8) κατὰ νῶτα κατὰ τὸ ἐπίκλιντρον, μὴ ἐᾶν κόρεις γίνεσθαι. ἐν δὲ ταῖς ἀποδημίαις, ἐὰν σκεῦος ὕδατος ψυχροῦ πληρώσῃς, καὶ ὑπὸ τὴν κλίνην ἀπόθοιο, οὐχ ἅψονταί σου καθεύδοντος. ἡ γὰρ τοῦ θερμοῦ κατάχυσις, ᾗ πάντες χρῶνται, τὰς μὲν τυχούσας διόλλυσι, τῆς δὲ αὖθις ὀξείας γεννήσεως αὐταῖς κώλυμα (9) οὐ γίνεται.

(b) Σκολόπενδρα.] Plin. *Tom.* 4. *p.* 686. " *Cimicibus adverſatur ſcolo-* " *pendra, ſuffituque enecat.*

(7) *Ita MSS.* (8) *Auctor. MSS. &* Interp. *prius* καὶ τά. (9) *Hanc voculam adjeci ex MSS.*

CAP. XV.

Ad pulices domeſticos. Pamphili.

SCrobem facito, & rhododaphnas contuſas in ipſam mittito, iſtucque omnes concurrent. Abſinthium, aut cucumeris ſylveſtris radix, aqua marina macerata ac reſperſa, pulices necat. Perdit autem ipſos penitus melanthium aqua maceratum ac reſperſum: Aut coctæ conyzæ decoctum irroratum. Perdunt eos ſimiliter ſemina ſinapis & rhododaphnes fervefacta, & in domo reſperſa. Calcem vivam cribrato, & poſtquam locum verreris inſpergito, eaque necabuntur. Idem continget ex amurca pavimentis aſſidue irrorata; cuminum item ſylveſtre tritum ac aqua mixtum, & ſeminis cucumeris ſylveſtris drachmæ X. tritæ & in aquam miſſæ, indeque domo reſperſa,

ΚΕΦ. ΙΕ.

Πρὸς ψύλλας τὰς ἐν τῷ οἴκῳ. Παμφίλου.

ΠΟιήσας βόθρον, καὶ κόψας ῥοδοδάφνας βάλλε εἰς αὐτὸν, κἀκεῖ συνδραμοῦνται πᾶσαι. καὶ ἀψίνθιον, ἢ σικύου ἀγρίου ῥίζα βραχεῖσα ὕδατι θαλαττίῳ, καὶ ῥανθεῖσα, ταύτας διαφθείρει. διαφθείρει δὲ αὐτὰς παντελῶς (1) μελάνθιον ὕδατι βραχὲν καὶ ῥανθέν. ἢ κονύζης ἑψηθείσης τοῦ ζέματος ἐπιῤῥαινομένου. διαφθείρει αὐτὰς ὁμοίως καὶ σπέρμα νάπεως, καὶ ῥοδοδάφνης, ζεσθέντα ἀμφότερα, καὶ ἐν τῷ οἴκῳ ῥαινόμενα. ἄσβεστον κοσκινίσας μετὰ τὸ σαρῶσαι ἐπίῤῥιπτε, καὶ ἀναιρεῖ αὐτάς. Ὁμοίως δὲ καὶ ἀμόργη συνεχῶς καταβρέχων τὰ ἐδάφη, καὶ κυμίνου δὲ ἀγρίου τρίψας καὶ μίξας ὕδατι, καὶ σικύου ἀγρίου σπέρματος δραχμὰς ι'. τριβέντων εἰς ὕδωρ βαλὼν, καὶ ῥάνας εἰς τὸν οἶκον, λακήσουσι τὰς ψύλλας

(1) *Revocavi ex MSS.*

ποιήσεις. ἢ ἀψινθίου καὶ (a) σικύου ἀγρίου ῥίζης ὕδατι θαλαττίῳ βραχέντων, ἢ (b) χαμελαίας ῥίζης, καὶ αἰγείρου φύλλων κοπέντων καὶ βραχέντων ὕδατι, ἢ τριβόλου ἡψημένης ὕδατι. ψύλλας ἅλμη δριμεῖα ῥανθεῖσα καὶ θαλάττιον ὕδωρ διαφθείρει. κἂν ἐν μέσῳ τῆς οἰκίας καταθῆταί τις λεκάνην, καὶ περιγράψῃ κύκλῳ ὁλοσιδήρῳ μαχαιρίῳ, κάλλιον δὲ ἀνδροφόνῳ, καὶ ῥάνῃ τὸ λοιπὸν τῆς οἰκίας παρεκτὸς τοῦ περιγραφέντος τόπου ἀποβρέγματι ἢ σταφίδος ἀγρίας ἢ δάφνης φύλλων κοπέντων, ἢ ἐν ἅλμῃ ἢ θαλασσίῳ ὕδατι ἡψημένῳ, πάσας τὰς ψύλλας εἰς τὴν λεκάνην συνάξεις. (2) ἢ γράψον ἐν τῇ ἐξωτέρᾳ θύρᾳ μηδενὸς εἰδότος, πρὸ εἰδῶν Μαΐων **. καὶ κεράμιον ἰσόχειλον τῷ ἐδάφει χωσθὲν, καὶ ταυρείῳ στέατι καταχρισθὲν, εἰς ἑαυτὸ συνάξει καὶ τὰς ἐν τοῖς ἱματίοις οὔσας ψύλλας. εἴ ποτε δὲ εἰσέρχῃ ἐν τόπῳ ἔνθα εἰσὶ ψύλλαι, (c) λέγε ὢχ ὢχ, καὶ οὐχ ἅψονταί σου. ὑπὸ τὴν κλίνην ποιήσας μικρὸν βόθρον, καὶ ἐμβαλὼν εἰς αὐτὸν αἴγειον αἷμα, συνάξει τὰς ψύλλας ἐκεῖσε, καὶ τῆς ἄλλης ἐσθῆτος ἐκκαλέσεται εἰς αὐτόν. τῶν δὲ ἀμφιμάλλων καὶ δασυτάτων ταπήτων, ἔνθα πληθεῖσαι ψύλλαι καταδύνουσιν, ἀφαιρεθεῖεν ἄν, εἰ οὕτως ἐν λάρνακι (3) αὐτὸ καταθοῖτο ἢ πίθῳ.

pulices crepare facient. Aut abſinthii & ſylveſtris cucumeris radices aqua marina maceratæ; item chamelææ radix, & populi nigræ folia tuſa & aqua macerata, & tribulus in aqua coctus. Pulices etiam muria acris reſperſa & aqua marina enecant. Quod ſi in medio domus quis pelvim deponat, & circulum gladio penitus ferreo circumſcribat, præſtat autem ad hunc uſum gladius quo homo occiſus eſt, & reliquam domum, præterquam locum circumſcriptum, herbæ pedicularis aut lauri foliorum tuſorum cremore conſpergat, aut etiam muria aut aqua marina cocta, omnes pulices in pelvim congregabit. Fictile quoque vas defoſſum, ita ut labra æqualia pavimento ſint, & adipe taurino oblitum, omnes pulices in ſe alliciet, etiam eos qui adhuc in veſtibus deliteſcunt. Si quando autem in locum ingrediaris in quo ſunt pulices, ὢχ ὢχ clamato, & non impetent te. Sub lecto parvulam ſcrobem facito, & in ipſam ſanguinem caprinum mittito, congregabitque pulices iſthuc, & ex aliis veſtibus ad ſe eliciet ac evocabit. Cæterum ex utrinque hirſutis & denſiſſimis tapetibus, in quibus pulices ſanguine pleni deliteſcunt, evocari poſſint, ſi ſic in arca aut dolio ipſe ſanguis caprinus deponatur.

(a) Σικύου ἀγρίου-] Pallad. *p.* 29. " *Pulices fugantur amurca per pavimentum frequenter aſperſa, vel cumino agreſti cum aqua trito, vel ſi cucumeris agreſtis ſemen aqua reſolutum ſæpe infundas, vel aquam lupinorum Pſilothri auſteritatibus junctam.*

(b) *De Chamelæa vid.* Plinium *Tom.* 3. *pag.* 94. *&* Dioſcor. *Lib. IV. Cap.* 172.

(2) Interp. *totam hanc* περικοπὴν *non agnoſcit; comparet quidem in MSS. ſed mutila, ut in textu; repoſui* ἐξωτέρᾳ *ex MSS.*

(c) *Ridiculum hocce & putidum commentum* Pamphilum *auctorem agnoſcit; cujus Libri, teſte* Galeno, *incantationibus, amuletis, & fabellis anilibus ſcatebant. Reſpicias ad* Prolegomena.

(3) Interp. *habet* αἷμα, *ſed MSS. ut in textu.*

CAP.

CAP. XVI.

De cantharidibus. Zoroaſtris.

CAntharides non lædent vites, ſi ipſas cantharides oleo maceraveris, indeque cotem illeveris, in qua falces acuendæ ſunt, quibus vites putantur. Si vero galbanum cum ſtercore bubulo veteri combuſſeris, ipſas fugabis: Et cucumeris ſylveſtris radices ſi ſuffumigaveris, eas exterminabis. Ariſtoteles autem prodit, roſarum odore ſcarabæos necari, vultures autem odore unguenti. Odorum enim fragrantiam ipſis graveolentiam eſſe perhibent. Plerique autem vitium truncos juxta terram hederæ corona cingunt, & inveniunt ipſas ſub hederæ umbra, & ſic perdunt.

ΚΕΦ. Ιϛ.

Περὶ κανθαρίδων. Ζωροάστρου.

ΚΑνθαρίδες οὐ βλάψουσι τὰς ἀμπέλους, ἐὰν αὐτὰς τὰς κανθαρίδας βρέξας ἐπιχρίσῃς τὴν ἀκόνην, (1) ἐφ᾽ ἧς ἀκονᾷν μέλλεις τὰ δρέπανα. ἐὰν δὲ χαλβάνην μετὰ βολβίτων παλαιῶν καύσῃς, ἀποδιώξεις αὐτάς· καὶ ἀγρίου σικύου τὰς ῥίζας ὁμοίως θυμιῶν ἀπελάσεις αὐτάς. Ἀριστοτέλης δέ φησιν, ὅτι ἡ ὀσμὴ τῶν ῥόδων (a) κανθάρους ἀπόλλυσι, καὶ (2) τοὺς (b) γῦπας ἡ τοῦ μύρου ὀσμή. εἶναι γὰρ τούτοις δυσωδίαν τὴν εὐωδίαν βεβαιοῦνται. Οἱ δὲ πολλοὶ τῶν ἀμπέλων τὰ στελέχη περὶ τῇ γῇ στεφανοῦσι κιττοῦ στεφάνῳ, καὶ εὑρίσκουσιν αὐτὰς ὑπὸ τῇ σκιᾷ τοῦ κιττοῦ, καὶ διαφθείρουσιν.

(1) *Ita MSS.* F. L; *&* Bod. *prius* ἐν ᾗ. *Vid. ſupra* Cap. 49. Lib. *V.*

(a) Κανθάρους-] Clemens Alexandrinus *Pædagog. Lib.* 2. Οἱ γῦπες καὶ κάνθαροι ῥοδίνῳ χρισθέντες μύρῳ τελευτᾷν λέγονται. *Et* Phile *in* Iambis; Οἱ τῷ μύρῳ θνήσκουσι, κανθάρων δίκην.

(2) *Ex MS.* Bar. *pr. Ed.* τάς.

(b) Γῦπας-] Plinius *Lib. XI.* "*Vultures, unguento qui fuganturm, alios appetunt odores,---. Et* Ælianus *Hiſt. Animalium Lib.* 3. Εὐωδία δὲ καὶ μύρον γυψὶν αἰτία θανάτου. *Locus* Ariſtotelis *legitur in* Vol. I. *p.* 1166. *Editionis* Du-Vallianæ.

CAP. XVII.

Ad hirudines. Anatolii.

SI bos, aut aliud quadrupes, inter bibendum hirudinem devoret, cimices contuſos animali olfaciendos præbeto, & ſtatim evomit.

ΚΕΦ. ΙΖ.

Πρὸς βδέλλας. Ἀνατολίου.

ΕΑν βοῦς, ἢ ἕτερον τετράποδον, ἐν τῷ πίνειν καταπίῃ βδέλλαν, κόρεις θλάσας παρόσφραινε τῷ ζώῳ, καὶ εὐθέως ταύτην ἀποβαλεῖ.

ΚΕΦ. ΙΗ.

Περὶ βατράχων. Ἀφρικανοῦ.

(a) Βάτραχοι σιωπήσουσι κράζοντες, ἐὰν λύχνον ἅψας θῇς πρὸς τὴν ὄχθην.

CAP. XVIII.

De ranis. Africani.

RAnæ tacebunt, ſi lucernam accenſam ad ripam poſueris.

(a) Βάτραχοι-] Plinius *refert, ranas natura mutas eſſe in* Seripho *Inſula, alio autem tranſlatas canere; quod etiam accidit in* Sicendo Theſſaliæ *lacu.* Tzetzes *Chiliad.* 8. *aquarum frigiditatem cauſam eſſe ait ranarum ſilentii. Idem tradit* Ariſtoteles.

ΒΙΒΛΙΟΝ ΙΔʹ.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΔʹ.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, τεσσαρεσκαιδεκάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ περιστερῶν, καὶ ὀρνέων, πτηνῶν τε καὶ χερσαίων φιλοτροφίας καὶ ἐπιμελείας, κατὰ τὴν ὑποτεταγμένην τῶν κεφαλαίων γνῶσιν.

LIBER XIV.

ARGUMENTUM LIB. XIV.

HÆC inſunt in hoc libro, qui decimus quartus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de columbarum, & avium, tum in aere, tum in terra degentium nutricatu & cura, juxta ſubſcriptorum capitũ notitiam.

ΚΕΦ. Α.

Περὶ περιστερῶν. Φλωρεντίνου.

ΤΟΙΣ Γεωργίας ἐπιμελουμένοις χρησιμωτάτη σφόδρα τυγχάνει ἡ τῶν περιστερῶν κτῆσις, μάλιστα διὰ τὴν οὖσαν ἐξ αὐτῶν εὔθετον κόπρον, εἶτα διὰ τοὺς (1) νεοσσοὺς ἀναγκαίους ὄντας εἰς τὰς τῶν ἀρρωστημάτων ἀναλήψεις. ἔχει δὲ ἡ τούτων κτῆσις οὐδὲ ὀλίγην τινὰ πρόσοδον. μόνους γὰρ δύο μῆνας τοῦ χειμῶνος παρὰ τῶν κεκτημένων τρέφεται· τὸν δὲ λοιπὸν χρόνον τοῦ ἐνιαυτοῦ ἔξωθεν ἀπὸ τῆς νομῆς (2) ἑαυτῷ πορίζεται τὴν τροφήν. Φύσει δὲ καὶ πολύγονον τὸ ζῶον. ἐν πάσαις γὰρ τεσσα-

CAP. I.

De columbis. Florentini.

AGriculturæ ſtudio incumbentibus valde utilis eſt columbarum poſſeſſio, maxime propter ſtercoris ipſarum commoditatem, deinde propter pullos, quorum uſus adeo neceſſarius eſt iis qui a morbo convaleſcunt. Habet autem earum poſſeſſio non modicum reditum. Duobus enim tantum menſibus hyeme a dominis ſuis nutriuntur; reliquo autem tempore anni foris pabulum ſibi quærunt. Eſt etiam animal natura fœcundum. In omnibus enim quadraginta diebus

(1) *MSS.* F. *&* Bar. *ſupplent* ἐκ τούτων. (2) *Hæc vox ad* ζῶον *referenda eſt; aliter legend.* ἑαυταῖς.

&

& prægnans eſt, & parit, & fovens incubat, & enutrit, atque hoc fere per totum annum facit; tantum a ſolſtitio hyberno uſque ad æquinoctium vernum ceſſans. Reliquo anno parit, eſtque videre eaſdem columbas, primis pullis nondum perfecte educatis, ova parientes & foventes. Et fœtus ipſarum perfecti ſtatim cum matribus parere incipiunt. Gaudet autem hoc animal cicercula, ervo, fœno græco, piſo, lente, frumento, & lolio in ipſo naſcente. Prohibendæ ſunt columbæ ne evolent, ut neque alibi nidificent, neque diſtrahantur propter egreſſum, ſed circa columbarii locum verſentur. Si autem quandoque indigeant alimento, ſolummodo quæ pullos habent emittantur. Hæ enim ſaturatæ citius revertuntur, pullis cibum afferentes.

ράκοντα ἡμέραις κυΐσκει, καὶ τίκτει, καὶ θάλπει, καὶ ἐκτρέφει, καὶ τοῦτο σχεδὸν δι' ὅλου τοῦ ἔτους ποιεῖ· μόνον δὲ ἀπὸ τροπῶν χειμερινῶν μέχρις ἐαρινῆς ἰσημερίας διαλείπει. τὸ δὲ λοιπὸν τοῦ ἐνιαυτοῦ τίκτει, καὶ ἔστιν ἰδεῖν τὰς αὐτὰς περιστερὰς, οὔπω τῶν πρώτων νεοττῶν τελείως ἐκτραφέντων, ᾠογονούσας καὶ θαλπούσας τὰ ᾠά. καὶ αἱ ἐπιγοναὶ αὐτῶν πλειωθεῖσαι εὐθέως μετὰ τῶν τεκόντων αὐτὰς ἄρχονται τίκτειν. τροφῇ δὲ τὸ ζῶον χαίρει λαθύροις, ὀρόβῳ, (3) τήλει, πίσῳ, φακῇ, σίτῳ, καὶ τοῖς ἐξ αὐτοῦ τοῖς καλουμένοις ζιζανίοις. Κωλυτέον δὲ αὐτὰς ἐξίπτασθαι, ἵνα μήτε νεοττεύωσιν ἀλλαχοῦ, μήτε περισπῶνται διὰ τὴν ἔξοδον, ἀλλὰ (4) περὶ τὸ πεινᾶν ἀσχολῶνται. ἐὰν δέ ποτε σπανίζωνται τροφῆς, μόνας τὰς νεοττοτροφούσας ἐξελατέον. αὗται γὰρ κορεσθεῖσαι (5) ἐπιστρέφουσι θᾶττον, τοῖς νεοττοῖς τροφὴν κομίζουσαι.

(3) *Emend. ex MSS. prius* τίλῃ. (4) *Hic locus diutius me torſit, nec, quomodo me expediam, adhuc videre contigit:* Interp. *legit* περὶ τῶν περιστερεῶνα, *in* Bar. πεινᾶν *deeſt, cæteri autem MSS. ut in textu; quibus ſuccinit* And. *a* Lacuna, *qui vertit*--- ſed fame exerceantur. (5) *Ita MSS. prius* ὑποστρ.

CAP. II.

Ut columbæ non fugiant, ſed ſobolis amore detineantur. Didymi.

JAnuas & feneſtras & angulos columbarii oleo balſamino illine, & manebunt. Non fugiunt columbæ, ſi cuminum & lentem in aqua mulſa macerata objeceris. Et ſi aquam mulſam dederis in potum, aut lentem ſolam paſſo coctam edendam præbueris, amorem prolis in ipſis excitabis. Præparatur etiam ad columbas retinendas ejuſmodi philtrum. Teſta tuſa ac cribrata, & coſtus, &

ΚΕΦ. Β.

Περιστερὰς μὴ φεύγειν, ἀλλὰ φιλοστοργεῖν. Διδύμου.

ΤΑς θύρας καὶ τὰς θυρίδας καὶ τὰς γωνίας τοῦ περιστερεῶνος ἄλειψον ἐλαίῳ ὀποβαλσάμου, καὶ παραμενοῦσιν. οὐ φεύγουσι δὲ περιστεραὶ, ἐὰν κύμινον καὶ φακὴν εἰς μελίκρατον βρέξας (1) παραβάλῃς. καὶ μελίκρατον δὲ ποτίζων, ἢ φακὴν καθ' ἑαυτὴν γλυκεῖ ἑψήσας, καὶ δοὺς φαγεῖν, φιλοστοργεῖν αὐτὰς ποιήσεις. Κατασκευάζεται δὲ πρὸς τὸ μὴ φεύγειν τὰς περιστερὰς καὶ τοιοῦτο φίλτρον. (2) ὄστρακον

(1) *Ex MSS. antea* περιβάλῃς. (2) *In MSS.* ὄστρακον, *&c. in Genit. caſu ſcribuntur.*

σπαθὲν, καὶ κόστος, καὶ παλαιὸς εὐώδης οἶνος ὁμοῦ μιχθέντα προσφέρεται ταῖς ἐπὶ νομὴν ἐξιούσαις. Ἔνιοι δὲ ἄλευρα κρίθινα ἑφθὰ σύκοις ξηροῖς συμφυράσαντες, καὶ μέλιτος μέρος προσβαλόντες παρατιθέασιν. ἄλλοι κύμινον ταῖς ἐπὶ νομὴν ἐξιούσαις προσφέρουσι. περιστεραὶ παραμένουσιν, ἐὰν νυκτερίδος κεφαλὴν θῇς εἰς τὸν πύργον, ἢ τῆς ἀγρίας ἀμπέλου τοὺς κλάδους (3) μετὰ τῶν ἀνθῶν τῷ καιρῷ ἀπόθοιο ἐν τῷ περιστερεῶνι.

vinum vetus odoratum ſimul mixta exhibentur prodituris ad paſtum. Quidam farinam hordeaceam coctam ficubus aridis admiſcent, & addita mellis parte apponunt. Alii cuminum ad paſtum ituris offerunt. Columbæ permanent, ſi veſpertilionis caput ſuper turrem poſueris; aut vitis ſylveſtris ramos una cum floribus pro temporis occaſione in columbario depoſueris.

(3) *Ita MSS.* & Interp. *pr. Ed.* ἐν καιρῷ τῶν ἀνθέων λαβὼν, ἀπόθοιο---.

ΚΕΦ. Γ.

Περιστερὰς παραμένειν, καὶ ἑτέρας ξένας ἄγειν μεθ' ἑαυτῶν. (1) Τοῦ Αὐτοῦ.

Ἐὰν μύρῳ χρίσῃς τὰς περιστερὰς, καὶ ἔξωθεν ἄλλας ἄξουσιν· εἰ δὲ κύμινον παραβάλλῃς ταῖς ἐπὶ νομὴν ἐξιούσαις, αὐτάς τε καθέξεις, καὶ ἄλλας πολλὰς σὺν αὐταῖς ἔρχεσθαι ποιήσεις, ἀγομένας ὑπὸ τῆς (2) ὀσμῆς τοῦ κυμίνου. εἰ δὲ καὶ λαβὼν σπέρμα λύγου, (3) καὶ βρέξας οἴνῳ παλαιῷ ἡμέρας γ'. εἶτα λαβὼν ὀρόβους βρέξῃς εἰς τὸν οἶνον, καὶ παραβάλλῃς ταῖς περιστεραῖς, καὶ εὐθέως ταύτας πετάσῃς, αἰσθόμεναι αἱ ξέναι περιστεραὶ τῆς πνοῆς πᾶσαι εἰς τὴν καλιὰν ἐλεύσονται. τὰς δὲ περιστερὰς εἰσιέναι θᾶττον ποιήσεις, εἰ ἐλελίσφακον μετὰ λιβανωτοῦ θυμιάσῃς εἰς τὸν περιστερεῶνα.

CAP. III.

Ut columbæ maneant, & alias peregrinas ſecum adducant. Ejuſdem.

SI unguento illeveris columbas, & alias exteras inducent: ſi vero cuminum objeceris ad paſtum exituris, tum ipſas retinebis, tum alias multas cum ipſis venire facies, cumini odore ductas. Si vero viticis ſemen vino veteri per triduum maceraveris, deinde autem ervum vino illo maceraveris, & columbis objeceris, ipſaſque ſtatim evolare permiſeris, omnes exteræ columbæ halitus fragrantia percepta in columbarium venient. Citius autem ingredientur, ſi ſalviam cum thure in columbario ſuffumigaveris.

(1) MSS. F. L. & Bod. *apponunt* Ἀφρικανοῦ. (2) *Ex MSS. prius* ὁρμῆς. (3) *Ita MSS.*

CAP. IV.

Ut feles columbas non infeſtet.

IN feneſtris, & oſtiis, aliiſque pluribus columbarii locis, rutæ ramulos deponito, & ſuſpende. Habet enim ruta naturalem quandam contrarietatem ad beſtias.

ΚΕΦ. Δ.

Αἴλουρον μὴ ἐνοχλεῖν (1) περιστεράς.

Εἰς τὰς θυρίδας καὶ εἰς τὰς εἰσόδους τοῦ περιστερεῶνος, καὶ κατὰ πλειόνων τόπων αὐτοῦ, κλωνία πηγάνου ἀπόθες, καὶ κρέμασον. ἔχει γάρ τινα πρὸς τὰ θηρία ἀντιπάθειαν τὸ πήγανον.

(1) *Ita MSS. & MS.* F. *affigit* Σωτίωνος.

CAP. V.

Ne ſerpens intret columbarium. Democriti.

SErpentes non infeſtabunt columbarium, ſi in quatuor angulos columbarii inſcripſeris Ἀδάμ· quod ſi feneſtram habuerit, etiam in ipſa ſcribe. Serpentes autem eliminabuntur peucedani ſuffitu.

ΚΕΦ. Ε.

Ὄφιν μὴ εἰσιέναι εἰς τὸν περιστερεῶνα. Δημοκρίτου.

Ὄφεις περιστερεῶνι οὐκ ὀχλήσουσιν, ἐὰν ταῖς τέσσαρσι γωνίαις τοῦ περιστερεῶνος ἐπιγράψῃς (a) Ἀδάμ· ἐὰν δὲ ἔχῃ θυρίδα, καὶ ἐν αὐτῇ. ὄφεις δὲ ἐξελάσεις, ἐὰν πευκέδανον θυμιάσῃς.

(a) Ἀδάμ.] *Ridiculum & ſuperſtitioſum commentum; ſingulis enim literis Cœli regio deſignatur,* Ἀνατολὴ, Δύσις, Ἄρκτος, Μεσημβρία.

CAP. VI.

De columbario. Quintiliorum.

COnſtruenda eſt domus tempore ſereno, & adverſus beſtiarum acceſſum munita ſit, & tectorio probe oblita. Conſtruendi ſunt & in parietibus nidi crebri, a pavimento uſque ad tectum, quos σηκοὺς vocant. Nos autem κυθρίνους nominamus, in

ΚΕΦ. ϛ.

Περὶ περιστερεῶνος. Τῶν Κυντιλίων.

Κατασκευάζειν χρὴ οἶκον ἐν καιροῖς εὐδιεινοῖς, καὶ πρὸς τὴν τῶν θηρίων ἔφοδον ὠχυρωμένον, καὶ τοῦτον χρίειν ἐπιμελῶς. κατασκευάζειν δὲ χρὴ ἐν τοῖς τοίχοις καὶ νεοσσίας πυκνὰς, ἀπὸ ἐδάφους μέχρι τῆς ὀροφῆς, ἅστινας καλοῦσι (a) σηκούς. ἡμεῖς δὲ (1) κυ-

(a) Σηκούς.] Colum. *p.* 294. " *Columbarii parietes continuis cubilibus* " *excaventur; vel, ſi ita non competit, paxillis adactis tabulæ ſuperponantur, quæ vel loculamenta, quibus nidificent aves, vel fictilia columbaria* " (hæc Noſter κυθρίνους vocat) *recipiant, præpoſitis veſtibulis, per quæ ad* " *cubilia perveniant.*

(1) *Emend. ex MSS. prius* κυθίνους. Du Freſne *habet* κύθρον, Olla; *hinc* κύθρινος.

θρίνους

θείνους ὀνομάζομεν, ἐν οἷς χρὴ διάγειν καὶ τίκτειν τὰς συνεζευγμένας περιστεράς· παραθετέον δὲ ἑκάστῳ σηκῷ σανίδας, ὅπως δι᾽ αὐτῶν αἱ πάροδοι γίνωνται. Χωστέον δὲ ἐν τῷ οἴκῳ λουτῆρα μείζονα, ἵνα καὶ πίνειν καὶ λούεσθαι δύνωνται, καὶ μὴ προφάσει τοῦ ὕδατος συνεχῶς ἄνθρωπος παρενοχλῇ ταῖς περιστεραῖς, ὅπερ σφόδρα καταβλάπτει. οὐ μέντοι παντελῶς ἀποδοκιμαστέον εἴσοδον ἀνθρώπου. ἀναγκαῖον γάρ ποτε καὶ σαροῦν τὸν οἶκον, καὶ τὴν κόπρον λαμβάνειν, κἄν τι πεπονηκός εἴη τῶν ἔνδον ἐπισκευάζειν, πρὸς τὸ μήτε τοὺς ὄφεις, μήτε ἄλλα ἑρπετὰ λυμαίνεσθαι. Ἐγὼ δὲ κωλῦσαι βουλόμενος τὰς τῶν ἑρπετῶν ἐφόδους, ἐπιλεξάμενος ἰδιάζοντα τόπον, οὐκ ἔχοντα πλησίον οἰκήματα, ἀλλὰ πόῤῥω ἀφεστῶτα, καὶ μετακομίσας κίονας πρὸς τὸ μέγεθος τοῦ μέλλοντος οἰκοδομεῖσθαι ἔργου, καὶ τούτους στήσας οὐκ ἐπ᾽ εὐθείας, ἀλλὰ κύκλῳ, εἶτα ἐπιθεὶς κατὰ τῶν κιόνων κεφαλίδας, καὶ μετὰ ταῦτα κατὰ τῶν κεφαλίδων (2) ἐπίστυλα λίθινα, ἐν ἀπορίᾳ δὲ λιθίνων ἐπιστύλων, ξύλινα ἐπίστυλα πάνυ γενναῖα ἐπιθεὶς, ἐπέκτισα κατὰ τῶν κιόνων κύκλῳ δύο οἰκίσκους, ἔχοντας ὕψος ἀπὸ πηχῶν ἑπτὰ, τάξας ἐν τοῖς τοίχοις ἀπὸ μὲν δύσεως μίαν θυρίδα φωτὸς ἕνεκεν, ἀπὸ δὲ ἀνατολῆς ἄλλην θυρίδα, τάξας ἐν αὐτῇ τὴν καλουμένην καθέκτην, ὅθεν χρὴ τὰς περιστερὰς ἐπὶ νομὴν ἐξιέναι· ἀπὸ δὲ μεσημβρίας θύραν, χάριν τοῦ εἰσιέναι τὸν ἐπιμελούμενον τῶν ὀρνέων. καὶ τούτῳ τῷ τρόπῳ ἀβλαβεῖς τὰς περιστερὰς ἐφύλαξα. οὔτε γὰρ ἑρπετὰ ἀνελθεῖν οἷόν τέ ἐστι διὰ τῶν κιόνων σφόδρα ἐπιμελῶς (3) ἐπιχρισθέντων κονιάμασι, καὶ ὁμαλισθέντων. οὔτε αἴλουρον, οὔτε ἕτερον ζῶον ἐπιτίθεσθαι δυνατὸν, (4) μὴ ὄντων πλησίον οἰκημάτων, ἀφ᾽ ὧν ἐπιβουλεύειν δυνήσονται. χρὴ δὲ τὸν βουλό-

quibus conjugatas columbas verſari ac parere oportet: apponantur autem ſingulis nidis aſſeres, ut per ipſos tranſeant. Effodiatur autem in domo lavacrum quoddam amplius, ubi & bibere & lavari poſſint, ne occaſione præbendæ aquæ homo frequenter columbas perturbet, quod valde damnoſum eſt. Non tamen omnino reprobandus eſt hominis acceſſus. Nam & verrere domum aliquando neceſſarium eſt, & ſtercus exportare, & ſi quid affectum eſt intus reſarcire, ut neque ſerpentes, neque alia reptilia damnum inferre queant. Cæterum ego reptilium acceſſum impedire volens, proprium locũ deligebam, cui domus propinquæ non erant, ſed procul diſtantes, & columnas transferebam pro magnitudine operis extruendi, eaſque ſtatuebam non in directum, ſed circulatim, deinde ſupra columnas capitella imponebam, poſtea ſuper capitella columnas lapideas, modo autem columnarum lapidearum fuerit inopia, alias columnas ligneas præſtantes imponebam, & ſuper columnas circulatim duas domunculas extruebam, altitudine cubitorum ſeptem, faciebamque in parietibus ab occaſu feneſtram unam lucis gratia, ab ortu vero aliam, in quo collocabam opus cancellatum, καθέκτην appellatum, unde columbas ad paſtum exire oportet; a meridie autem januam ſtatuebam, per quam ingrederetur, qui avium curam gerit. Atque hoc modo illæſas columbas conſervavi. Neque enim poſſibile eſt reptilia per columnas aſcendere, cum ſint valde accurate tectorio oblitæ, & complanatæ. Neque feles, neque aliud animal inſidias ſtruere poteſt, aut aggredi, cum non ſint domus in

(2) *Hanc lacunam, ab* ἐπίστυλα *ad* λιθίνων, *ſupplevi ex opt. MS.* Barocc.
(3) *Ita MSS.* (4) *Hanc voculam ſupplendam eſſe, vidit* Interpres.

propinquo,

propinquo, e quibus inſidiari queant. Oportet autem eum, qui columbarium inſtituere velit, non a tenellis columbis auſpicari, ſed a matricibus. Si autem decem paria ſint ad conſtitutionem, cito multiplicantur.

μένον περιστερεῶνα συνιστᾶν μὴ ἀπὸ νέων ἄρχεσθαι περιστερῶν, ἀλλ' ἐκ τοκάδων. εἰ δέ ἐστι ζεύγη δέκα πρὸς τὴν σύστασιν, πολυπλασιάζονται ταχέως.

CAP. VII.

De gallinis.

Florentini.

DOmeſticas gallinas in domibus calidioribus & magis opertis nutrire convenit, in quibus fumus accreſcit. Verum in parietibus nidos conſtruemus in quibus pariant, ex tabulis compoſitis & paleis ſubſtratis, ut delabens ab ipſis ovum non in ſiccum feratur, & rumpatur. Oportet item perticas parietibus infigere, in quibus gallinæ pernoctant. Cibus objiciatur ipſis ptiſana cocta, milium, furfur frumenti, aut lolium quod & zizaniorum nomine innoteſcit, hoc enim optimum alimentum præbet, & cytiſi folia viridia; hæc enim & fœcundiſſimas ipſas faciunt. Quum vero ova pariunt, maxime cavere oportet, ne vinacea edant, fœcunditatem enim ipſarum reprimunt. At vero quæ ova comedere ſolent, ſic deſueſcent id facere. Ovi candidum evacuetur, in vitellum autem gypſum liquidum infundatur, ut in teſtæ duritiam tranſeat. Ubi enim eſurient, & nihil amplius reperient, cito abſtinebunt ab ovis comedendis. Pingueſcunt autem maxime, ac craſſiſſimæ fiunt, in domo tenebricoſa & calida nutritæ, pennis præpetibus evulſis, oblatoque in cibum farina hordeacea aqua ſubacta. Alii hordeacea & loliacea farina utuntur, aut hordeo & lini ſemine cum omelyſi.

ΚΕΦ. Ζ.

Περὶ κατοικιδίων ὀρνίθων.

Φλωρεντίνου.

ΤΑς κατοικιδίους ὄρνεις ἐν θερμοτέροις οἴκοις καὶ στεγνοτέροις θρεπτέον, ἐν οἷς καπνὸς παραφύεται. ἐν δὲ τοῖς τοίχοις καὶ νοσσιὰς εἰς τὸ ἐν αὐταῖς τίκτειν κατασκευάσομεν, συντιθέντες σανίδας καὶ ὑποστρωννύντες ἄχυρα, ὅπως τὸ καταφερόμενον ὠὸν μὴ κατὰ ξηροῦ φέρηται, καὶ (1) ῥήγνυται. δεῖ δὲ πηγνύναι ἐν τοῖς τοίχοις κάμακας, ἐφ' ὧν αὐλίζονται αἱ ὄρνεις. Παραβλητέον δὲ αὐταῖς τροφὴν πτισάνην ἑφθὴν, ἢ κέγχρον, ἢ πίτυρα σίτου, ἢ ζιζάνια τὰ καλούμενα αἶρας, ἅπερ ἐστὶ κάλλιστα εἰς τροφὴν, καὶ (2) κυτίσου φύλλα ὑγρά· ταῦτα γὰρ καὶ γονιμωτάτας ποιεῖ. ὅταν δὲ ὠοτοκῶσι, παρατηρεῖν μάλιστα χρὴ, ὅπως μὴ γίγαρτα φάγωσι. τὸ γὰρ (3) γόνιμον αὐτῶν ἐπέχει. τὰς δὲ ὠοφαγούσας ὄρνιθας ἀπεθιστέον οὕτως. ὠοῦ τὸ λευκὸν κενωτέον, εἰς δὲ τὴν λέκιθον, τουτέστι τὸ χρυσίζον τοῦ ὠοῦ, γύψον ὑγρὰν ἐμβλητέον, ἵνα ὀστρακωθῇ. ἐφιέμεναι γὰρ τῆς λιχνείας, καὶ πλέον οὐδὲν εὑρίσκουσαι, ταχέως ἀφέξονται τοῦ τοῖς ὠοῖς λυμαίνεσθαι. Λιπαίνονται δὲ μάλιστα, καὶ παχύταται γίνονται, ἐν οἴκῳ σκοτεινῷ καὶ θερμῷ τρεφόμεναι, τῶν ὠκυπτέρων ἐκτιλλομένων, προσφερομένης τε τροφῆς ἀλεύρων κριθίνων ὕδατι φυραθέντων. ἄλλοι δὲ κριθῶν καὶ αἴρας ἀλεύρῳ χρῶνται, ἢ κριθῶν καὶ λινοσπέρμου μετὰ (a) ὠμῆς λύσεως. οἱ δὲ

(1) *An legend.* ῥηγνύηται. (2) *Ex MSS. ante* κιτίσου ... μονιμωτάτας.
(3) *Ita MSS. prius,* μόνιμον.
(a) Ὠμῆς λύσεως.-] *De Omelyſi, vid.* H. Steph. Galen. Κατὰ τόπ. & *Lexic.* Hippocr.

καὶ

καὶ ἀλφίτων μιγνύουσιν, ἔνιοι τούτοις καὶ οἶνον περιχέουσι. τινὲς ἄρτον σίτινον εἰς (4) οἶνον καλὸν διαβρέχοντες διδόασιν. οἱ πλεῖστοι δὲ κέγχρῳ τρέφουσι. Χρὴ δὲ τὸν βουλόμενον ὀρνιθοτροφεῖν, ἐκλέγεσθαι τῶν ἀλεκτορίδων τὰς πολυγονωτάτας· καταλαμβάνεται δὲ τοῦτο ἐξ αὐτῆς τῆς χρείας καὶ τῆς πείρας, οὐ μὴν ἀλλὰ καὶ ἐξ ἑτέρων τινῶν τεκμηρίων. ὡς ἐπίπαν γὰρ (b) αἱ ξανθίζουσαι, καὶ περιττοδάκτυλοι, τὰς ὄψεις μεγάλας ἔχουσαι, τόν τε λόφον ἐπηρμένον, καὶ αἱ μελανόπτεροι, καὶ τοῖς ὄγκοις μεγάλαι, τούς τε ἄρρενας ῥᾳδίως οἴσουσι, καὶ πρὸς ὠοτοκίας κρείττους εἰσὶ, καὶ τὰ ὠὰ μεγάλα τίκτουσιν, ἐξ ὧν καὶ τὰ νεογνὰ γίνεται γενναῖα. μὴ πλέον δὲ τῶν (5) πεντήκοντα ὀρνίθων ἐν τῷ οἴκῳ θρεπτέον. διαφθείρονται γὰρ ἐν ταῖς στενοχωρίαις. τοῦ δὲ πλήθους τῶν ὀρνίθων τὸ ἕκτον μέρος ἔστωσαν ἀλεκτρυόνες. Τὰ δὲ τικτόμενα ὠὰ εὐθὺς ληπτέον, καὶ συνθετέον εἰς ἀγγεῖα μετὰ πιτύρων. ὅταν δὲ τὰς ὄρνεις ἐπωάζειν βουλόμεθα, καθαρὰ ἄχυρα ὑποστρωτέον, (6) ἐντιθέντας ἐν αὐτοῖς (c) σιδηροῦν ἧλον· δοκεῖ γὰρ ἀλέξημα τοῦτο εἶναι πρὸς πᾶσαν κακίαν. (7) Ὑποτίθεται τῇ μὲν ἀγαθῇ ὄρνιθι μὴ πλέον τῶν κγ΄. ὠῶν, τῇ δὲ μὴ τοιαύτῃ ἐλάττονα, πρὸς τὴν ἑκάστης φύσιν. πανταχοῦ μέντοι δεῖ ἄνισον εἶναι τὸν ἀριθμὸν, καὶ αὐξανομένης τῆς σελήνης ὑποτιθέναι, τουτέστι μετὰ τὴν γένναν, ἕως ιδ΄. τῆς σελήνης. τὰ δὲ πρὸ νέας σελήνης ὑποτιθέμενα διαφθείρεται. Δεῖ δὲ ὑποτιθέναι τὰ ὠὰ, μάλιστα τὰ ἀπὸ Ζεφύρου πνοῆς τικτόμενα,

Μελισσῶν σμήνη μὴ φαρμακεῦσθαι, μηδὲ ἀγρὲς, μηδὲ οἰκίας, μηδὲ κτηνοτροφεῖα, μηδὲ ἐργαστήρια. Λεοντίνου.

Ὄνου μέλανος ὁπλὴν τοῦ δεξιοῦ ὤμου κατόρυξον ὑπὸ τὸν οὐδὸν τῆς εἰσόδου, καὶ ἐπίχεε ῥητίνην (1) πιτυΐνην ὑγρὰν, (αὕτη δὲ (a) ἐν Ζακύνθῳ γίνεται ἐκ τῆς λίμνης ἀναφερομένη, ὡς ἡ (b) ἄσφαλτος ἐξ Ἀπολλωνίας τῆς κατὰ (2) Δυῤῥάχιον ἐκ τῆς λίμνης ἀναβάλλεται) καὶ ἅλας, καὶ ὀρίγανον Ἡρακλεωτικὸν, καὶ καρδάμωμον, καὶ κύμινον, ἄρτου ζωμοὺς, σκίλλας, στέμμα ἐρίου λευκοῦ (3) ἢ φοινικοῦ, ἄγνον, ἱερὰν βοτάνην, θεῖον, δᾳδία πεύκινα, καὶ ἀμάραντον τὸ ὑπέρυθρον κατὰ μῆνα τίθει, καὶ ἐπίχωσον, καὶ πανσπερμίαν ἐπιβαλὼν ἄφες.

CAP. VIII.

Ut neque alvearia, neque agri, neque domus, neque pecorum ſtabula, neque officinæ, ullo incantamento afficiantur. *Leontini.*

Aſini nigri ungulam e dextro armo ſub limine oſtii defodi, & reſinam pini liquidam affundito, (Hæc vero gignitur in Zacyntho ex ſtagno emergens, quemadmodum bitumen ex Apollonia allatum juxta Dyrrachium ex ſtagno ejicitur) & ſalem, & origanum Heracleoticum, & cardamomum, & cuminum, panis buccellas, ſcillas, coronam lanæ albæ aut puniceæ, viticem, verbenacam, ſulphur, tedas piceas, & amarantum ſubrufum ſingulis menſibus deponito, & aggeſta terra obruito, injectis omnis generis ſeminibus.

(1) *Delevi præced. vocem* πιτύνην, *auctor. MSS.*

(a) Ἐν Ζακύνθῳ-] Plinius *hunc locum illuſtrat, &* liquidum bitumen *vocat, quod* Noſter ῥητίνην πιτυΐνην ὑγρὰν, Tom. 5. *p.* 252. " *Eſt vero liquidum bitumen, ſicut Zacynthium, & quod a Babylone invehitur. Bitumen* Zacynthium *laudant* Dioſcor. *Lib.* 1. *Cap.* C. *&* Vitruvius *Lib.* 8.

(b) Ἄσφαλτος ἐξ Ἀπολλωνίας τῆς κατὰ Δυῤῥάχιον-] Apollonia, Corinthiorum *colonia, juxta* Epidamnum *ad mare* Adriaticum *poſita; quam, propter inauſpicatum nomen,* Romani Dyrrachium *appellabant; hodie* Durazzo. *Bitumen vero liquidum* Apolloniaticum, *ſive* πισσάσφαλτον, *memorant* Plinius *&* Dioſcorides; Hic, *p.* 54. Καλεῖται δέ τις καὶ πιττάσφαλτος γεννωμένη ἐν Ἀπολλωνίᾳ τῇ πρὸς Ἐπιδάμνῳ, ἥτις ἐκ τῶν Κεραυνίων ὀρῶν συγκαταφέρεται τῇ τοῦ ποταμοῦ ῥύμῃ, καὶ ἐκβράσσεται κατὰ τὰς ἠϊόνας, βωλοειδῶς συμπεπηγυῖα, ὄζουσα πίσσης μεμιγμένης ἀσφάλτῳ.

(2) *Ita legendum quis non videt? antea peſſime,* Δωράκινον. (3) *Hanc voculam ſupplevi ex* Interp. *cum loci ſenſus eam poſtulet; & repoſui* δᾳδία.

CAP. IX. | ΚΕΦ. Θ.

Ad perimendos fucos. Democriti. | Πρὸς τὸ ἀνελεῖν κηφῆνας: Δημοκρίτου.

SI fucos tollere libeat, veſpere incipiente opercula vaſorum intus aqua irrorato, & circa diluculum vaſa aperito, invenieſque fucos guttis operculorum adhærentes. Semper enim melle repleti ſiticuloſi ſunt, & ob aquæ appetentiam inſatiabilem ab humore operculorum non diſcedunt. Quare poſſibile fuerit ipſos omnes perdere, ita ut ne unus quidem aufugiat. Sunt autem magni, aculeoque carentes, & ignavi. Prodit Ariſtoteles, ex buxo mel fieri gravis odoris; ex quo ſi ſani edant, mente ipſos moveri, ſi vero mente perculſi eo veſcantur, ſtatim a malo liberari.

ΕΙ θέλεις ἀνελεῖν τοὺς κηφῆνας, ἀρχομένης ἑσπέρας τὰ πώματα τῶν ἀγγείων ἔνδοθεν καταῤῥαίνον ὕδατι, καὶ περὶ τὸν ὄρθρον ἄνοιξον τὰ ἀγγεῖα, καὶ εὑρήσεις τοὺς κηφῆνας ταῖς ῥανίσι τῶν πωμάτων προσκαθημένους. ἀεὶ γὰρ μεστοὶ τοῦ μέλιτος ὄντες διψῶσι, καὶ ἀκορέστως τοῦ ὕδατος ἔχοντες οὐκ ἀφίστανται τῆς τῶν πωμάτων νοτίδος. διὸ καὶ δυνατὸν πάντας αὐτοὺς διαφθεῖραι, καὶ μηδένα αὐτῶν διαφυγεῖν. εἰσὶ δὲ μεγάλοι, καὶ ἄκεντροι, καὶ ἀργοί. Φησὶ δὲ ὁ (a) Ἀριστοτέλης, (1) τὸ ἀπὸ τῆς πύξου μέλι γινόμενον εἶναι βαρύοσμον· ἀφ᾽ οὗ τοὺς μὴ ὑγιαίνοντας φαγόντας ἐξίστασθαι, τοὺς δὲ (2) ἐπιπλήκτους, εὐθὺς ἀπαλλάττεσθαι [(3) τοῦ νοσήματος.]

(a) Ἀριστοτέλης.] *Locus* Ariſtotelis *legitur in* Libro *de* Mirabilibus Auſcultat. *p.* 1151. *Edit.* Pariſienſ. Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι βαρύοσμον· Καί φασι, τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δὲ ἐπιλήπτους τελέως ἀπαλλάττειν.

N. B. *De Apum cura, ſedibus eligendis, melle, & ægrotantium remediis conſulendi ſunt* Columella *Libro* 9. Varro *Lib.* 3. *Cap. XVI.* Pallad. *p.* 32, 3. *& p.* 112. Virgil. *Georg. IV. &* Conr. Heresbachius.

(1) *MSS. &* Interp. *habent,* ---γίνεσθαι ἀπὸ τῆς πύξου μέλι βαρύοσμον. (2) *Reſtitui ex* Ariſtotele, *antea,* ἐπιληπτικοὺς, *nam* ἐπίπληξις *&* ἔκστασις *non multum diſcrepant. Vid.* Notam *præced.* (3) *Hæc non comparent in MSS.*

CAP. X. | ΚΕΦ. Ι.

Ut a veſpis aliquis non pungatur. Paxami. | Ὑπὸ σφηκῶν μὴ κρούεσθαι. Πάξαμου.

MAlvæ ſylveſtris ſucco ad veſparum impetum illinatur, [*& non pungetur*].

ΜΑλάχης ἀγρίας χυλῷ τις χριέσθω, (1) καὶ οὐ πληγήσεται.

(1) *MSS. non agnoſcunt hanc* προσθήκην· *In MS.* Saraceni *ſcribitur,* ---καὶ ἀποκρούσεται τοὺς σφῆκας.

ΒΙΒΛΙΟΝ ΙϚ'. LIBER XVI.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙϚ'.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, δεκαέκτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ ἵππων ἐπιμελείας, καὶ θεραπείας αὐτῶν, καὶ ἐκτροφῆς, καὶ περὶ ὄνων καὶ καμήλων.

ARGUMENTUM Lib. XVI.

HÆC inſunt in hoc libro, qui decimus ſextus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de cura equorum, curationeque & educatione eorundem, itemque de aſinis & camelis.

ΚΕΦ. Α.

Περὶ ἵππων. (1) Ἀψύρτου.

ΤΑΣ θηλείας ἵππους, ἐξ ὧν πωλοτροφήσομεν, εἶναι χρὴ εὐπαγεῖς, καὶ μέγεθος ἐχούσας ἱκανὸν, καὶ ὡραίας ἰδεῖν, πλάτος τε ἔχειν ἐν τοῖς μέρεσι τῆς κοιλίας κατὰ τὰς λαγόνας· τῷ δὲ χρόνῳ μήτε νεωτέρας ἐτῶν γ'. μήτε πρεσβυτέρας ἐτῶν ι'. Τὸν δὲ ἵππον τὸν πρὸς ὀχείαν χρὴ εἶναι τῇ περιοχῇ τοῦ σώματος μέγαν, εὐπαγῆ πᾶσι τοῖς μέρεσι. (a) Καιρὸς δὲ τοῦ βιβάζειν ἀπὸ ἰσημερίας ἐαρινῆς, τουτέστιν ἀπὸ (2) κβ'. Μαρτίου, ἕως κβ'. Ἰουνίου, ἵνα ὁ τοκετὸς γένηται περὶ τὴν εὐκρατωτάτην ὥραν τοῦ ἔτους, καὶ χλόην ἔχουσαν. Φέρει γὰρ κατὰ γαστρὸς ἡ ἵππος μῆνας ια'. καὶ ἡμέρας ι'. τὰ δὲ μετὰ τροπὰς θερινὰς κυϊσκόμενα δυσγενῆ γίνεται, καὶ ἀχρεῖα. Ἀποστατέον δὲ τὸν ἵππον κατὰ τὸν καιρὸν τῆς ὀχείας ἀπὸ τῶν ἔργων. βιβάζειν δὲ χρὴ μὴ πολλάκις τῆς ἡμέρας, ἀλλὰ δὶς μόνον, πρωῒ καὶ δείλης. ἐὰν δὲ

CAP. I.

De equis. Apſyrti.

EQuas fœminas, ex quibus pullos educabimus, bene compactas eſſe oportet, & magnitudinem juſtam habentes, pulchroque adſpectu, habereque latum ventrem juxta ilia & lumbos. Ætate ſint non minores annis tribus, neque ſeniores decem. Equum vero admiſſarium corporis ambitu eſſe oportet magnum, & partibus omnibus bene compactum. Tempus ſaliendi autem eſt ab æquinoctio verno, hoc eſt a vigeſima ſecunda Martii, uſque ad ſecundam & viceſimam Junii, quo partus excludatur circa temperatiſſimum anni tempus, in quo herbæ ac gramina vireſcunt. Geſtat enim equa in utero menſes undecim & dies decem. Concepti autem pulli poſt ſolſtitium æſtivum degeneres & inutiles fiunt. Admiſſionis tempore equus a laboribus ferias agat. Salire autem raro in die ipſum oportet, ſed bis

(1) *MSS.* F. L. *&* Bod. *affigunt* Ἀφρικανοῦ.

(a) Καιρὸς ... βιβάζειν-] *Ita* Columella *p.* 234. "*Generoſis equabus circa vernum æquinoctium mares jungentur, ut eodem tempore, quo conceperint, jam lætis & herbidis campis poſt anni meſſem parvo cum labore fœtum educent: nam menſe duodecimo partum edunt.*

(2) *Malim* κδ'. *ut ſupra legitur* Pag. 381.

ſolummodo

ſolummodo, mane & veſperi. Si ſemel inſcenſa equa marem rurſus non admiſerit, poſt dies decem ad ipſam rurſus adducatur. Si vero neque ſic admiſerit, ſegreganda eſt, ut quæ jam concepit. Cum autem conceperint, curandum eſt, ne plus juſto coeant, neque frigidis requieſcant locis: Inimicum eſt enim prægnantibus frigus. At mares alacres ad venerem faciemus, ſi deterſa equæ natura ipſis nares illeverimus. Pullum generoſum futurum ſic dignoſcemus tum ex animæ, tum ex corporis virtutibus; velut exempli gratia ex corporis virtutibus; Caput habet parvum, oculos nigros, nares non collapſas, aures breves, cervicem mollem, jubam profundam, paulo criſpiorem, ad dextram cervicis partem profuſam, pectus latum & muſculis plenum, ſcapulas magnas, armos rectos, alvum ſubſtrictam, teſtes exiguos, ſpinam maxime quidem duplicem, ſin minus, non gibboſam, caudam magnam, pilis denſam ac criſpam, crura recta, femora toroſa, ungulam rotundam, cui mediocris corona ſuperpoſita eſt, & un-

ἅπαξ βιβασθεῖσα μὴ προσίῃ (3) τὸν ἄῤῥενα, μετὰ ι΄. ἡμέρας πάλιν προσακτέον αὐτῇ. ἐὰν δὲ μηδὲ οὕτω προσδέξηται, ἀποχωριστέον αὐτὴν, ὡς ἤδη συνειληφυῖαν. Ὅταν δὲ συλλάβωσι, (4) προνοητέον ὅπως μὴ μιχθῶσι πλέον τοῦ δέοντος, μηδὲ ψυχροῖς διαναπαύωνται τόποις· ἐναντιοῦται γὰρ ταῖς κυούσαις τὸ ψῦχος. Τοὺς δὲ ἄῤῥενας προθύμους περὶ τὴν ὀχείαν ποιήσομεν τοῖς (b) ἀπομάγμασι τοῖς τῆς φύσεως τῆς θηλείας περιχρίοντες αὐτῶν τὰς ῥῖνας. Τὸν δὲ πῶλον τὸν ἐσόμενον ἀγαθὸν διαγνωσόμεθα οὕτως, ἀπὸ τῶν ψυχικῶν καὶ σωματικῶν ἀρετῶν, οἷον ἀπὸ μὲν τοῦ σώματος· Τὴν (c) κεφαλὴν ἔχει μικρὰν, ὄμματα μέλανα, ῥῖνας μὴ συμπεπτωκυίας, ὦτα (5) προσεσταλμένα, τράχηλον ἁπαλὸν, χαίτην βαθεῖαν, οὐλοτέραν βραχὺ, κεκλιμένην ἐπὶ τὰ δεξιὰ τοῦ αὐχένος, στῆθος εὐρὺ (6) μεμυωμένον, ὠμοπλάτας μεγάλας, βραχίονας ὀρθοὺς, κοιλίαν εὔογκον, διδύμους (7) μικροὺς, ῥάχιν μάλιστα μὲν διπλῆν, † εἰ δὲ μή γε κυρτὴν, οὐρὰν μεγάλην, οὐλότριχον, σκέλη ὀρθὰ, μηροὺς μεμυωμένους, ὁπλὴν εὐπερίγραφον, καὶ πάντοθεν ὁ-

(3) *Ita MSS. prius* τῷ ἄῤῥενι· *In* Hippiatricis *pag.* 56. *ſcrib.* μὴ προσίηται. (4) Caſaub. *& MSS.* φροντιστέον.

(b) Ἀπομάγμασι-] Idem *p.* 236. "*Si admiſſarius iners ad Venerem eſt,* " *odore perfricatur deterſis ſpongia fœminæ locis, & admota naribus equi.*

(c) Κεφαλὴν ... μικρὰν,-] *Hæc omnia fuſius enumerat* Columella *pag.* 237. & Pallad. *p.* 104.

(5) *Ita legendum, ut apud* Ariſtot. θρὶξ προσεσταλμένη, *vel ex* Columella *& MS.* Emman. ὠτία ὀρθὰ καὶ προϊστάμενα· *prius* προεσταλ. (6) *Emend. ex MSS. antea* μεμισμένον. (7) *In MS.* Voſſ. *interpolatur* μικρούς· *& ita habet* Columella *pag.* 237.---"*teſtibus paribus & exiguis*: *ſuffragante MS.* Emman. *Prius* μακρούς. *In iſto autem MS. boni Equi indicia, quæ hoc & ſequenti capite leguntur, in unum compinguntur; & pleraque ſupplentur, quæ in* Hippiatr. *&* Geopon. *deſunt, ſed apud* Columellam *leguntur: Ut,* στῆθος εὐρὺ πλῆρες καὶ μεμυωμένον,——. Βραχίονας ὀρθοὺς διηρθρωμένους, πλευρὰς κεκυρτωμένας, κοιλίαν——. Διδύμους μικροὺς ἰσομεγέθεις, ἰσχία πεπληρωμένα, καὶ πλάτος ἔχοντα διπλοῦν, ῥάχιν ἐγκαθημένην, διπλῆν, ὁμαλὴν,——.

† *An hæc* περικοπὴ *ſic ſcribenda,* εἰ δὲ μὴ, μή γε κυρτήν.

μαλλῶ

ὁμαλῶς συμπεπηγυῖαν, βάτραχον μικρὸν, ὄνυχα στερεόν· ἐκ τούτων πάντων πρόδηλός ἐστιν ὁ ἀγαθὸς καὶ μέγας ἐσόμενος ἵππος. Ἀπὸ δὲ τῶν (d) ψυχικῶν οὕτω δοκιμάζεται· ἐὰν μὴ ἐπτοημένος ᾖ, μηδὲ ὑπὸ τῶν αἰφνιδίως φαινομένων ἐκταραττόμενος, ἔν τε τῷ συναγελασμῷ τῶν πώλων φιλόπρωτος, οὐκ εἴκων, ἀλλ' ἐξωθῶν τὸν πλησίον· ἐν δὲ τοῖς ποταμοῖς καὶ λίμναις οὐκ ἀναμένων ἕτερον προεμβαίνειν, αὐτὸς δὲ ἀκαταπλήκτως πρῶτος τοῦτο (8) ποιῶν. Εἰς δὲ χειροήθειαν ἀκτέον τοὺς πώλους πληρώσαντας τοὺς ι. καὶ κ'. μῆνας, τότε φορβειὰν αὐτοῖς περιτεθέντας· τὸ δὲ χαλινὸν πρὸς τῇ φάτνῃ κρεμαστέον, ἵνα ψαύων συνεθίζηται, καὶ μὴ εὐλαβῆται τὸν ἀπὸ τῶν στελιστηρίων ψόφον. γενόμενον δὲ τριετῆ δαμαστέον, πρὸ (9) τοῦ (e) γρασισθῆναι. Τὸν δὲ χρόνον καὶ τὴν ἡλικίαν τῶν ἵππων, καὶ πάντων τῶν μονωνύχους τὰς ὁπλὰς ἐχόντων, σχεδὸν δὲ καὶ τῶν κερασφόρων, γνωσόμεθα ἀπὸ τῆς τῶν ὀδόντων ἐκβολῆς. (f) λ'. μὲν γὰρ μηνῶν γενόμενος ὁ πῶλος πρωτοβολεῖ τῶν ἐμπροσθίων ὀδόντων, οὓς καλοῦμεν τομεῖς, τοὺς μέσους δύο κάτωθεν καὶ ἄνωθεν

dique æqualiter compactam, ranunculum parvum, unguem ſolidum: Ex his omnibus manifeſtus fit pullus, qui bonus ac magnus equus evaſurus eſt. Ab animæ porro virtutibus ſic experimentum ſumendum eſt: Si non ſit pavidus, neque ab apparentibus derepente perterreatur, & in grege pullorum primus appareat, non cedens, ſed trudens proximum; & in flumina ac ſtagna non expectans ut alius prior ingrediatur, ſed ipſe intrepide primus hoc faciens. Manſuefaciendi autem ſunt pulli, decem & octo menſibus impletis, capiſtraque ipſis circumponenda; frænumque ad præſepe ſuſpendendum, ut ejus contactu pullus adſueſcat, & non vereatur lupatorum ſtrepitum. Ubi autem trium annorum eſt, dometur, anteqam farrago præbeatur. Ætatem vero equorum, & omnium ſolidipedum, ferme & cornutorum, dignoſcemus ex dentium jactu. Triginta enim menſium pullus anteriores abjicit, quos τομεῖς appellant, mediis duobus ſuperne & inferne

(d) Ψυχικῶν...δοκιμάζεται-] Columel. *pag. cit.* "*Cum natus eſt pullus, confeſtim licet indolem æſtimare, ſi hilaris, ſi intrepidus, ſi neque conſpectu novæque rei auditu terretur, ſi ante gregem procurrit, ſi laſcivia, & alacritate, interdum & curſu certans æquales exuperat, ſi foſſam ſine cunctatione tranſilit, pontem flumenque tranſcendit.*

(8) *Ita MSS.* & Caſaub. *prius* ποιεῖ. (9) Caſaub. & Interp. *legebant* γασριθῆναι. Barocc. *ut in textu*; *Cætt. MSS.* γρασιθῆναι.

(e) Τοῦ γρασισθῆναι.] Γράσις *idem ac* κράσις, *quod* Etymologus *exponit* τὸν ἡμίξηρον χόρτον· *unde & animalia dicuntur* κρασίζεσθαι, i. e. ἐμφορεῖσθαι τοιούτου χόρτου. *A* Polluce κρασήελον *vocatur Crates lignea, præſepi imminens, cui imponitur fænum.* Du Freſne; Γρασίζειν, Gramen edere. *Uſurpatur etiam ab* Hippocrate Mulomedico *Cap.* 10. *de Venæ ſectione,* & Περὶ γρασισμοῦ ——— πεδίον σύῤῥιζον ἐφ' ὅσον ἡ γράσις προσηνὴς τυγχάνει· *Et* πυροῦ γράσις *legitur in* Hippiatricis, *quod in* Gloſſario *expon.* Farrago.

(f) Τριάκοντα μηνῶν-] Palladius *p.* 105. "*Bimo & ſex menſium dentes medii ſuperiores cadunt; quadrimo canini mutantur; infra ſextum annum molares ſuperiores cadunt: ſexto anno, quos primo mutavit, exæquat: ſeptimo omnes ejus dentes explentur. Latent abhinc ætatis notæ.*

inferne

inferne abjectis. Initio quarti anni rurſus alios abjicit inferne & ſuperne duos ex utraque patre. Videturque tunc producere eos, qui canini appellantur. Exactis autem quatuor annis, ubi jam attigerit quintum, reliquos ejicit inferne & ſuperne, ex utraque parte unum: Eos vero qui naſcuntur cavos habet. Sextum deinde ingreſſo annum, primorum cavitates explentur. Ubi vero ſeptimum attigerit, omnes habet completos, neque ulla in eis cavitas reſtat. Quod ubi contigerit, non amplius facile eſt annos dignoſcere. Cæterum equus in univerſum non ægrotat, ſi cervi cornu, amuleti vice, ei alligâris.

[10 ὁμοίως τοὺς] δύο ἀποβάλλων. ἀρχόμενος δὲ τοῦ τετάρτου ἔτους ἐκβάλλει πάλιν ἄλλους δύο κάτωθεν ἐξ ἑκατέρου μέρους, καὶ ἄνωθεν ὡσαύτως. φέρειν δὲ δοκεῖ τότε καὶ τοὺς κυνόδοντας. τελειώσας δὲ τὰ δ΄. ἔτη, καὶ τοῦ ε΄. ἐπιλαβόμενος, τοὺς λοιποὺς ἐκβάλλει κάτωθεν καὶ ἄνωθεν ἐξ ἑκατέρου ἕνα· τοὺς δὲ φυομένους κοίλους ἴσχει. ἐμβάντος δὲ εἰς τὸ ἕκτον ἔτος, ἀναπληροῦνται τῶν πρώτων τὰ κοιλώματα. ἐπιλαβόμενος δὲ τοῦ ζ΄. πάντας ἴσχει συμπεπληρωμένους, καὶ οὐδὲν ὅλως ἔχοντας κοίλωμα. τούτου δὲ συμβάντος, οὐκέτι ῥᾴδιον ἐπιγινώσκειν τὰ ἔτη. ἵππος δὲ καθόλου οὐ νοσεῖ, ἐὰν ἐλάφου κέρας τούτῳ περιάψῃς.

(10) *Hæc non comparent in MSS. &* Interp.

CAP. II.

Equi notæ. Pelagonii.

Quidam etiam equos oculis variis diſtinctos inter pulcherrimos recenſent, qualem fuiſſe ferunt equum Alexandri Macedonis Bucephalum. Linguam autem probant in equo tenuem & longam, faciem ſimam aut aduncam, cervicem altam, colorem glaucum, laudant & equum qui ægre titillatur, rectum collum, plenum & craſſum, hoc eſt, non breve, ventrem compreſſum, & ad ilia contractum, magnitudinem juſtam, venas per totum corpus no-

ΚΕΦ. Β.

Ἵππου σημεῖα. Πελαγωνίου.

Τινὲς δὲ καὶ τοὺς (a) ἑτεροφθάλμους ἐν τοῖς καλλίστοις τάττουσιν, οἷον φασὶ γεγονέναι τὸν τοῦ Μακεδόνος Ἀλεξάνδρου Βουκέφαλον, (1) γλῶσσαν λεπτὴν καὶ μακράν, τὸ δὲ πρόσωπον σιμὸν ἢ ἐπίγρυπον, ὑψαύχενα, γλαυκόν, (2) δυσγαργάλιστον, ὀρθὸν τράχηλον, πλήρη τε καὶ παχύν, τουτέστιν οὐ βραχυτράχηλον, γαστέρα συμπεπιεσμένην, καὶ ταῖς λαγόσι συνεσταλμένην, τὸ μέγεθος ἱκανόν, τὰς δὲ

(a) *In* Hippiatr. *ſub nomine* Apſyrti *hæc leguntur:* Οἱ ἑτερόφθαλμοι τῶν ἵππων οὐ τὸ αὐτὸ βλέπουσι τοῖς ὀφθαλμοῖς· ὅνπερ γὰρ τρόπον (male in edito τόπον) ὁ ἑτεροσκελὴς καὶ ὁ ἑτερόπους σκάζει, καὶ λείπεται τοῦ περιπάτου, οὕτω καὶ οὗτοι τοῦ ὁρατικοῦ· εἰσὶ δὲ καὶ πονηροὶ καὶ ἐπτοημένοι διὰ τὴν ἑτεροφθαλμίαν. Παραλαμβάνουσι δὲ αὐτοὺς Πάρθοι, ὡς εὐγενεστάτους.

(1) *MS.* Emman. *habet* Ἵππον φαμὲν ἀγαθόν, —— κεφαλὴν μικρὰν ἔχοντα, —— γλῶσσαν μικρὰν καὶ λεπτήν. (2) *Emend. ex* Xenophonte, *de* Re Equeſtri, *&* Interp. *Prius* δυσγαγγάλιστον. *In MS.* Bar. δυσγαργάλεστον.

ὅλου τοῦ σώματος φλέβας εὐσήμους καὶ ἐπηρμένας, τὴν χροιὰν κατακόρως μέλαινα. Πλάτων δὲ τοὺς λευκοὺς ἀποδέχεται, ὡς ἐν τῷ λευκῷ καὶ τῷ μέλανι τὴν ἀκρότητα ἐπαινεῖσθαι. καὶ τὸ φοινικίζοντα δὲ συναριθμοῦσι τοῖς ἀγαθοῖς ἵπποις· συμβαίνει δὲ, καὶ ἄλλης χροιᾶς ἀγαθοὺς εἶναι πολλάκις ἵππους. Ἀγαθοῦ δὲ ἵππου καὶ τοῦτο τεκμήριον, ὅταν ἑστηκὼς μὴ ἀνέχηται, ἀλλὰ κροτῶν τὴν γῆν ὥσπερ τρέχειν (3) ἐπιθυμῇ.

tabiles & elevatas, colore abunde nigricantem. Plato albos probat, tanquam in albo & nigro extrema laudentur. Puniceum quoque inter bonos equos numerant: contingit autem, & aliorum colorum bonos ſæpius equos eſſe. Boni præterea equi & hæc nota eſt, quando ſtans impatienter ſe gerit, & terram pedibus pulſans curſum meditatur.

(3) *In MS.* Bar. ἐπιθυμῶν, *in* Emman. ἑστάναι —— ἐπιθυμοῦντα· *ubi etiam male ſcribitur,* κρατοῦντα.

ΚΕΦ. Γ.

Περὶ ἰάσεως διαφόρων (1) νοσημάτων. Ἀψύρτου.

(a) Ἐὰν ἰσχναίνηται ὁ ἵππος, σίτου φρυγέντος ἢ κριθῶν ἐπτισμένων διπλάσιον παραβλητέον αὐτῷ, καὶ τρὶς τῆς ἡμέρας ποτιστέον. εἰ δὲ ἐπιμένοι ἰσχναινόμενος, πίτυρον τῷ σίτῳ μικτέον, καὶ ἠρεμαίαις γυμνασίαις χρηστέον. ἐὰν δὲ μὴ ἀδδηφαγῇ, στρύχνον καὶ πολίου δὲ φύλλα ὕδατι ποτίμῳ διηθηθέντα ἐγχέουσιν εἰς τὰς τροφάς. Τὰς δὲ κριθὰς καὶ τοὺς ὀρόβους διαβρέξαντες ὕδατι παρατιθέασιν, ἢ (b) μελανθίου κυάθους δύο τρίψαντες, καὶ μίξαντες ἐλαίου (2) κυάθους τρεῖς, μετὰ οἴνου κοτύλης μιᾶς ἐγχέουσι.

CAP. III.

De medela diverſorum morborum. Apſyrti.

SI macie tabeſcat equus, frumenti torrefacti aut hordei pinſiti dupla menſura ipſi objiciatur, & ter in die potum ducatur. Si vero ingruat macies, furfur frumento miſceatur, & equus leniter exerceatur. At vero ſi non ſit edax, ſolani & polii folia aqua potabili trita & colata alimento infundunt. Hordeum vero & ervum aqua macerata apponunt; aut melanthii cyathos duos terunt, & admixtis olei cyathis tribus, cum vini hemina faucibus infundunt. Nauſeantem curabis allio trito, &

(1) *Sequentem vocem* ἵππων *delend. ſuadebat. MSS. &* Interp. *conſenſus.*

(a) Ἐὰν ἰσχναίνηται-] Colum. *p.* 238. " *Si ſanis eſt macies, celerius torrefacto tritico, quam hordeo reficitur, ſed & vini potio danda eſt, ac deinde paulatim ejuſmodi cibi ſubtrahendi, immiſtis ordeo furfuribus, dum conſueſcat faba & puro ordeo ali. Plura remedia tradunt* Eumelus *&* Theomneſtus *in* Hippiatr. *pag.* 184.

(b) Μελανθίου-] Colum. *p.* 244. " *Interdum & faſtidio ciborum languet pecus. Ejus remedium eſt genus ſeminis, quod Gith appellatur: cujus duo cyathi triti adjunguntur olei cyathis tribus, & vini ſextario, atque ita faucibus infunduntur. Ita* Apſyrtus *in* Hippiatricis *p.* 300.

(2) *Ita MSS. ante* κυάθοις τρισί.

vini

vini hemina affuſa, ac data. Si urinæ ejiciendæ difficultate teneatur, ovorum decem album prædictis admixtum per os infundimus. Neque boves, neque equi ægrotabunt, ſi cervi cornu ipſis pro amuleto alligaveris.

Ναυτιῶντα δὲ θεραπεύσεις (3) σκόρδα κοτύλῃ οἴνου σὺν ἐλαίῳ μίξας, καὶ δούς. ἐὰν δὲ καὶ δυσουρίᾳ ἐνέχηται, ὠῶν δέκα τὸ λευκὸν τοῖς προειρημένοις μιχθὲν διὰ τοῦ στόματος ἐγχέομεν. οὔτε δὲ βόες, οὔτε ἵπποι νοσήσουσιν, ἐὰν ἐλάφου κέρας περιάψῃς αὐτοῖς.

(3) *Supplevi & reſtitui ex MSS.* Columella *&* Hippiatr.

CAP. IV.

De febricitante equo. Ejuſdem.

FEbricitans equus calido lavacro æſtate curetur, hyeme vero foveatur, ne frigeſcat: Alimentum vero minimum ex ervi aut tritici farina exhibeatur, & in potum aqua tepida offeratur; vino cum oleo tepefacto totum corpus ungatur, venterque purgetur, & ſanguis ex collo, aut venis circa guttur ſive pectus, aut de pede detrahatur. Genua aceto calido confricentur; ubi vero convaluiſſe videatur, aqua calida lavetur. Si vero ex laſſitudine febricitet & macilentus reddatur, lactis caprini heminam, amyli menſuram, olei heminæ dimidium, ova quatuor, admixto portulacæ contuſæ ſucco, ad dies tres aut plures infunde, donec ſanus fiat. Si vero, ob humorum influxionem in tonſillas aut partes circa caput factam, febri corripiatur, fovendus eſt, & palatum ejus ſale cum origano tu-

ΚΕΦ. Δ.

Περὶ πυρέσσοντος ἵππου. Τοῦ Αὐτοῦ.

ΤΟν πυρέττοντα θεραπευτέον θερμῷ λουτρῷ (1) θερείας, χειμῶνος δὲ θαλπτέον, ὡς μὴ ῥιγώῃ, καὶ τροφὴν ὀλιγίστην ὀρόβων ἢ πυρῶν ἀλεύρου δοτέον, καὶ ποτὸν ὕδωρ χλιαρὸν προσκομιστέον, οἴνῳ τε ἅμα ἐλαίῳ χλιανθέντι ἀλειπτέον πᾶν τὸ σῶμα, καὶ διὰ κοιλίας καθαρτέον, αἷμά τε ἐκ τοῦ τραχήλου, ἢ τῶν περὶ φάρυγγα ἢ τὸ στῆθος φλεβῶν, ἢ τοῦ ποδὸς ἀφαιρετέον. τὰ δὲ γόνατα χριστέον ὄξει θερμῷ· ὅταν δὲ ἐῤῥῶσθαι δοκῇ, λουτέον ὕδατι θερμῷ. Ἐὰν δὲ διὰ κόπον πυρέσσῃ καὶ (2) ἀπισχναίνηται, γάλακτος αἰγείου κοτύλην, (a) ἀμύλου μέτρον, ἐλαίου ἡμικοτύλιον, ὠὰ δ΄. ἀνδράχνης κοπείσης τὸν ὀπὸν ἀναμιχθέντα ἔγχεε ἐπὶ ἡμέρας γ΄. ἢ καὶ πλείους, ἕως ἂν ὑγιαίνῃ. Ἐὰν δὲ δι᾽ ἐπιφορὰν παρισθμίων ἢ τῶν περὶ κεφαλὴν πυρέττῃ, συνθαλπτέον αὐτὸν, καὶ τὴν ὑπερῴαν ἁλσὶ μετ᾽ ὀριγάνου κοπεῖσι καὶ ἐν

(1) *Totum hoc Caput totidem pene verbis legitur, ſub* Anatolii *nomine,* *in* Hippiatr. *pag.* 7. *unde ſupplevi* θερείας, *ut debita fieret antitheſis: in* Hippiatr. ῥιγῶσαι. (2) *In* Hipp. ἀπισχνωθῇ.

(a) Ἀμύλου-] *In* Hippiatricis *vocatur* ἄμυλον [illegible], *neutro genere, ſubaud.* ἄλευρον· *farina triticea, vel alia, ſine mola facta, inde nomen; Optimum amylum, quod e trimeſtri paratur tritico,* Creticum *&* Ægyptiacum, *teſte* Dioſcor. *Lib.* 2. *Cap.* 123. *Ubi amyli faciendi methodum fuſius tradit, longe vero aliam ab ea, quam* Cato *enarrat* Cap. *LXXXVII.*

ἐλαίῳ διηθηθέντι χριστέον. ὕδατι δὲ θερμῷ τοὺς πόδας καὶ τὰ γόνατα θερμαντέον, τά τε περὶ τὸ στόμα (3) στρύχνῳ τετριμμένῳ καὶ τρυγὶ οἴνου παρατριπτέον, βρύοις δὲ ἢ χλόῃ, ἄνευ κριθῆς, θρεπτέον. Ἐὰν δὲ διὰ τῶν ῥινῶν αἷμα φέρηται αὐτῷ, ἐγχέειν χρὴ δι' αὐτῶν κοριάνδρου χυλὸν, ἢ ὀπὸν χυλισθέντα.

ſo & per oleum excolato illinatur. Pedes & genua aqua calida calfiant, & partes circa os ſolano trito & vini fæce confricentur; algis vero aut viridi gramine, abſque hordeo, nutriatur. Si vero ſanguis per nares ipſi feratur, coriandri ſuccus, aut laſeris ſuccus dilutus, per nares infundatur.

(3) Hipp. *habent* μανζιζανίῳ στρύχνῳ.

ΚΕΦ. Ε.
Περὶ ὀφθαλμιῶντος.
Τοῦ Αὐτοῦ.

Ἐὰν ὀφθαλμὸς φλεγμαίνῃ, (a) λιβανωτοῦ ἄρρενος, ἐν ἄλλῳ δὲ, ἀρνείου μυελοῦ, ἑκάστου δραχμὴν μίαν, κρόκου, σηπίας (1) ὀστρέου δραχμὴν μίαν, ἐλαίου ῥοδίνου δραχμὰς ι'. ᾠῶν δ'. τὸ λευκὸν τούτοις μιχθὲν ὑπαλειπτέον. Ἄλλο πρὸς ὀφθαλμὸν φλεγμαίνοντα· λιβανωτοῦ, ἀμύλου, μέλιτος Ἀττικοῦ.

CAP. V.
De lippiente.
Ejuſdem.

SI oculus equi ſit inflammatus, thuris maſculi, ſive, ut Alii habent, medullæ agninæ, utriuſque drachmam unam, croci, oſſis ſepiæ, utriuſque drachmam unam, olei roſacei drach. decem, album ovorum quatuor, miſce ſimul & ſubline. Aliud ad oculum inflammatum medicamentum conſtat ex thure, amylo, & melle Attico.

(a) *Vid. Notas ad* Cap. 13. Lib. *VII. in* Hipp. λιβάνου ἀρσενικοῦ.

(1) *In MSS.* V. Bar. *&* Interp. *ſcribitur* ὀστοῦ, *quam lectionem adſtruit ſequens caput : ſed in* Hipp. *p.* 46. *&* Columella *legitur* ὀστράκου· *quibus ſuccinit* Athenæus *p.* 323. Ἔχει σηπία ——— καὶ τὸ λεγόμενον ὄστρακον ἐν τῷ νώτῳ.

ΚΕΦ. ς.
Περὶ λευκώματος.
Τοῦ Αὐτοῦ.

Ἅλος ἀμμωνιακοῦ λεπτοτάτου μέλιτι Ἀττικῷ ἢ ἄλλῳ καλῷ μικτέον, καὶ ἐγχριστέον· ἢ βουτύρου τὸ ἴσον ἐμβλητέον. ἢ σηπίας ὀστοῦν λειωθὲν διὰ καλάμου ἐμφυσητέον. ἢ σιλφίου ῥίζης μετ' ἐλαίου κοπείσης δὶς τῆς ἡμέρας ὑπαλειπτέον. ἢ σπέρμα εὐζώμου ὑγιὲς, ὥς ἐστιν, ἐμφυσητέον εἰς τοὺς ὀφθαλμοὺς, καὶ ἐατέον, ἕως οὗ

CAP. VI.
De albugine.
Ejuſdem.

SAl ammoniacum tenuiſſimum ad mel Atticum aut aliud bonum miſceatur, & illinatur; aut butyri tantundem adjiciatur. Aut ſepiæ os tritum per arundinem inſuffletur. Aut ſilphii radix cum oleo tuſa bis in die ſublinatur. Aut erucæ ſemen integrum, ita ut eſt, inſuffletur in oculum, & ſinatur, donec ſemina ſua acre-

acredine attenuent & abſtergant albugines.

[(1) ἀπολεπτύνουσι] τὰ σπέρματα ἐκλεπτύνῃ, καὶ σμήξῃ τῇ δριμύτητι.

(1) *Ita MSS.* V. F. L. *&* Bod. *An deleatur? In* Barocc.---ἀπολεπτυνθῇ τὰ σπέρματα, καὶ μιχθῇ τῇ δριμύτητι.

CAP. VII.

De nervis. Ejuſdem.

SI a nervis vexetur equus, aqua calida & partes ipſæ & caput perfundantur; Deinde adipis bubuli, & myrrhæ, ac ſulphuris pares portiones ollæ injiciantur, & caput equi obvelatum ſuffumigetur & calfiat. Sed & alvi evacuatione utendum eſt, & ſanguis ex cauda detrahendus.

ΚΕΦ. Ζ.

Περὶ νεύρων. Τοῦ Αὐτοῦ.

ΤΟν ὑπὸ νεύρων ὀχλούμενον καταντλητέον τά τε μέρη αὐτὰ καὶ τὴν κεφαλὴν ὕδατι θερμῷ· ἔπειτα στέατος βοείου, καὶ σμύρνης (1) ἴσου, καὶ θείου ἐντιθεμένου χυτρειδίῳ, τὴν κεφαλὴν συγκαλυφθεῖσαν ὑποθυμιατέον καὶ θερμαντέον. ἀλλὰ μὴν καὶ κενώσει κοιλίας χρηστέον, καὶ ἐκ τῆς οὐρᾶς αἷμα ἀφαιρετέον.

(1) *Ex MS.* Eton. *&* F. *prius* ἴσον ... χυτρειδίου.

CAP. VIII.

De alvi profluvio. Ejuſdem.

SI alvus fluat, ſanguis ex venis in capite detrahatur; bibat etiam aquam tepidam farinæ hordeaceæ mixtam. Si inde non covaleſcat equus, oleum per nares infundatur. Siſtunt autem & mali punici putamina alvum profluam, una cum rhoe Syriaco contuſa, & per os exhibita.

ΚΕΦ. Η.

Περὶ κοιλίας. Τοῦ Αὐτοῦ.

ΕΑν ἡ κοιλία ῥέῃ, αἷμα διὰ τῶν ἐν τῇ κεφαλῇ φλεβῶν ἀφαιρείσθω· πινέτω δὲ καὶ χλιαρὸν ὕδωρ μετὰ κριθίνων ἀλεύρων κυκηθέν. εἰ δὲ μὴ ῥαΐζοιτο, διὰ τῶν ῥινῶν ἔλαιον ἐγχείσθω. ἐπέχει δὲ κοιλίαν ῥέουσαν καὶ σίδια ῥοιᾶς, καὶ (a) ῥοῦς Συριακὸς ὁμοῦ κοπέντα, καὶ διὰ στόματος δοθέντα.

(a) Ῥοῦς Συριακὸς-] *Rhus a* Medicorum *filiis diſtinguitur in* Ῥοῦν μαγειρικὸν, condimentarium, Βυρσοδεψικὸν, coriarium, *&* Συριακόν. *Rhus condimentarius, quem aliqui* ἐρυθρὸν *appellant teſte* Dioſcor. *nihil aliud eſt, quam ſemen Rhois coriarii, cujus foliis ad ſpiſſanda coria utebantur; hic eſt* βυρσοδεψικός. Syriacus *autem, cujus toties meminerunt* Medici *&* Mulomedici, *judice* Salmaſio, *ne tantillum a contrario differt, niſi bonitate;* Græcis *ſequioris ætatis vocatur* Σουμάκιον *&* σουμάκιν, Arabibus, *&* Officinis, *Sumach.* Plinius *Tom.* 3. *p.* 72. *deſcribit ex* Theophraſto: "*Etiam* "*Rhus Syriæ maſcula fert, ſterilis fœmina, folio ulmi paulo longiore &* "*piloſo, foliorum inter ſe ſemper contrariis pediculis, gracili brevique ra-* "*mo. Pelles candidæ conficiuntur iis. Semen lenti ſimile cum uva ru-* "*beſcit, quod vocatur Rhus, medicamentis neceſſarium. In* Hortis *noſtris paſſim videtur. Semen cœliacis & dyſentericis utile, auctore* Dioſcor. *quem conſul. p.* 74. *&* Salm. *de* Homon. Hyles Iatr. *Cap.* 58.

ΚΕΦ. Θ.

Περὶ στρόφου. (1) Ἱεροκλέους.

Λουτέον ὕδατι θερμῷ, καὶ συγκαλυπτέον· ἔπειτα σμύρνης δραχμὰς ε΄. οἴνου παλαιοῦ κοτύλας ϛ΄. καὶ ἐλαίου κοτύλας γ΄. (2) ὁμοῦ διηθήσας, καὶ εἰς τρία μέρη διαιρήσας, ἔγχεον· καὶ τὴν κοιλίαν ὕδατι θαλαττίῳ ἢ μύρτων ἀφεψηθέντων τῷ ὕδατι θερμαντέον. καὶ (3) πολίου φύλλον, ἢ ἀβρότονον, ἢ πικρὰς ἀμυγδαλὰς, καὶ (4) οἶνον μέλανα αὐστηρὸν μιχθέντα, ἢ σίδια ῥοιᾶς μετὰ ὕδατος ἐγχυτέον. Ὠφελεῖ δὲ καὶ σελίνου σπέρμα καὶ σικύου τὸ ἴσον, ἑκάτερον μετὰ μέλιτος καὶ οἴνου τοῦ ἴσου μέτρου διδόμενον ποτόν. ἢ (a) καρδαμώμου σπέρμα τετριμμένον μετὰ ὕδατος, ἢ τῆς (b) μηδικῆς, οὕτω καταῤῥαίνεται, ὡς αἱ παραβαλλόμεναι κριθαί. οἱ δὲ ἰλιγγιῶντες κλύζονται σεύτλων ἑψηθέντων τῷ ὕδατι, καὶ νίτρου δραχμῶν μ΄. μετ᾽ ἐλαίου λ΄. δραχμῶν. Νίτρον λειάνας καὶ θερμάνας μετὰ οἴνου ἐγχυμάτιζε. ὁμοίως δὲ οὐρήσας χαμαὶ, καὶ τῷ πηλῷ χρίσας τὴν γαστέρα, παύσεις τὸν στρόφον.

CAP. IX.

De tormine. Hieroclis.

Equus torminoſus lavetur aqua calida, & contegatur: Deinde myrrhæ drach. V. vini veteris heminas VI. olei heminas III. ſimul percolata & in tres partes diviſa infundito. Venter inſuper aqua calida marina aut myrti baccarum decocto calfiat. Polii etiam folia, aut abrotonum, aut amygdalæ amaræ, admixto vino nigro auſtero, aut mali punici putamina cum aqua infundantur. Prodeſt & apii & cucumeris ſemen pari portione, utrumque cum mellis & vini pari menſura in potu datum. Aut cardamomi ſemen tritum cum aqua, aut medicæ herbæ, ita irroratur, velut hordeum objectum. Equi autem vertigine laborantes infuſo per ſedem betarum decocto eluuntur, & nitri drachmis quadraginta, additis olei drachmis triginta. Eodem modo & nitrum tritum & calfactum cum vino infunde. Similiter etiam ſi in terram minxeris, & luto ſubacto ventrem illeveris, tormen tolles.

(1) *Emend. ex MS. V. &* Interp. *Ita etiam legendum vidit Doctiſſ.* Pearſonius *in Prolegom.* Hieroclis. *Prius* Φερεκλέους. *MSS.* L. *&* Bod. Τοῦ Αὐτοῦ. *ſed in* Hippiatr. Anatolii *nomen præfigitur.* (2) *In MSS.* V. F. L. *&* Bod. ὁμοῦ διαιρεθείσας ἐγχυτέον. *Pagina vero* 149. Hippiatr. *legitur* ὁμοῦ διηθήσας, καὶ ἐπὶ τρισὶν ἡμέραις ἐγχυματίσας. (3) *Hinc emendandus* Hippiatr. *codex, in quo* πολυόφυλλον. (4) *Emend. ex* Hippiatr. *Prius in caſu Genitivo.*

(a) Καρδαμώμου-] *De Cardamomo vid. quæ notav. ad* Lib. 7. Cap. *XIII.*
(b) Μηδικῆς-] *De herba Medica vid.* Varronem *Lib.* 1. Cap. *XLII.*

CAP. X.

De pulmonis morbo. Ejuſdem.

MOrbos in pulmone hærentes acetum acre tepefactum & infuſum ſanat; aut urina hominis cum adipis ſuilli liquefacti drachmis viginti. Cavendum autem, ne ex muliere ſit urina, quæ naturales habet purgationes.

ΚΕΦ. Ι.

Περὶ πνευμονίας. Τοῦ Αὐτοῦ.

ΤΑ ἐν τῷ πνεύμονι συνιστάμενα πάθη ὄξος δριμὺ χλιανθὲν καὶ ἐγχυθὲν ἰᾶται· ἢ οὖρον ἀνθρώπειον μετὰ ὑείου στέατος δραχμῶν κ΄. τετηκότος. Φυλάττεσθαι δὲ, μὴ τὸ οὖρον ᾖ ἐκ γυναικὸς ἐν τοῖς κατὰ φύσιν οὔσης.

CAP. XI.

De tuſſi. Ejuſdem.

INcipiente tuſſi, farinam hordeaceam, admixtis fabis aut ervo, in potu exhibere oportet. Ingruente autem tuſſi, mellis cyathos duos, picis liquidæ tantundem, olei tantundem, butyri drachmas XXIV. calfacias, &, adipis ſuilli veteris modica parte adjecta, exhibeas. Quod ſi neque ſic tollatur, marrubium tere cum oleo & ſale, vinoque percolata infunde. Alii porri ſucco, & oleo, & rutæ ſylveſtris radice, quidam etiam thus admiſcentes, cum oleo utuntur.

ΚΕΦ. ΙΑ.

Περὶ βηχός. Τοῦ Αὐτοῦ.

ΑΡχομένῃ (a) βήττειν ἄλευρα κρίθινα, ὀρόβων ἢ κυάμων μιχθέντων, διδόναι χρὴ πιεῖν. (1) ἐπιτεινομένης δὲ τῆς βηχὸς, μέλιτος κύαθοι δύο, πίσσης ὑγρᾶς τὸ ἴσον, ἐλαίου ὡσαύτως, βουτύρου δραχμαὶ κδ΄. θερμανθέντα, καὶ στέατος ὑείου παλαιοῦ μετρίου προσβληθέντος, δίδοται. Ἐὰν δὲ μηδ᾽ οὕτως παύηται, πράσιον τρίβε μετ᾽ ἐλαίου καὶ ἁλὸς, οἴνῳ τε διηθηθέντα ἔγχει. οἱ δὲ πράσου ὀπὸν καὶ ἔλαιον, καὶ πηγάνου ἀγρίου ῥίζης· ἔνιοι καὶ λιβανωτοῦ προσμίξαντες σὺν ἐλαίῳ χρῶνται.

(a) *Plura tuſſientis Equi remedia reperiantur in* Hippiatricis *Cap.* 22. *&* Colum. *pag.* 241.
(1) *In MSS.* ἐπιτεινούσης.

CAP. XII.

De ignoto morbo. Theomneſti.

SAnguis ex utroque armo detrahatur; pharmacum autem præparatur hoc modo. Rutæ modicum cum lapathi radice tunditur, aquæ

ΚΕΦ. ΙΒ.

Περὶ ἀδήλου νόσου. Θεομνήστου.

ΑΙματος ἀφαίρεσις ἐκ τῶν ὤμων ἀμφοτέρων γιγνέσθω, καὶ φάρμακον δὲ κατασκευάζεται. (1) πηγάνου ὀλίγον μετὰ ῥίζης λαπάθου κόπ-

(1) *Emend. ex MSS. &* Interp. *antea,* Οἱ δὲ πηγάνου... κόψαντες... δραχμὰς β΄. Συμμίγνυνται.

πτεται, σὺν τρισὶ κοτύλαις ὕδατος, καὶ (a) ὀποπάνακος δραχμαὶ β΄. συμμίγνυνται. Νυκτός τε καὶ ἡμέρας (2) σιτείσθωσαν ἐπὶ ἀλεύρων σιτίνων διηθηθέντων ὕδατι, καὶ ποτὸν λαμβανέτωσαν. Ἐὰν δὲ ἀγελαίους ἵππους ἡ νόσος κατέχῃ, (3) οἱ μικρότεροι μὲν γάρου καὶ ἐλαίου κυάθοις τρισὶν, οἱ μείζους δὲ τῷ διπλασίονι ἐγχείσθωσαν.

heminis tribus additis, & opopanacis drachmæ duæ admiſcentur. Nocte vero & die farina frumentacea paſcere ipſos oportet aqua colata, & potus præbeatur. Si vero gregarios equos morbus occupaverit, minoribus quidem gari & olei cyathi tres, majoribus autem duplum infundatur.

(a) Ὀποπάνακος-] Opopanax, ὀπὸς τοῦ πάνακος, *Panacis* Heracleotici *ſuccus, quod plurimum in* Bœotia *&* Pſophide Arcadiæ, Cyrene Libyæ, *&* Macedonia *naſcitur, & quæſtus ex ſucco gratia in hortis colitur. Excipitur ſuccus, inciſa radice, candidus; ſed exiccatus ſuperficie colorem croceum refert. Optimus eſt guſtu amariſſimus, pinguis, friabilis, & viroſi odoris.*

(2) *Ita MSS. prius* ἐπισιτείσθωσαν. (3) *Sic legend. ante,* αἱ μικρότεραι.

ΚΕΦ. ΙΓ.

Περὶ δυσουρίας.

(1) Τοῦ Αὐτοῦ.

Τινὲς κρόμμυον, τοῦ λέπους ἀφαιρεθέντος, περὶ τὴν κύστιν τιθέασιν. ἄλλοι σελίνου σπέρματα τετριμμένα μετὰ οἴνου κοτυλῶν δύο, ἢ κρομμύου ὡσαύτως σὺν οἴνῳ, ἢ κόπρον περιστερῶν, ἢ πολίου φύλλων, ἢ σμύρνης φλοιῷ ξηρανθέντι, ἢ νίτρου δραχμὰς ε΄. σὺν σκόρδου κεφαλῇ κοπείσῃ ἐγχέουσι μετὰ οἴνου. οἱ δὲ οἴνῳ μέλανι μόνῳ χρῶνται.

CAP. XIII.

De urinæ difficultate.

Ejuſdem.

Quidam cepam, ablata tunica, circum veſicam ponunt. Alii apii ſemen tritum cum vini heminis duabus, aut cepæ ſemen eodem modo cum vino, aut columbinum ſtercus, aut polii folia, aut myrrhæ corticem ſiccum, aut nitri drachmas quinque, cum allii capite contuſo, infundunt cum vino. Alii vino nigro ſolo utuntur.

(1) *MSS.* V.L. *&* Bod. *pro* Τοῦ Αὐτοῦ, *affigunt* Ἀψύρτου.

ΚΕΦ. ΙΔ.

Ἐὰν αἷμα οὐρῇ.

Τοῦ Αὐτοῦ.

(1) Ἐρεγμοῦ κεκαθαρμένου ἑφθοῦ στέατος ἐλαφείου μιχθέντος, καὶ ὀλίγου οἴνου, διὰ τοῦ στόματος ἐπὶ ἡμέρας γ΄. ἐγχείσθω. ἢ γάλακτος αἰγείου κοτύλη, ἀμύλου ἡμιμναῖον, ᾠὰ ι΄. ἐλαίου (2) κύαθοι γ΄. μιχθέντα πάντα διὰ κέρατος ἐγχείσθω.

CAP. XIV.

Si ſanguinem mingat.

Ejuſdem.

Lomento fabæ purgato & cocto adipem cervinum miſceto, & cum modico vino per os ad triduum infunde. Aut lactis caprini hemina, amyli mina dimidia, ova decem, olei cyathi tres, omnia mixta ſimul per cornu infundantur.

(1) *Ex MSS. prius* Βρεσμοῦ. (2) *Sic legend. ante* κυάθους.

CAP. XV.

De ulceratione. Ejuſdem.

SI ſpina equi exulceretur, iridis radix uritur, & tuſa inſpergitur. Vel cannabis uſtæ cinis melle reſperſus illinitur, ipſis partibus urina veteri prius elotis ac purgatis.

ΚΕΦ. ΙΕ.

Περὶ ἑλκώσεως. Τοῦ Αὐτοῦ.

Ἐὰν τὴν ῥάχιν ἑλκωθῇ, ἴρεως ῥίζα καίεται, καὶ κοπεῖσα ἐπιπλάττεται. ἢ καννάβεως κοπείσης σποδιὰ μέλιτι δευθεῖσα ἐπιχρίεται, (1) προσμηχθέντων τῶν μερῶν οὔρῳ παλαιῷ.

(1) *Ita MS.* V. *&* Interp. *rectius; prius* προσμιχθέντων.

CAP. XVI.

De inflammatione. Ejuſdem.

OMnis inflammatio ſale & oleo, aut polii folio uſto & per vinum colato, aut verbaſco in vino cocto, cataplaſmatis modo impoſitis curatur.

ΚΕΦ. Ιϛ.

Περὶ φλεγμονῆς. Τοῦ Αὐτοῦ.

Πᾶσα φλεγμονὴ ἁλσὶ καὶ ἐλαίῳ, ἢ πολίου φύλλῳ καυθέντι καὶ διηθηθέντι οἴνῳ, ἢ (1) φλόμῳ σὺν οἴνῳ ἑψηθέντι καταπλασθεῖσα θεραπεύεται.

(1) *Emend. ex MSS. prius* φλώμου.

CAP. XVII.

Malagma ad articulos. Pelagonii.

THuris drach. VIII. galbani tantundem, fæcis vini drach. XII. reſinæ frictæ, nitri, ſulphuris, ſingulorum drach. IV. ſinapis Ægyptii cyathum, cardamomi tantundem, baccas lauri centum, ficuum aridarum minam, rhododaphnes folia pauca, calcis vivæ quod ſatis eſt miſce; arida tuſa liquidis excipiantur, & panniculo illita imponantur.

ΚΕΦ. ΙΖ.

Μάλαγμα πρὸς ἄρθρα. Πελαγωνίου.

Λιβανωτοῦ δραχμὰς η΄. (a) χαλβάνης τὸ ἴσον, τρυγὸς δραχμὰς ιβ΄. ῥητίνης φρυκτῆς, νίτρου, θείου, ἑκάστου δραχμὰς δ΄. νάπυος Αἰγυπτίου κύαθον, καρδαμώμου τὸ ἴσον, δαφνίδας ρ΄. σύκων ξηρῶν μνᾶν, (b) ῥοδοδάφνης (1) φύλλα ὀλίγα, τιτάνου μὴ ἐσβεσμένης τὸ αὔταρκες, καὶ τὰ ξηρὰ τοῖς ὑγροῖς ληπτέον, καὶ ἐμπλασθέντα ῥάκει ἐπιθετέον.

(a) Χαλβάνης,-] *Vid. quæ notav. ad* Cap. 48. Libri *quinti.*
(b) Ῥοδοδάφνης-] *Vid. notas ad* Cap. 5. Libri *decimi tertii.*
(1) *Reſtitui ex MSS. &* Caſaub. *ante* ξύλα.

ΚΕΦ. ΙΗ.

Περὶ ψώρας. Τοῦ Αὐτοῦ.

Πίσσης ὑγρᾶς ἐκ κέδρου, ῥητίνης, στυπτηρίας, ἴσα μετ᾽ ὄξους ἐπιχριστέον ἐν ἡλίῳ. Ἀποσμηχθέντων τῶν πεπονθότων μερῶν σποδιᾷ θερμῇ, ἀποπλυτέον ἕως ἂν αἱμάξῃ, ἔπειτα (a) λιθάργυρον καὶ στυπτηρίαν ἐπιμελῶς κοπέντα σὺν ἐλαίῳ σχινίνῳ καταχριστέον· ἢ (b) ἀφρονίτρου, καὶ (c) ἁλὸς ἄχνης, καὶ ἀλεύρου πυρῶν, ἑκάστου μέρος τὸ ἴσον σὺν ὄξει διηθηθὲν ἐπιπλαστέον. ἢ καππάρεως ῥίζης καυθείσης τῇ σποδιᾷ, στέατος ὑείου μιγέντος, (1) προσμηχθέντα κονίᾳ καταχριστέον.

CAP. XVIII.

De ſcabie. Ejuſdem.

Picis liquidæ ex cedro, reſinæ, aluminis, pares portiones cum aceto illinantur, candente ſole. Aut confrictis & purgatis locis affectis cinere calido, ablutiſque donec cruenti reddantur, poſtea argenti ſpuma & alumen probe tuſa cum oleo lentiſcino illinantur: Aut ſpumæ nitri, & ſpumæ maris, ac farinæ triticeæ, ſingulorum pares portiones per acetum colatæ imponantur. Aut cinis radicis capparis uſtæ, admixto adipe ſuillo, elota prius lixivio parte, illinatur.

(a) Λιθάργυρον-] Plinius *Tom.* 5. *p.* 54. " *Spumæ Argenti genera tria:* " *Optima, quam Chryſitin vocant; ſecunda, quam Argyritin; tertia, quam* " *Molybditin. Et plerumque hi colores in iiſdem tubulis inveniuntur. Probatiſſima eſt Attica, proxima Hiſpanienſis. Chryſitis ex vena ipſa fit,* " *Argyritis ex argento, Molybditis plumbi ipſius fuſura, quæ fit Puteolis,* " *inde nomen habet. Omnis autem fit, excocta ſua materia, ex ſuperiori* " *catino defluens in inferiorem, & ex eo ſublata veruculis ferreis, atque* " *in ipſa flamma convoluta, ut ſit modici ponderis. Vid*: Dioſcor. *lib.* 5. *cap.* 102. *Quicquid autem afferant* Plinius & Dioſcorides, (*inquit* J. Saracenus) *ſolum plumbum Lithargyri materiam eſſe abunde conſtat. De ſcabie curanda vid.* Hippiat. *p.* 187, & Colum. *pag.* 241.

(b) Ἀφρονίτρου-] Dioſcorides *Lib.* V. *Cap.* 131. Ἀφρὸς νίτρου ἄριστος μὲν εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης, εὔθρυπτός τε καὶ ἐμπόρφυρος, ἢ ἀφρώδης, ἔτι δὲ δηκτικός· οἷός ἐστιν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ· δευτερεύει δὲ ὁ Αἰγύπτιος. γίνεται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας .... Μίγνυται καὶ διαφορητικαῖς καὶ ἐπισπαστικαῖς καὶ λεπρικαῖς ἐμπλάστροις, καὶ λεπτυντικαῖς. Galenus *autem* ἀφρὸν νίτρου & ἀφρόνιτρον *diſtinguit: quod* Flos *ſeu* ſpuma Nitri *alba ſit, & triticeæ farinæ ſimilis;* Aphronitron *vero neutiquam farinæ ſpeciem habeat, ſed quiddam coactum compactumque ſit.* Plinius *nullum diſcrimen agnoſcit: Quem vid.* Lib. XXXI.

(c) Ἁλὸς ἄχνης,-] Dioſcor. *Lib. V. cap.* 127. Ἁλὸς ἄχνη ἐπίψηγμά ἐστιν ἁλὸς ἀφρῶδες, εὑρισκόμενον ἐπὶ πετριδίων. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς ἁλσίν. *A* Galeno & Paulo Ægineta *vocatur* ἐπάνθισμα τῶν ἁλῶν· Plinio, Spuma ſalis, & Spuma maris arida.

(1) *Sic lego cum* Interp. *prius* προσμιχθέντα.

CAP.

CAP. XIX.

De hirudine. Apſyrti.

SI equus hirudinem devoraverit, reclinato ſupino oleum calidum admixto vino per cornu infundatur: Aut cimicibus in conſpectu ipſorum uſtis, aut in naribus ipſorum occiſis, ſanabuntur; aut enim confeſtim excident hirudines, aut morientur. Eodem remedio & ad boves atque alia animalia utaris.

ΚΕΦ. ΙΘ.

Περὶ βδέλλης. Ἀψύρτου.

Ἐὰν βδέλλαν καταπίῃ, ἀνακλιθέντι ὑπτίῳ ἔλαιον θερμὸν μεμιγμένον μετὰ οἴνου διὰ κέρατος ἐγχυτέον· ἢ κόρεις καύσας ἐγγὺς τῆς ὄψεως αὐτῶν, ἢ ἐν ταῖς ῥισὶν αὐτῶν ἐμφονεύσας, ἰάσῃ· ἢ γὰρ ἐκπεσοῦνται παραυτίκα, ἢ ἀποθανοῦνται. τούτῳ δὲ χρήσῃ καὶ πρὸς βοῦς, καὶ τὰ ἄλλα ζῶα.

CAP. XX.

Quomodo ſcorpii aut alîus reptilis ictui medearis. Hippocratis.

PArs icta fimo bubulo integatur, aut ſolano tuſo, aut tithymallo, aut hyoſcyami ſemine, aut ſucco ſeminis lini, aut alumine, aut ſpuma nitri, aut ſale fricto: Unum ex his adhibitum proderit. Sed & aqua per linteolum excolata, & in nares infuſa, ſanabis. Et in univerſum quidem, ad omnes ferme reptilium plagas, ut plurimum eadem remedia & homines ſanant, & pecori ſalutaria ſunt. Cæterum ad particulares morbos, & equis, & aſinis, & mulis, ſanguinis detractio prodeſt.

ΚΕΦ. Κ.

Πῶς ἰάσῃ σκορπίου ἢ ἄλλου ἑρπετοῦ πληγήν. Ἱπποκράτους.

Τὸ πληγὲν μέρος κόπρῳ (1) βοείᾳ καταπλαστέον, ἢ στρύχνῳ κοπείσῃ, ἢ τιθυμάλλῳ, ἢ ὑοσκυάμου σπέρματι, ἢ λινοσπέρματος ὀπῷ, ἢ στυπτηρίᾳ, ἢ ἀφρονίτρῳ, ἢ (2) ἁλσὶ φρυκτοῖς· ἓν τούτων καταπλασθὲν ὠφελήσει. ἀλλὰ καὶ ὕδατι δι' ὀθονίου διηθηθέντι, καὶ εἰς τὰς ῥῖνας ἐγχυθέντι, θεραπεύσεις. Καὶ καθόλου μὲν, πρὸς πάσας τὰς τῶν ἑρπετῶν πληγὰς σχεδὸν ὡς ἐπὶ τὸ πολὺ, τὰ αὐτὰ καὶ τοὺς ἀνθρώπους θεραπεύει, καὶ τοῖς βοσκήμασι σωτήρια γίνεται. πρὸς δὲ τὰ κατὰ μέρος νοσήματα, τοῖς ἵπποις, καὶ τοῖς ὄνοις, καὶ τοῖς ἡμιόνοις, ἡ τοῦ αἵματος ἀφαίρεσις ἐπιτήδειος.

(1) *Initium hujus* Cap. *ad* ὠφελήσει, *legitur in* Hippiatr. *pag.* 27. *ſub* Anatolii *nomine*: *ubi ſcribitur*, χοιρεία. (2) Hippiatr. *habent* ἅλας ἐρυκτόν.

ΚΕΦ.

ΚΕΦ. ΚΑ.

Περὶ ὄνων, τῶν εἰς ὀχείαν ἐπιτηδείων. Ἀψύρτου.

Ὄνους τοὺς εἰς τὴν ὀχείαν ἐπιτηδείους οὕτως (1) ἐπιλεξόμεθα, ὡς καὶ τοὺς ἵππους, καὶ ἀναθρέψομεν. ἔνιοι δὲ καλῶς ποιοῦντες, καὶ τοὺς ἀγρίους ἡμεροῦσι· καὶ ἔστιν αὐτῶν ἡ παιδοποιΐα καλλίστη, ἅτε (2) δὴ μὴ κατακεκλεισμένων, ἀλλ᾽ ἀφέτων. Ἐξημεροῦται δὲ σφόδρα τὸ ζῶον, ὑπηρετεῖ δὲ (3) κατὰ πάντα ὁμοίως τοῖς ἡμέροις, καὶ οὐδέποτε, καθάπερ τὰ ἄλλα ζῶα, ἅπαξ ἡμερωθεὶς ἀγριοῦται. τὰ δὲ τικτόμενα ἐξ αὐτοῦ γίνεται ἐκείνῳ ἐοικότα. Βιβάζειν δὲ χρὴ ταῦτα τὰ ζῶα πρὸ ὀλίγων ἡμερῶν τῶν θερινῶν τροπῶν. κυοφορεῖ δὲ ἡ ὄνος μῆνας ιβ΄. Κάλλιον δὲ ἵππους ὑπὸ ὄνων ἐπιβαίνεσθαι, ἢ ὄνους ὑπὸ ἵππων. φιλοκαλότερον δέ τινες ποιοῦντες ταῖς θηλείαις ἵπποις ὑποβάλλουσι τοὺς τῶν ὄνων πώλους· καὶ γὰρ κρείττονι τραφήσονται γάλακτι, καὶ συντραφέντες φιλοστοργότερον ἕξουσι (4) περὶ τὰς ἵππους ἐκ τῆς ἀνατροφῆς, ὥστε καὶ ἐφορμᾶν προθύμως. ἔστω δὲ τῆς γαλουχίας ὁ χρόνος διετὴς, ὥσπερ καὶ ἵπποις. Ὄνοι δὲ πρὸς ὀχείαν ἀπὸ γ΄. ἐτῶν ἕως ι΄. (5) χρήσιμοι· ἐπιμελητέον δὲ, ὅπως οἱ μέλλοντες ὀχεύειν ὄνοι εὔμορφοι εἶεν· τοιαῦτα γὰρ ἔσται καὶ τὰ γεννώμενα. Τινὲς φιλοκαλότερον ποιοῦντες, τὸν βιβάζοντα ὄνον, εἴτε ἵππον, εἴτε ἄλλο τι ζῶον, χρώματος ὁποίου ἂν

CAP. XXI.

De aſinis admiſſuræ idoneis. Apſyrti.

Asinos admiſſuræ idoneos ſic eligemus, quemadmodum & equos, eodemque modo educabimus. Quidam recte faciunt, qui etiam feros manſuefaciunt; optime enim procreant, utpote qui non concluſi teneantur, ſed libere vagentur. Valde autem manſueſcit hoc animal, & ad omnia ut cicures inſervit, & nunquam, reliquorum animalium more, ſi ſemel manſuetus redditus eſt, rurſus efferatur. Partus quoque ejus ipſi ſimiles evadunt. At vero ſalire hujuſmodi animalia paucis diebus ante ſolſtitium æſtivum oportet. Conceptum fœtum aſina geſtat in utero menſes duodecim. Præſtat autem ut equæ ab aſinis inſcendantur, quam aſinæ ab equis. Quidam magis ſtudioſi circa hanc rem aſininos pullos equis fœminis ſubjiciunt; nam & meliori lacte enutrientur, & ſimul educati majori amore erga equas afficientur, ob communem videlicet educationem, quare & majori alacritate eas appetent, ac inſcendere geſtient. Sit autem lactatûs tempus duorum annorum, velut in equis. Aſini vero admiſſuræ ab annis tribus uſque ad decem idonei ſunt; curandumque eſt, ut aſini admiſſarii egregia forma ſint: Tales enim erunt etiam qui generabuntur. Quidam majus ſtudium circa hanc procreationis rationem adhibentes, admiſſarium aſinum, ſive equum, ſive aliud quodvis animal, pallio eo colore tincto induunt, quo ſobo-

(1) *Totum hoc Caput exſtat etiam in* Hippiatr. *pag.* 56. *ſub* Anatolio: *Ubi ſcribitur*,--- ἐπιλεξόμεθα, ὡς καὶ τοῖς ἵπποις ἀνεθρέψαμεν. (2) *Revoc. ex* Hipp. *quæ habent* ἀφέντων. (3) *Voces præced.* τὸ ζῶον *delendas ſuadebant MSS.* (4) *In* Hipp. πρὸς τὰς ἱππάδας ἐκ τῆς ἀναστροφῆς. (5) *Voculam* εἰσὶ *hic delevi, auctor. MSS.*

lem

lem ornatam generari velint. Qualis enim fuerit pallii color, quo admiſſarius velatur, talis coloris etiam partus erit. Cæterum claudicantes aſinos ſanabis, ſi aqua calida totum pedem undique laveris, & ſcalpello expurgaveris: quod poſtquam feceris, urinam veterem calidam, in qua adeps, maxime caprinus, eliquatus eſt, aut ſi non adfuerit, bubulus, circumfunde, atque hoc fac uſquequo ſanus evadat.

βούλων) γίνεσθαι τὸ τικτόμενον, τοιούτῳ καὶ ἱματίῳ ἐνδιδύσκουσιν. ὁποῖον γὰρ ἂν ᾖ τὸ τοῦ ἱματίου χρῶμα, (6) ᾧ ὁ ἐπιβάτης περικαλύπτεται, τοιοῦτον καὶ τὸ τικτόμενον ἔσται. Τοὺς δὲ χωλαίνοντας ὄνους θεραπεύσεις ὕδατι θερμῷ περινίψας τὸν πόδα ὅλον, καὶ περικαθάρας σμιλίῳ· ὅταν δὲ τοῦτο δράσῃς, περίχεε σὺν οὔρῳ παλαιῷ θερμῷ στέαρ, μάλιστα αἴγειον, εἰ δὲ μή, βόειον, καὶ τοῦτο ποίει ἕως ἂν ὑγιασθῇ.

(6) *Sic MSS. &* Hipp. *prius* ὁ.

CAP. XXII.

De camelis. Didymi.

Didymus in Georgicis ſuis tradit, camelum ſitim tolerare uſque ad triduum; ſcabiem vero ejus cedria curari. Camelus neque matrem, neque ſororem ſalit. Camelum autem Bactrianam, in montibus Indicis, a ſuibus feris, qui iſthic commune cum ipſis pabulum habent, prægnantem fieri, idem Didymus prodit. Ex ſue vero & camelo fœmina naſcitur camelus geminum tuber habens, ut ex equis & aſinis

ΚΕΦ. ΚΒ.

Περὶ καμήλων. Διδύμου.

Ὁ Δίδυμος ἐν τοῖς Γεωργικοῖς αὐτοῦ φησι, τὴν κάμηλον (a) δίψης ἀνέχεσθαι μέχρι τριῶν ἡμερῶν· τὴν δὲ ψώραν αὐτῆς τῇ κεδρίᾳ θεραπεύεσθαι. (b) οὐ μίγνυται δὲ ἡ κάμηλος οὔτε μητρί, οὔτε ἀδελφῇ. Τὴν δὲ Βακτριανὴν κάμηλον, ἐν τοῖς ὄρεσι τοῖς πρὸς τῇ Ἰνδικῇ, ὑπὸ συάγρων τῶν συννεμομένων συλλαμβάνειν, ὁ αὐτὸς Δίδυμός φησιν. ἐκ δὲ τοῦ συὸς καὶ τῆς καμήλου τίκτεται (c) κάμηλος δίκυρτος, ὥσπερ (1) ἐκ τῶν ἵππων καὶ ὄνων ὁ ἡμίονος. Φέρει γνωρίσματα πολλὰ τοῦ

(a) Δίψης ἀνέχεσθαι-] Plinius *Tom.* 2. *p.* 166. " *Sitim cameli quatriduo* " *tolerant: implenturque, cum bibendi occaſio eſt, & in præteritum &* " *futurum, obturbata proculcatione prius aqua: aliter potu non gaudent.* Tavernerius *oculatus teſtis dies novem ſine potu tolerare aſſerit.*

(b) Οὐ μίγνυται-] Ariſtot. *Vol.* 1. *p.* 953. Οἱ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλά, κἂν βιάζηταί τις, οὐ θέλουσιν. *Et inſignem de Cameli cuſtode, ob nefarium cum matre coitum, interempto hiſtoriam narrat.*

(c) Κάμηλος δίκυρτος.] Bactrianæ *Cameli duplex tuber in dorſis habentes ab* Arabicis *differunt, quibus unicum eſt, teſtibus* Ariſtotele *&* Plinio *Tom.* 2. *p.* 165. " *Camelos inter armenta paſcit Oriens, quorum duo* " *genera, Bactriæ & Arabiæ: differunt, quod illæ bina habent tubera in* " *dorſo, hæ ſingula. Ita etiam* Philoſophus *p.* 779. Διαφέρουσι δ' αἱ Βάκτριαι τῶν Ἀραβίων· αἱ μὲν γὰρ δύο ἔχουσιν ὕβους, αἱ δὲ ἕνα μόνον. *Tubera camelorum dicta ſunt* κυρτώματα, *unde* δίκυρτος Noſtro, *&* Τύλοι; Romanis, *Petumina.*

(1) *Ita legend. quis non videt? prius* ἐπὶ—. *Et delevi, voculas præced.* δὲ καὶ, *auctor. MSS.*

(2) πα-

(2) πατρὸς ἡ τικτομένη κάμηλος, τό, τε δασὺ τῶν τριχῶν, καὶ τὸ τῆς δυνάμεως ἰσχυρὸν, καὶ οὐκ ὀλισθαίνει ἐν τοῖς πηλοῖς ῥᾳδίως, ἀλλ' ὑπὸ τῆς δυνάμεως ἀνορθοῦται, καὶ ἀχθοφορεῖ διπλάσιον, ἤπερ αἱ ἄλλαι κάμηλοι. Βακτριανὰς δὲ καλοῦσιν αὐτὰς, εἰκότως, ὅτι ἐν Βάκτροις πρῶτον ἐγένοντο. εἶδον (3) Ἐγὼ (d) δρόμακας καμήλους εἰς δρόμον ἵπποις παραβαλλομένας, καὶ νικώσας. Ὁ δὲ Φλωρεντῖνός φησιν ἐν τοῖς Γεωργικοῖς αὐτοῦ, τεθεᾶσθαι ἐν Ῥώμῃ καμηλοπάρδαλιν. Ἐγὼ δὲ (4) ἀπὸ τῆς Ἰνδίας ἐνεχθεῖσαν ἐθεασάμην ἐν Ἀντιοχείᾳ (e) καμηλοπάρδαλιν.

mulus. Multas autem notas, quibus patrem refert, camelus habet inde ſata; nam & denſus pilus, & virium robur ei eſt, & in luto non facile labat, ſed a viribus ſuis erigitur, & onus duplo majus geſtat, quam aliæ cameli. Bactrianas autem camelos appellant, idque merito, quod ex Bactris originem ducant. Vidi Ego camelos curraces cum equis in curſu contendentes, nec ſine victoria. Florentinus in Georgicis ſuis prodit, ſe Romæ vidiſſe camelopardalim. Ego autem ab India adductam vidi in Antiochia camelopardalim.

(2) *Hunc locum miſere luxatum reſtitui ope MSS. In pr.* Ed. *peſſime* ——— πατρὸς, οὕτω καὶ ἡ τικτομένη κάμηλος ἐκ σπέρματος συὸς φέρει γνώρισμα τό, τε.

(3) *Hæc ad* Caſſianum *haud incommode referantur: In* Gloſſario; Δρόμαξ, Currax.

(d) Δρόμακας καμήλους.] *Cameli quæ curſu & velocitate præſtabant, peculiari nomine* δρομάδες, *vel ut* Noſtro, δρόμακες *dicebantur, quo nomine etiam hodie inſigniuntur.*

(4) *Ita MSS. &* Interp. *Pr. Ed. habuit* ἐθεασάμην ἐνεχθεῖσαν ἀπὸ τῆς Ἰνδίας ἐν———.

(e) Καμηλοπάρδαλιν.] *Camelopardalis, inter Pantheram & Camelum, deſcribente* Plinio, *collo ſimilis equo, pedibus & cruribus bovi, camelo capite, albis maculis rutilum colorem diſtinguentibus, unde appellata Camelopardalis, Dictatoris* Cæſaris *Circenſibus Ludis primum viſa* Romæ. Gordianus (*teſte* Capitolino) *decem ſimul* Romæ *in ludis exhibuit. Nec tamen* Camelopardalis *accurate Pantheram refert, cum ejus maculæ ſint inſtar oculorum rotundæ, Camelopardalis autem, ut* Strabonis *verbis utar,* τὸ ποικίλον τῆς χρόας νεβροῖς μᾶλλον ἔοικε ῥαβδωτοῖς σπίλοις κατεστιγμένοις· *Inde* Plinius *vocat* diſtinctas maculas. *Alia ejus deſcriptio non inelegans occurrit in Excerptis* Photii *ex* Philoſtorgii *Hiſt. Eccleſiaſt.* Lib. 3. *p.* 483. Edit. Valeſianæ : Καμηλοπάρδαλις (inquit) τὰ μὲν ἄλλα ἔλαφός ἐστι μεγίστη, καμήλου δὲ τὸ ὕψος ἐνέδωκε τὸ σῶμα μιμεῖσθαι· Τὸν μέντοι αὐχένα μήκιστον καὶ ὑπὲρ τὴν ἀναλογίαν τοῦ λοιποῦ σώματος φέρει εἰς ὕψος ἀνορθούμενον. Ἀλλὰ καὶ τὴν δορὰν ἅπασαν ἀπὸ κεφαλῆς ἄκρας ἕως ἐσχάτων ποδῶν παρδάλει μάλιστα τὴν ποικιλίαν προσφερεστάτην ἔχει, καὶ τοὺς ἔμπροσθεν πόδας ὑψηλοτέρους τῶν ὄπισθεν.

LIBER

LIBER XVII.

ARGUMENTUM LIB. XVII.

HÆC inſunt in hoc libro, qui decimus ſeptimus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de admiſſura boum, & eorum generatione, itemque educatione, atque omnigena curatione.

CAP. I.

De vaccis. Florentini.

VAccas triginta diebus antequam ſaliantur cibo impleri non eſt permittendum; quanto enim macilentiores fuerint, tanto facilius ſemen concipient.

ΒΙΒΛΙΟΝ ΙΖ΄.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΖ΄.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, δεκαεβδόμῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ τῆς τῶν βοῶν ὀχείας, καὶ γεννήσεως αὐτῶν, καὶ ἀνατροφῆς, καὶ παντοίας θεραπείας.

ΚΕΦ. Α.

Περὶ βοῶν. Φλωρεντίνου.

ΤΑΣ βοῦς πρὸ ἡμερῶν λ΄. τῆς ὀχείας οὐκ ἐατέον πληροῦσθαι τροφῆς· ὅσῳ γὰρ ἂν (a) ἰσχνανθῶσι, (1) τοσούτῳ εὐσυλληπτότεραι τοῦ σπέρματος ἔσονται.

(a) Ἰσχνανθῶσι-] Colum. *p.* 232. " *Pabulum circa tempus admiſſuræ ſubtrahitur fœminis, ne eas ſteriles reddat nimia corporis obeſitas.*

(1) *Ita MSS.* F. *&* Eton. *prius* τοσοῦτον.

CAP. II.

De bobus fœminis, ſive vaccis. Ejuſdem.

VAccæ eligendæ ſunt bene compactæ, corporibus longæ, juſtæ magnitudinis, probe cornutæ, latæ frontis, nigris oculis, maxillis contractis, ſimæ, non gibboſæ, patulas nares habentes, cervicem longam & craſſam, pectoroſæ, labris nigris, altis lateribus ac bene coſtatis, lato tergo, habentes umbilicum magnum,

ΚΕΦ. Β.

Περὶ βουθηλειῶν, ἤτοι δαμάλεων. Τοῦ Αὐτοῦ.

(a) ΔΑμάλεις ἐκλεκτέον εὐπαγεῖς, τοῖς σώμασι περιμήκεις, εὐμεγέθεις, εὐκέρωτας, πλατυμετώπους, (1) μελανοφθάλμους, γνάθους συνεσταλμένας ἐχούσας, ἐνσίμους, μὴ κυρτὰς, ἀνεπτυγμένας τὰς ῥῖνας ἐχούσας, αὐχένα μακρὸν καὶ παχὺν, εὐστέρνους, χείλη μελανίζοντα ἐχούσας, βαθυπλεύρους, πλατυνώτους,

(a) Δαμάλεις ἐκλεκτέον-] *Ita* Colum. *p.* 230. " *Vaccæ probantur altiſſimæ formæ, longaque, maximis uteris, frontibus latiſſimis, oculis nigris & patentibus, cornibus venuſtis & lævibus, & nigrantibus, piloſis auribus, compreſſis malis, palearibus & caudis ampliſſimis, ungulis modicis, & modicis cruribus.*

(1) *MSS.* Eton. Long. *&* Bod. μεγαλοφθάλμους. *Sed MSS.* F. Bar. Interp. *&* Colum. *ut in textu.*

(2) ὀφθαλμὸν ἐχούσας μέγαν, οὐρὰν προμήκη ψαύουσαν τῶν πτερνῶν, (3) πολύτριχα, βραχίονας (4) βραχεῖς, σκέλη ὀρθὰ, στερεὰ, παχύτερα μᾶλλον ἢ μακρότερα, μὴ παρατριβόμενα πρὸς ἄλληλα, πόδας ἐν τῷ βαδίζειν μὴ πλατυνομένους ἄγαν, μηδὲ χηλὰς διεσταλμένας, τοὺς ὄνυχας τελείους καὶ ἴσους, βύρσαν εὐαφῆ, καὶ μὴ ἀπεξυλωμένην. Δοκιμάζουσι δὲ ἀρίστας, τὰς τοῖς χρώμασι ξανθιζούσας, καὶ τὰ σκέλη μέλανα ἐχούσας, ὡς εὐγενεῖς. καλὸν μὲν οὖν κεκοσμῆσθαι πᾶσι τοῖς φυσικοῖς, εἰ δὲ μήγε, τοῖς πλείοσιν. Οἱ δὲ βόες καὶ τὴν φωνὴν τοῦ βουκόλου γνωρίζουσι, καὶ καλούμενοι τοῖς ἐπιτεθεῖσιν ὀνόμασι συνίασι, καὶ ἀποκλίνουσι πρὸς τὰ ἐπιταττόμενα παρὰ τοῦ ἐπιτάκτου.

caudam prælongam & ad calcanea pertingentem, piloſam, armis craſſis, cruribus rectis & ſolidis, craſſis magis quam longis, quæ mutuo non affricantur, pedibus qui inter eundum haud nimium dilatantur, ungulis non valde diſparatis, unguibus perfectis & æqualibus, pelle ad tactum molli, & non ut lignum indurata. Probant & a colore optimas quæ flaveſcunt, eas quoque quæ nigra crura habent ceu generoſas probant. Præſtat igitur, ut his omnibus vacca a natura ſit ornata, ſin minus, quam plurimis. At vero boves etiam vocem bubulci agnoſcunt, & vocati nominibus impoſitis intelligunt, divertunt quoque eo quo jubentur, juſſaque faciunt pro arbitrio præfecti.

(2) Interp. *legebat* ὀμφαλὸν, *& rectius forſan; cum de oculis prius egerit; MSS. ut in textu.* (3) *Diſtinxi ope MSS. ante* πολύτριχας βραχίονας. (4) Interp. *legebat, pro* βραχεῖς, παχεῖς· *ſed MSS. ut in textu.*

ΚΕΦ. Γ.

Περὶ ταύρων. Διδύμου.

Τοὺς ταύρους πρὸ τῆς ὀχείας πρὸ δύο μηνῶν οὐκ ἐατέον συννέμεσθαι ταῖς βουσὶ, πληρωτέον δὲ αὐτοὺς χλόης, καὶ εἰ μὴ ἀρκέσειε τὸ τῆς νομῆς, ἐρεβίνθων, ἢ ὀρόβων, ἢ κριθῶν διαβραχέντων δοτέον. Ἐλάττους δὲ τῶν (1) ι'. ἐτῶν οὐκ ἐπιτήδειοι πρὸς τὴν ὀχείαν, ἀλλ' οὐδὲ οἱ πρεσβύτεροι τῶν ιβ'. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν θηλειῶν εἰρήσθω. χωρίζειν τε αὐτοὺς χρὴ ἀπὸ τῶν θηλειῶν τὸν διμηνιαῖον χρόνον, καὶ εἰσάγειν αὐτοὺς εἰς τὰς ἀγέλας, οὐκ ἐπικωλύοντας αὐτῶν τὴν ὁρμήν.

(1) *Malim cum* Interp. β'.

CAP. III.

De tauris. Didymi.

Tauri duobus ante admiſſuram menſibus non ſunt emittendi ad communia paſcua cum vaccis, verum implendi ſunt herba, & ſi pabulum hoc non ſufficiat, cicere, aut ervo, aut hordeo macerato. Minores annis duobus non ſunt idonei admiſſuræ, ſed neque majores duodecim. Idem etiam de vaccis obſervandum eſt. Segregandi ſunt a fœminis per duorum menſium ſpatium, inducendique in armenta, & ipſorum impetus non coercendus.

CAP. IV.

Ut boves non fiant debiles.
Democriti.

ERvum maceratum tritum ſingulis menſibus in potu exhibe. Plagam boum curabis malva ſylveſtri trita ac illita.

(1) *MS.* Saracen. ἐπιχρίσας.

ΚΕΦ. Δ.

Βόας μὴ ἀσθενεῖν.
Δημοκρίτου.

ΟΡοβον βρέχων λεῖον πότιζε καθ' μῆνα. τὴν δὲ τῶν βοῶν πληγὴν θεραπεύσεις μαλάχην ἀγρίαν λειώσας, καὶ (1) ἐπιχρίων.

CAP. V.

De admiſſura.
Quintiliorum.

TEmpus admiſſuræ idoneum eſt ver medium. Si vero vaccæ tauros non admittant, ſcillæ medullam ſive cor, hoc eſt tenerrimas ipſius partes, & ſi ita dicere liceat adipem, cum aqua terere oportet, eoque vaccarum ſinus, ubi deterſi fuerint, oblinere. Si vero tauri ad venerem ſint ſegniores, cervi caudam uſtam tere, vinoque ſubactam pudendo ac teſtibus tauri illinito, & ſtatim ſtimulabitur. Hoc non ſolum in tauris, ſed etiam in aliis animalibus, & in hominibus eveniet. Stimulum autem libidinis tollet oleum illitum. Herba quoque πολύσπερμος & πολύγονος appellata animalia faciet fœcundiora.

ΚΕΦ. Ε.

Περὶ (1) ὀχείας.
Τῶν Κυντιλίων.

ΚΑιρὸς τῆς ὀχείας ἐπιτήδειος ἔαρ μέσον. εἰ δὲ μὴ προσδέχωνται τοὺς ταύρους αἱ βόες, (a) σκίλλης τὸ περικάρδιον μετὰ ὕδατος τρίπτεον, καὶ περιχριστέον, τουτέστι τὰ ἁπαλώτατα τῆς σκίλλης, καὶ ὡς ἂν εἴπῃ τις τὸ στέαρ, διδόναι μετὰ τὴν κάθαρσιν τοῖς μορίοις τῶν βοῶν. Εἰ δὲ οἱ ταῦροι πρὸς τὴν ὀχείαν βραδύνουσι, καύσας (b) ἐλάφου οὐρὰν καὶ συλλειώσας, οἴνῳ τε φυράσας, ἄλειφε τὸ αἰδοῖον καὶ τοὺς ὄρχεις τοῦ ταύρου, καὶ οἰστρήσει εὐθέως. τοῦτο δὲ οὐκ ἐπὶ τῶν ταύρων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ζώων, καὶ ἐπὶ ἀνθρώπων γένοιτο ἄν. λύσις δὲ τῆς οἰστρήσεως ἔλαιον χρισθέν. καὶ ἡ πολύσπερμος δὲ, καὶ ἡ πολύγονος καλουμένη βοτάνη τὰ ζῶα ποιήσει γονιμώτερα.

(1) *Sequ. vocem* βοῶν *delevi, auctor. MSS.*

(a) Σκίλλης τὸ περικάρδιον-] *Idem faſtidientis equæ remedium tradit* Columella *p.* 236. *Quod autem* Noſtro περικάρδιον *ſonat,* Hippocrati *dicitur* τῆς σκίλλης τὸ μυξῶδες· *& hinc* Bodæus *a* Stapel Erotiani *Lexicon emendat, apud quem legimus* σκίλλης τὸ νερῶδες.

(b) Ἐλάφου οὐρὰν-] Quintiliis *ſuffragatur* Apſyrtus *in* Hippiatr. *p.* 55.

ΚΕΦ. ϛ.

Περὶ προγνώσεως τῶν (1) γεννωμένων. Ἀφρικανοῦ.

ΟΙ προγινώσκειν θέλοντες, πότερον ἄῤῥεν ἢ θῆλυ τέξεται ἡ βιβασθεῖσα βοῦς, παρατηρείτωσαν. (2) Ἐὰν μὲν εἰς τὰ (a) δεξιὰ μέρη ὁ βοῦς κατέλθῃ, ἄῤῥεν τὸ τεχθησόμενον τεκμαιρέσθω· ἐὰν δὲ ἐπὶ τὰ ἀριστερὰ, θῆλυ. Εἰ δὲ καὶ βουληθείης ἄῤῥεν τεχθῆναι, τῷ καιρῷ τῆς ὀχείας τὸν (b) ἀριστερὸν ὄρχιν ἀπόδησον· εἰ δὲ θῆλυ, τὸν δεξιόν. Φυσικὸν δέ τινες ποιοῦσι· καὶ εἰ μὲν ἄῤῥεν τις βουληθείη τεχθῆναι, (c) Βορείου ὄντος τοῦ ἀέρος τὴν (3) ὀχείαν βουλεύονται κατασκευάζεσθαι· εἰ δὲ θῆλυ, Νότου πνέοντος.

CAP. VI.

Quomodo prænoſcamus, quales erunt partus. Africani.

QUi prænoſcere volunt, utrum marem aut fœminam paritura ſit bucula poſt coitum, hac obſervatione utantur; ſi quidem dextra parte taurus deſilierit, partus maſculus erit: ſi ſiniſtra, fœmina. Quod ſi marem generari velis, tempore admiſſuræ ſiniſtrum admiſſarii teſticulum obliga; ſi fœminam, dextrum. Quidam vero naturale auxilium adhibent: & ſi quidem marem generari velint, cum aeris ſtatus Borealis fuerit boves admittunt; ſi fœminam, ſpirante Auſtro.

(1) Βοῶν *delend. ſuadebant MSS.* (2) *Ita MSS. Prius,* καὶ ἂν ---.

(a) Δεξιὰ μέρη·] Colum. *p.* 232. " *Certis ſignis comprehendere licet " quem ſexum generaverit, quoniam ſi dextra parte deſiliat, marem ſe- " minaſſe manifeſtum eſt: ſi læva, fœminam.*

(b) Ἀριστερὸν ὄρχιν-] *Hæc ſub* Democriti *nomine affert* Colum. *p.*237. " *Ut fœmina vel maſculus concipiatur, noſtri arbitrii fore Democritus " affirmat; qui præcipit, ut cum progenerari marem velimus, ſiniſtrum te- " ſticulum admiſſarii lineo funiculo, aliove quolibet obligemus: cum fœmi- " nam, dextrum: idemque in omnibus pene pecudibus faciendum cenſet. Ita etiam* Palladius *pag.* 102.

(c) Βορείου ὄντος τοῦ ἀέρος-] Ariſtot. *de* Generat. Animal. *Lib.* 4. *Cap.* 2. Φασὶ δὲ καὶ οἱ νομεῖς διαφέρειν πρὸς θηλυγονίαν καὶ ἀῤῥενογονίαν, οὐ μόνον ἐὰν συμβαίνῃ τὴν ὀχείαν γίνεσθαι βορείοις ἢ νοτίοις, ἀλλὰ κἂν ὀχευόμενα βλέπῃ πρὸς Νότον ἢ Βορέαν. Οὕτω μικρὸν ἐνίοτε ῥοπὴν αἰτίαν γίνεσθαι τῆς ψυχρότητος καὶ θερμότητος.

(3) *In MS.* Barocc. ὀχείαν γίνεσθαι κατασκευάζουσιν.

CAP. VII.

De œſtro, qui μύωψ *appellatur. Sotionis.*

QUod œſtri boves pungentes ipſos ad inſaniam adigant, notum eſt. At vero non appropinquabunt ipſis, ſi quis lauri baccas tundat, & in aqua coquat, conſpergatque inde agrum in quo paſcuntur. Fugient enim œſtri ob antipathiam. Si vero jam icti ſint ab œſtro boves, ceruſſam cum aqua tritam ipſis illinunt.

ΚΕΦ. Ζ.

Περὶ οἴστρου, τοῦ καλουμένου μύωπος. Σωτίωνος.

ΟΤι ἐκφρένας τοὺς βοῦς οἱ μύωπες κεντοῦντες ποιοῦσιν, ἴσμεν. οὐκ ἐγγιοῦσιν οὖν αὐτοῖς, ἐὰν δαφνίδας κόψας, καὶ ἑψήσας ἐν ὕδατι, ἐπιῤῥαίνῃ τις τὸ χωρίον ὅπου νέμονται. φεύξονται γὰρ οἱ μύωπες διὰ τὴν ἀντιπάθειαν. εἰ δὲ καὶ φθάσειαν πλήξαντες, ψιμμύθιον μετὰ ὕδατος τρίψαντες περιχρίουσι.

CAP. VIII.

De vitulorum educatione. Didymi.

LActantes boves cytiſo aut medica alemus; ſic enim nutritæ plus lactis habebunt. Cæterum vituli ipſi, biennes cum ſint, caſtrandi ſunt: nam ſerius caſtrari non eſt commodum. Vulnera item cinere & argenti ſpuma inſpergantur, poſt triduum vero pice liquida & cinere, modico oleo admixto, integantur.

ΚΕΦ. Η.

Περὶ τῆς τῶν μόσχων ἀναστροφῆς. (1) Τοῦ Αὐτοῦ.

(a) ΚΥτίσῳ ἢ μηδικῇ θρέψομεν τὰς γαλουχούσας βοῦς· πλέον γὰρ ἕξουσι γάλα οὕτω τραφεῖσαι. διετεῖς δὲ γινομένους τοὺς μόσχους εὐνουχιστέον· μετὰ γὰρ ταῦτα οὐ χρήσιμον εὐνουχίζεσθαι. τὰ δὲ τραύματα σποδιᾷ καὶ λιθαργύρῳ (2) καταπλαστέον, μετὰ δὲ γ΄. ἡμέρας πίσσῃ ὑγρᾷ καὶ τέφρᾳ, ὀλίγου μιγέντος ἐλαίου.

(1) *MSS.* L. B. 2. Eton. *&* Interp. *affigunt* Διδύμου.
(a) Κυτίσῳ-] *De Cytiſo, ejuſque cultu vid. quæ* Columella *tradit* Lib. *de* Arboribus *cap.* 28. " *Omni generi pecudum* (inquit) *utiliſſimus eſt,* " *quod ex eo cito pingueſcit, & lactis plurimum præbet.*
(2) *MS.* Bar. *&* Interp. *ſcrib.* καταπαστέον.

CAP. IX.

Ne boves laborantes laſſentur. Democriti.

OLeo & terebinthina coctis cornua illinito.

ΚΕΦ. Θ.

Βόας ἐργαζομένους μὴ κοπιᾷν. Δημοκρίτου.

ΕΛαιον καὶ τερεβινθίνην ἑψήσας χρῖε τὰ κέρατα.

ΚΕΦ. Ι. — CAP. X.

Ἀπὸ ποίας ἡλικίας ἀρκτέον βιβάζειν (1) τὰς βόας. Βάῤῥωνος.

Βιβάζειν (2) δεῖ μὴ νεωτέρας τῶν β΄. ἐτῶν, ἵνα τελειότεραι οὖσαι τίκτωσιν· ἄμεινον δὲ τίκτουσιν αἱ τετραετεῖς. τίκτει δὲ ἡ βοῦς, ὡς ἐπὶ τὸ πολὺ, μέχρι τῶν ι΄. ἐτῶν. οἱ δὲ ταῦροι ἀπὸ τελείου ἡλικίας ἀκμάζουσιν. Ὥρα δὲ πρὸς ὀχείαν τετραπόδων, ἡ ἀπὸ (a) Δελφῖνος ἐπιτολῆς, τουτέστι περὶ τὰς ἀρχὰς τοῦ Ἰουνίου μηνὸς, ἕως ἡμερῶν μ΄. κυοφορεῖ δὲ ἡ δάμαλις μῆνας ι΄. τὰς δὲ στείρας καὶ τὰς ἀσθενεῖς, καὶ τῇ ἡλικίᾳ προβεβηκυίας, ἐκβλητέον ἐκ τῶν βουκολίων· ἀλυσιτελὴς γὰρ ἡ περὶ τὰ ἄχρηστα σπουδή.

A qua ætate incipienda admiſſura vaccarum. Varronis.

INeundæ non ſunt minores duobus annis, ut triennes pariant; melius autem pariunt quadrimæ. Parit vacca, ut plurimum, uſque ad annos decem. Tauri autem a trimatu ætate florent. Tempus vero admiſſuræ quadrupedum eſt a Delphini ortu, hoc eſt circa Junii menſis principium, per dies quadraginta. Geſtat in utero vacca menſes decem. Cæterum ſteriles & imbecilles, & ætate provectiores, ex armentis ejiciendæ ſunt: Inutilis eſt enim cura, quæ circa inutilia adhibetur.

(1) *Sic legend. prius,* τούς. (2) *Ex MSS. ante,* δέ.

(a) Δελφῖνος-] *Cur* Delphin *in cœlos relatus fuerit, narrat* Eratoſthenes *in* Καταστερισμοῖς· Δελφὶν ἐν τοῖς ἄστροις λέγεται τεθῆναι δι᾽ αἰτίαν τοιαύτην· τοῦ Ποσειδῶνος βουλομένου τὴν Ἀμφιτρίτην λαβεῖν εἰς γυναῖκα, εὐλαβηθεῖσα ἐκείνη ἔφυγε πρὸς τὸν Ἄτλαντα, διατηρῆσαι τὴν παρθενίαν σπεύδουσα· ὡς δὲ καὶ αἱ πλεῖσται Νηρηΐδες ἐκρύπτοντο, κεκρυμμένης ἐκείνης, πολλοὺς ὁ Ποσειδῶν ἐξέπεμψε μνηστῆρας, ἐν οἷς καὶ τὸν Δελφῖνα· πλανώμενος δὲ κατὰ τὰς νήσους τοῦ Ἄτλαντος, περιπεσὼν αὐτῇ προσαγγέλλει καὶ ἄγει πρὸς Ποσειδῶνα. Ὁ δὲ γήμας αὐτὴν, μεγίστας τιμὰς ἐν τῇ θαλάσσῃ αὐτῷ ὤρισεν, ἱερὸν αὐτὸν ὀνομάσας εἶναι, καὶ εἰς τὰ ἄστρα αὐτοῦ σύστημα ἔθηκεν. Ὅσοι δ᾽ ἂν αὐτῷ τῷ Ποσειδῶνι χαρίσασθαι θέλωσιν, ἐν τῇ χειρὶ ποιοῦσιν ἔχοντα τὸν δελφῖνα, τῆς εὐεργεσίας μεγίστην δόξαν αὐτῷ ἀπονέμοντες.

ΚΕΦ. ΙΑ. — CAP. XI.

Βόας ὑπὸ μυιῶν μὴ ἀδικεῖσθαι. Ἀφρικανοῦ.

Δάφνης καρπὸν λειοτελεώσας, καὶ ἑψήσας μετὰ ἐλαίου, ἄλειφε τοὺς βόας, ἢ ἐκ τοῦ σιέλου τοῦ βοὸς κατάχριε τούτους. ταῦροι τοὺς μυκτῆρας ῥοδίνῳ χρισθέντες σκοτοῦνται.

Ut boves a muſcis non infeſtentur. Africani.

LAuri baccas tenuiſſime tritas & oleo coctas bobus illine, aut ſaliva propria ipſorum boum eos inungito. Tauri, illito naribus roſaceo, tenebris offuſis vertiginoſi fiunt.

CAP. XII.

Boves pinguefaciendi ratio. Sotionis.

BOves pingues facies, ſi redeuntibus e paſcuo prima die braſſicas conciſas & acri aceto maceratas objeceris; deinde paleas excuſſas, & furfuribus triticeis mixtas, ad dies quinque; ſexta autem, hordei moliti heminas quatuor, & ſex ſequentibus diebus paulatim alimentum auxeris. Et hyeme quidem circa gallicinii horam nutries, deinde circa diluculum, quando & potum dabis; reliquum vero alimenti, circa veſperam. Æſtate autem primum pabulum ſub diluculum, ſecundum ad meridiem offeres, deinde potum exhibebis, & ſic tertium pabulum circa horam nonam dabis, & rurſus potum; hyeme quidem, aquam calidiorem, æſtate autem, tepidam. At vero ora ipſorum urina collue, inhærenti pituita extracta, & lingua a vermibus forcipe exemptis purgata; (naſcuntur enim vermes in linguis ipſorum) & deinde ſale confricetur, & ſtramenti ipſorum cura habeatur.

ΚΕΦ. ΙΒ.

Βόας λιπαρὲς ποιῆσαι. Σωτίωνος.

ΛΙπαρὲς ποιήσεις τὲς βὲς, εἰ ἀπὸ τῆς νομῆς ἔλθωσι τὴν πρώτην ἡμέραν κράμβας διατεμὼν καὶ διαβρέξας ὄξει δριμεῖ παραβάλλοις· εἶτα ἀχύρων διηθημένων καὶ πιτύρων σιτίνων μίξας ἐπὶ ἡμέραις ε΄. τῇ δὲ ς΄. κριθῶν ἀληλεσμένων κοτύλας δ΄. (1) καὶ κατ' ὀλίγον ταῖς ς΄. ἡμέραις αὐξήσειας τὴν τροφήν. Καὶ χειμῶνος μὲν περὶ ἀλεκτρυόνων ὥρας τρέφων, τὸ δεύτερον δὲ, περὶ τὸν ὄρθρον, καὶ ποτὸν διδὲς, τὸ δὲ λοιπὸν τῆς τροφῆς, περὶ τὴν ἑσπέραν. Θέρες δὲ τὸ πρῶτον ὑπὸ τὸν ὄρθρον, τὸ δὲ δεύτερον (2) μεσημβρίας, εἶτα ποτιεῖς, καὶ ἔτω τὴν τρίτην τροφὴν προσφέροις περὶ ἐννάτην ὥραν, καὶ πάλιν ποτιεῖς· δίδε δὲ αὐτοῖς χειμῶνος μὲν θερμοτέρε ὕδατος, θέρες δὲ, χλιαρε. Τὰ δὲ στόματα αὐτῶν ἔρῳ (3) διάκλυζε τὸ παρακείμενον φλέγμα ἀφαιρῶν, καὶ τὴν γλῶτταν καθαίρων ἀπὸ τῶν σκωλήκων λαβίδι ἐξαιρεμένων, (γίγνονται γὰρ σκώληκες ἐν ταῖς γλώσσαις αὐτῶν) ἁλσί τε τὴν γλῶτταν διάχριε, καὶ τῆς στρωμνῆς δὲ ἐπιμελείας χρή.

(1) *Supplevi ex MSS.* (2) *Emend. ex MS.* Bar. *&* Interp. *Pr. Ed.* μετὰ τοῦτο. (3) *MSS. pluraliter ſcribunt* διακλύζεσι, ἀφαιρῦντες, &c.

CAP. XIII.

De medela boum, & ne oſſa deglutiant. Paxami.

AD præſepia neque gallinæ, neque ſues accedant; utrorumque enim ſtercus ſi edatur, animal lædit. Non deglutiet oſſiculum bos, ſi lupi caudam in præſepi ſuſpenderis.

(a) *Conſulas* Columellam *pag.* 217.

ΚΕΦ. ΙΓ.

Περὶ ἰάσεως, καὶ ὥστε τὰ ὀστέα μὴ καταπίνειν. Παξάμε.

(a) ΤΑῖς φάτναις μήτε ὄρνεις μήτε ὕες προσιέτωσαν· ἑκατέρων γὰρ ἡ κόπρος εἰ βρωθείη, ἀδικεῖ τὸ ζῶον. ὀκ ἂν δὲ καταπίη βὲς ὀστὲν, εἰ λύκε ὀρὰν ἐπὶ τὴν φάτνην κρεμάσῃς.

ΚΕΦ. ΙΔ.

Περὶ ἀδήλου πάθους.
Τοῦ Αὐτοῦ.

ΣΧεδὸν πάντα ἄδηλα τὰ πάθη τῶν ζώων· πῶς γὰρ ἄν τις (1) μάθοι; ἢ παρὰ τίνος ἂν πύθοιτο τὸ ἔνδον τῷ ζώῳ πάθος; εἰ τοίνυν (a) σιλφίου κοπέντος μετ᾽ οἴνου ἀκράτου μέλανος εἰς τὰς ῥῖνας ἐγχέῃς, πᾶν ἄδηλον πάθος θεραπεύσεις. Δημόκριτος δὲ συμβουλεύει, ἔαρος ἀρχομένου, εἰς τὸ ποτὸν τῶν βοῶν ἐπὶ δ΄. καὶ ι΄. ἡμέραις ἐμβάλλειν σκίλλης καὶ ῥάμνου ῥίζης. Εἰ δὲ καὶ φανερὰν νόσον νοσοίη, θεραπεύσεις οὕτως. ἐλελίσφακον ἐξ ὀρεινοῦ χωρίου καὶ † πράσιον εἰς ὃ μέλλουσι πίνειν προβρέξας ταῖς ἴσαις ἡμέραις, καὶ δοὺς, θεραπεύσεις. τοῦτο δὲ οὐ μόνον βοῦς, ἀλλὰ καὶ θρέμματα ὠφελεῖ. καὶ ἅλες δὲ συμμιγνύμενοι ταῖς τροφαῖς σφόδρα ὠφελοῦσιν. Ἄριστον δὲ καὶ (b) ὑγιεινότατον ἀμόργη σὺν ὕδατι (2) κατ᾽ ὀλίγον διδομένη. ὠφελεῖ δὲ καὶ ἡ μηδικὴ πόα.

CAP. XIV.

De ignoto morbo.
Ejuſdem.

ANimalium affectus & morbi fere omnes ignoti ſunt: quomodo enim quis diſcat? aut a quo percunctetur affectum, qui eſt intra animal? Si igitur ſilphium tuſum cum vino meraco nigro in nares infuderis, omnem ignotum morbum curabis. Democritus conſulit, incipiente vere, in potum boum ad quatuor & decem dies ſcillæ & rhamni radices injicere. Si vero manifeſto morbo laborent boves, ſic medeberis. Salviam montanam & marrubium in potu quem hauſturi ſunt macera pari dierum numero; eoque exhibito curabis. Hoc autem non bobus ſolum, ſed & pecudi prodeſt. Quin & ſal pabulo admixtus valde prodeſt. Optimum vero & ſaluberrimum eſt amurca cum aqua paulatim exhibita. Prodeſt & medica herba.

(1) *Ita MSS. prius* μάθῃ.
(a) Σιλφίου-] *Vid. quæ adnotavimus ad* Cap. 7. Lib. *quarti.*
† *Vid.* Cap. 13. Libri *XVIII.*
(b) Ὑγιεινότατον ἀμόργη-] Colum *p.* 216. " *Maxime ſalutaris habe-*
" *tur amurca, ſi tantundem aqua miſceas, & ea pecus inſueſcas.*
(2) *Voculam præced.* καὶ *delendam cenſui.*

ΚΕΦ. ΙΕ.

Περὶ κεφαλαλγίας.

ΧΡὴ πρότερον γινώσκειν τὴν τοῦ βοὸς κεφαλαλγίαν· ἐπειδὰν οὖν τὰ ὦτα καθεὶς μὴ ἐσθίῃ, κεφαλαλγία ἐστί. (1) Διαχρίεται οὖν ἡ γλῶσσα θύμῳ μετ᾽ οἴνου τριφθέντι, καὶ σκόρδοις, καὶ ἁλσὶ λεπτοῖς. καὶ πτισά-

CAP. XV.

De capitis dolore.

DOlorem capitis bovis prius dignoſcere oportet: quando igitur demiſſis auribus non comedit, capitis dolor urget. Lingua igitur thymo trito cum vino, & allio, & ſale tenui illinitur. Ptiſana etiam

(1) *Emend. ex MS.* Bar. *Pr. Ed.* διὸ ἡ---. Caſaub. *habet* διαχρίνεται, Saracen. διαχρινέσθω.

cruda

cruda vino ſoluta prodeſt. Quin & lauri foliorum manus plenæ menſura in os immiſſa, aut mali punici putaminibus medeberis. Et myrrha, magnitudine fabæ, in duabus vini colati heminis per nares infuſa bovem curabis.

νη δὲ ὠμὴ μετὰ οἴνου (2) λυθεῖσα ὠφελεῖ. καὶ δάφνης δὲ φύλλα, ὅσον τὴν χεῖρα πληρῶσαι, λαβὼν, καὶ ἐμβαλὼν εἰς τὸ στόμα, ἢ καὶ σιδίων ῥοιᾶς, ὠφελήσεις. καὶ σμύρνης δὲ, ὡς κυάμου μέγεθος, ὁμοίως μετὰ οἴνου διηθηθέντος ἐν κοτύλαις δυσὶ διὰ τῶν ῥινῶν ἐγχέας θεραπεύσεις.

(2) *Ex MSS. ante* ληφθεῖσα.

CAP. XVI.

De profluvio alvi.

RHamni folia contuſa, & bitumine intecta, exhibeto. Alii mali punicæ folia tuſa, & polenta obducta, in cibo exhibent. Alii vero farinæ heminas duas & tritici toſti farinæ heminam aquæ mixtam porrigunt.

ΚΕΦ. Ιϛ.

Περὶ διαῤῥοίας.

ΡΑμνου φύλλα κόψας, καὶ ἀσφάλτῳ περιπλάσας, δίδου φαγεῖν. οἱ δὲ ῥοιῶν φύλλα κοπέντα, καὶ ἀλφίτοις περιπλασθέντα, διδόασι φαγεῖν. ἄλλοι δὲ ἀλφίτων κοτύλας β΄. καὶ σίτου φρυγέντος ἀλεύρων τὸ ἥμισυ ὕδατι μιχθὲν διδόασιν.

CAP. XVII.

De cruditate.

CRuditas bovis dignoſcitur ex eo, quod non edat, & frequenter eructet, membraque cum quadam torſione & ſpiritus eliſione moveat. Curabimus igitur ipſum calida aqua in potum data, & braſſicæ in aceto maceratæ faſciculo in cibum oblato. Alii braſſicæ partes teneriores fervefaciunt, ac terunt cum oleo, & per cornu in os infundunt, & amiculis inſtratum calfacientes ad deambulationem ducunt. Hoc non bobus tantum, ſed etiam omni pecori ſalutare. Alii oleæ ſylveſtris folia aut aliarum arborum ramos tenellos tundunt, & aquam affuſam percolant, atque ita heminas ſex inde per biduum infundunt.

ΚΕΦ. ΙΖ.

Περὶ ἀπεψίας.

(a) ΑΠεπτήσας γινώσκεται βοῦς ἐκ τοῦ μὴ ἐσθίειν, καὶ πυκνῶς ἐρυγᾶν, κινεῖν τε τὰ μέλη μετά τινος συστροφῆς καὶ πνεύματος (1) ἐκθλίψεως. θεραπεύσομεν οὖν θερμὸν ὕδωρ διδόντες πιεῖν, καὶ κράμβης διαβρεχθείσης ἐν ὄξει δέσμην φαγεῖν. Οἱ δὲ τῆς κράμβης τὰ ἁπαλὰ ζέσαντες, καὶ τρίψαντες μετὰ ἐλαίου, διὰ κέρατος ἐγχέουσι τῷ στόματι, καὶ περιβολαίοις συνθερμάναντες εἰς περίπατον ἄγουσι. τοῦτο οὐ τοὺς βοῦς μόνον, ἀλλὰ καὶ πᾶν ὠφελεῖ βόσκημα. Οἱ δὲ ἀγρίας ἐλαίας τὰ φύλλα ἢ δένδρων ἄλλων κλῶνας ἁπαλοὺς κόψαντες, καὶ ὕδωρ ἐπιχέαντες διηθοῦσι, καὶ οὕτω κοτύλας ϛ΄. ἐπιχέουσιν ἐπὶ ἡμέραις δύο.

(a) Ἀπεπτήσας-] *Ita* Colum. *p.* 218. " *Cruditatis ſigna ſunt crebri* " *ructus, ac ventris ſonitus, faſtidia cibi, nervorum intentio, hebetes o-* " *culi.....Remedio erunt aquæ calidæ duo congii, & mox triginta braſſicæ* " *caules modice cocti, & ex aceto dati.*

(1) *Ita MS.* Barocc. *prius,* καὶ θλίψεως.

CAP.

ΚΕΦ. ΙΗ.

Περὶ βουπρήστεως.

(a) Τινὲς ἔλαιον εἰς τὰς ῥῖνας ἐγχέουσι τοῖς βουσίν. ἄλλοι δὲ ἐρινεοῦ ὀλύνθους ὕδατι (1) διὰ παντὸς εἰς τὰς ῥῖνας ὁμοίως ἐγχέουσιν.

CAP. XVIII.

De bupreſti.

Quidam oleum in boum nares infundunt. Alii caprifici groſſos aqua macerant, & ſimiliter in nares infundunt.

(a) Τινὲς] Plinius *Lib. Triceſimo* Sect. *X.* "*Bupreſtis animal eſt rarum in Italia, ſimillimum ſcarabæo longipedi. Fallit inter herbas bovem maxime, unde & nomen invenit, devoratumque tacto felle ita inflammat, ut rumpat. Vid.* Nicand. *in* Alexiph. *&* Ælian. *Hiſt. An.* Lib. 6.

(1) Interp. *legebat* διαβραχέντας, *ſed MSS. ut in textu.*

ΚΕΦ. ΙΘ.

Περὶ στρόφου.

Ὁ στρεφόμενος βοῦς ἐφ᾽ ἑνὸς οὐχ ἕστηκε τόπου, οὐδὲ τροφῆς ἅπτεται, ἀλλὰ στένει. ὀλίγην οὖν αὐτῷ τροφὴν παραβλητέον, καὶ τὴν σάρκα τὴν περὶ τοὺς ὄνυχας διακεντητέον, ὥστε αἱμάξαι. τινὲς δὲ περὶ τὴν οὐρὰν (1) ἀνοίξαντες, ὥστε αἷμα ἐκρυῆναι, ῥάκει περιδεσμοῦσιν. Ἄλλοι κρόμμυα καὶ ἅλας ἑνώσαντες καὶ σφηνώσαντες εἰς τὴν ἕδραν ἐσωτάτω προσωθοῦσι, καὶ τρέχειν ἀναγκάζουσιν. ἄλλοι νίτρον κόψαντες καὶ διέντες διὰ τοῦ στόματος ἐγχέουσιν.

(1) *MS.* Barocc. νύξαντες.

CAP. XIX.

De tormine.

Bos qui torminibus vexatur in uno loco non ſtat, neque cibum ſumit, ſed gemit. Modicum igitur alimentum ipſi objiciendum eſt, & caro circa ungues pungenda, ut ſanguis inde manet. Quidam vero circa caudam aperiunt [*pungunt*,] ut ſanguis effluat, & panniculo vulnus obligant. Alii cepas & ſalem ſimul uniunt, & in cunei formam coagmentata in ſedem quam altiſſime trudunt, & curſu exercent. Alii nitrum tuſum & ſolutum per os infundunt.

ΚΕΦ. Κ.

Περὶ πυρεταίνοντος. Διδύμου.

(a) Βοῦς πυρεταίνων οὐ προσίεται τὴν τροφήν, (1) κάτω νεύει, δακρύει, λήμας ἔχει, περὶ τοὺς ὀφθαλμοὺς κοιλαίνεται. θεραπεύσεις οὖν τὸν τοιοῦτον

CAP. XX.

De febricitante. Didymi.

Bos febricitans non admittit cibum, deorſum nutat, lachrymatur, lippit, partes circa oculos cavantur. Eum curabis hoc modo.

(a) Βοῦς πυρεταίνων] Colum. *p.* 221. "*Signa bovis febricitantis, manantes lachrymæ, gravatum caput, oculi compreſſi, fluidum ſalivis os, longior & cum quodam impedimento tractus ſpiritus, interdum & cum gemitu.*

(1) *Ex MSS. antea*, καταινεύει . . . λήμμας--.

Ex

Ex opacis locis gramen decerpe, & lavato, eique edendum præbeto, aut vitis folia. In potu exhibeatur aqua quidem frigidiſſima, verum non ſub dio, ſed maxime in loco umbroſo; aures vero & nares ſpongia aqua plena detergeantur. Quidam cauterio faciem ipſius & partes ſub oculis perurunt, eaſque ſpongia urina veteri calida plena bis per diem confricant, donec cruſtæ excidant, & vulnera cicatrice integantur. Lancinantur etiam aures, ut ſanguis effluat. Quidam polentam vino ſubigunt, & edendam præbent; alii muria lavant, & amiculis calfaciunt. Alii cytiſum porrigunt cum vino; quod non bobus tantum, ſed & reliquo pecori ſalutare eſt.

ὕπως. ἐκ συσκίων χωρίων ἄγρωστιν λαβὼν, καὶ πλύνας, δὸς αὐτῷ φαγεῖν, ἢ ἀμπέλου φύλλα. ποτιστέον δὲ αὐτὸν ὕδωρ ψυχρότατον (2) μὴ ἐν ὑπαίθρῳ, μάλιστα δὲ ὑποσκίῳ· σπόγγῳ τε βεβρεγμένῳ ὕδατι τὰ ὦτα καὶ τὰς ῥῖνας (3) ἀποψηκτέον. Τινὲς καυτῆρι τὸ πρόσωπον αὐτοῦ διακαίουσι, καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμούς· σπογγίζουσι δὲ ταῦτα οὔρῳ παλαιῷ θερμῷ δὶς τῆς ἡμέρας, ἕως ἂν ἐκπέσωσιν αἱ ἐσχάραι, καὶ ἀπουλώσῃ τὰ τραύματα. ἀμύσσεται δὲ καὶ τὰ ὦτα, ὥστε αἷμα ῥεῦσαι. Τινὲς ἄλφιτα φυράσαντες οἴνῳ διδόασι φαγεῖν, οἱ δὲ (4) λούουσιν ἅλμῃ, καὶ περιβολαίοις συνθερμαίνουσιν. οἱ δὲ κύτισον διδόασι μετὰ οἴνου· τοῦτο δὲ οὐ τοὺς βοῦς ὠφελεῖ μόνον, ἀλλὰ καὶ τὰ ἄλλα θρέμματα.

(2) *Ita legend. ex* Interp. *&* Colum. *prius* μὲν· Hic *enim, pag.* 221. " *Quæ medicina ſub tecto fieri debet*, &c. (3) *MSS.* F. *&* Bar. ἀποψυκτέον, *ſed MS.* V. Interp. *&* Colum. *ut in textu.* (4) *Ita MS.* Bar. *&* Andreas *a* Lacuna; *prius* λύουσιν.

CAP. XXI.

ΚΕΦ. ΚΑ.

De tuſſiente.

Περὶ βήσσοντος.

HOrdeum molitum maceratum, & paleas molliſſimas repurgatas, & ervi moliti heminas tres, tribus vicibus diviſa edenda præbeto. Quidam artemiſiam tritam ac diſſolutam aqua exprimunt, & ante pabulum ad dies ſeptem infundunt.

(a) ΚΡιθὰς ἀληλεσμένας διαβραχείσας, καὶ τῶν ἀχύρων τὰ ἁπαλώτατα καθαρθέντα, καὶ ὀρόβων κοτύλας γ'. ἀληλεσμένας, εἰς τρία διαιρεθέντα κατὰ μέρος δίδου φαγεῖν. τινὲς δὲ τὴν ἀρτεμισίαν βοτάνην (1) τρίψαντες, καὶ διέντες ὕδατι ἐκπιέζουσι, καὶ πρὸ τῆς τροφῆς ἐγχυματίζουσιν ἐπὶ ἡμέραις ζ'.

(a) Κριθὰς-] *De Tuſſi boum curanda vid.* Colum. Lib. *V.* Cap. X.
(1) *Emendavi ex MS.* Barocc. *ante,* ῥύψαντες.

ΚΕΦ. ΚΒ.

Περὶ ἐμπυϊκῶν.

Ἐὰν συναγάγῃ ἔμπυον τὸ ἕλκος, χρὴ καθαίρειν, καὶ οὔρῳ βοὸς (1) παλαιῷ θερμῷ κλύζειν, ἐρίοις τε (2) ἐκμάττειν, εἶτα μετὰ λεπτῶν ἁλῶν καὶ πίττης ὑγρᾶς ἐντιθέναι ἔμπλαστρον.

CAP. XXII.

De ſuppuratis.

SI ulcus ſuppuratum fuerit, urina bovis veteri calida eluendum eſt, & lanis extergendum; deinde emplaſtrum ex ſale tenui ac pice liquida imponendum.

(1) *Reſtitui ex MS.* V. Interp. *&* Colum. *pag.* 221. "*Urina vetere eluunt,---, Prius* παλαιοῦ. (2) *Ita legend. cum* Interp. *ut ſequenti* Cap. *antea* ἐκμαλάττειν.

ΚΕΦ. ΚΓ.

Περὶ χωλείας. Φλωρεντίνου.

Ἐὰν διὰ τὸ ψύξαι μέρος χωλεύῃ ὁ βοῦς, νίψαι χρὴ τὸν πόδα, καὶ τὸ πεπονθὸς μέρος σμιλίῳ ἀνοίξαντα οὔρῳ παλαιῷ πυριάσαι· εἶτα ἁλῶν ἐπίπασσε, καὶ σπόγγῳ ἔκμασσε ἢ ῥάκει· ἔπειτα στέαρ αἰγεῖον ἢ βόειον παρατριβόμενον θερμῷ σιδήρῳ ἐπιστάζειν τῷ πεπονθότι μέρει. Ἐὰν δὲ σκόλοπα ἤ τι τοιοῦτον πατήσας χωλεύῃ, τὰ μὲν ἄλλα ὁμοίως ποιητέον· κηρὸν δὲ ἅμα ἐλαίῳ παλαιῷ καὶ μέλιτι καὶ ὀρόβων ἀλεύρῳ συντήξας καὶ ψύξας ἔνθες τῷ ἕλκει, εἶθ' οὕτω λαβὼν ὄστρακον λεπτὸν διηθηθὲν, καὶ σύκων ἢ ῥοιῶν κοπέντων καὶ μιχθέντων, περίπλασσε ῥάκος ἐπιθείς· ἐπιδέσμει δὲ ἐπιμελῶς, ὡς μηδὲν παρεισδύναι, ἕως ἂν δυνηθῇ στῆναι· οὕτω γὰρ ἂν ὑγιασθῇ· τρίτῃ δὲ ἡμέρᾳ ἐπιθεράπευε. Ἐὰν δὲ δι' (a) ἐπιφορὰν ὕλης χωλεύῃ, θερμαντέον τὸ μέρος

CAP. XXIII.

De claudicatione. Florentini.

SI ob frigore affectam corporis partem bos claudicet, pedem lavare oportet, & affectam partem ſcalpello aperire, & urina veteri fovere, (deinde ſalem inſperge, & ſpongia aut panniculo abſterge) poſtea adipem caprinum aut bubulum ad ferrum candens affrictum dolenti parti inſtillare. Si calcato palo aut ejuſmodi quopiam claudicaverit, alia quidem ſimiliter facienda ſunt; verum cera cum oleo veteri & melle ervique farina colliquata & refrigerata ulceri illinatur, deinde teſta tenuis cribrata ac ficus aut mala punica tuſa admixta imponantur, & panniculo integatur; obligeturque diligenter, ut nihil ſubeat, donec ſtare potuerit: ſic enim ſanus evadet; tertia autem die reſolve, eademque adhibe. Si vero ob influentis materiæ copiam

(a) Ἐπιφορὰν ὕλης χωλεύῃ-] Columella *eadem adhibenda tradit* Lib. *VI.* Cap. 12. "*Quod ſi* (inquit) *tumori ſubeſt aliquis humor, fermentum "vel farina hordeacea ex paſſo, aut aqua mulſa decocta imponitur, & "cum maturuerit ſuppuratio, reſcinditur ferro, eaque emiſſa linamentis "curatur. Poſſunt etiam (ut Cornelius Celſus præcipit) lilii radix, aut "ſcillæ cum ſale, vel ſanguinalis herba, quam* πολύγονον *Græci appellant, "vel marrubium ferro recluſa ſanare.*

claudi-

claudicaverit, pars ipſa oleo & paſſo cocto calefiat, & deinde omelyſis calida imponatur. Cum vero matura facta fuerit & mollis, incidatur; inciſæ autem parti & elotæ lilii folia, aut ſcilla cum ſale, aut polygonum, aut marrubium tuſum imponatur.

μετὰ ἐλαίου καὶ γλυκέος ἑψηθέντων, εἶτα (b) ὠμὴν λύσιν θερμὴν ἐπιθετέον. ὅταν δὲ ἁπαλὸν γένηται, διαιρετέον· ἐκπλυθέντι δὲ τῷ διαιρεθέντι μέρει φύλλα κρίνων, ἢ σκίλλαν μεθ' ἁλῶν, ἢ πολύγονον, ἢ πράσιον κοπὲν ἐπιθετέον.

(b) Ὠμὴν λύσιν-] *Quid ſit* ὠμὴ λύσις, *explic. in* Hippiatr. p. 295. Ὠμὴ λύσις ἐστὶ, μίξις τήλεως, λινοσπέρμου, κριθίνου ἀλεύρου ἐξ ἴσου.

CAP. XXIV.

De ſcabie.

SCabiem & puſtulas urina bubula veteri & butyro quidam oblinentes ſanant. Alii reſinam aut picem liquidam cum vino cataplaſmatis modo imponunt, & ſanant.

ΚΕΦ. ΚΔ.

Περὶ ψώρας.

ΨΩραν καὶ ἐξανθήματα οὔρῳ βοείῳ παλαιῷ καὶ βουτύρῳ περιχρίοντες ἰῶνται. Οἱ δὲ ῥητίνῃ ἢ πίσσῃ ὑγρᾷ μετὰ οἴνου καταπλάττοντες ἐπιχρίουσι, καὶ οὕτως ἰῶνται.

CAP. XXV.

De bile.

BOum crura uſque ad ungulam perurantur, & lavacro calido aſſidue calfiant, & amiculis inſtratis tegantur.

ΚΕΦ. ΚΕ.

Περὶ χολῆς.

ΔΙακαυτέον (1) τῶν βοῶν τὰ σκέλη ἕως τῆς ὁπλῆς, καὶ λουτρῷ θερμῷ συνεχῶς θερμαντέον, καὶ περιβολαίοις καλυπτέον.

(1) *Sic conſtructioni conſulitur: pr. Ed.* τοὺς βοῦς τῶν σκελῶν.

CAP. XXVI.

De perfrigeratione.

VInum nigrum excolatum bubus infundatur.

ΚΕΦ. Κϛ.

Περὶ καταψύξεως.

ΕΓχυματιστέον διηθηθέντι οἴνῳ μέλανι.

CAP. XXVII.

De vermibus.

AQua frigida quidam irrorant ulcera, & ſic enecant vermes.

ΚΕΦ. ΚΖ.

Περὶ σκωλήκων.

ΥΔατι ψυχρῷ καταρραίνοντες τὰ ἕλκη ἀναιροῦσι τὰς (1) εὐλάς.

(1) *Ita legend. cum* Caſaub. *In MS.* Bar. ὕλας, *pr. Ed.* ὑλάς.

ΚΕΦ. ΚΗ.

Περὶ κακοσίτου.

Τὴν τροφὴν καταῤῥαντέον (a) ἀμόργης τῷ ἀρκοῦντι· ἐλαίου τε καὶ ῥητίνης ἢ τερεβινθίνης τὸ ἴσον μίξας κατάχρισον τὰ κέρατα ἕως ῥίζης.

CAP. XXVIII.

De bove pabulum faſtidiente.

PAbulum amurca ſufficienti reſpergatur; oleo etiam ac reſinæ ſive terebinthinæ æqualibus portionibus mixtis cornua ipſarum uſque ad radices illinito.

(a) Ἀμόργης.] *Vid. quæ ſuperius notav. ad* Cap. 14. *hujus* Libri.

ΚΕΦ. ΚΘ.

Περὶ φθειριῶντος.

Τὸν βοῦν χρὴ καταβαλεῖν ὕπτιον, καὶ τῆς κεφαλῆς ἀνακλιθείσης τὴν γλῶσσαν περισκοπεῖν, εἰ φλυκταίνας ἔχοι. περικαῦσαι δὲ (1) ταύτην χρὴ σιδήροις ὀξέσι καὶ διαπύροις, ἔπειτα ἀγρίας ἐλαίας φύλλων κοπέντων καὶ ἁλῶν χρίειν τὰ ἕλκη, ἢ ἁλσὶ λεπτοῖς σὺν ἐλαίῳ, ἢ βουτύρῳ καὶ ἁλσίν· ἢ σικύου ἀγρίου ξηροῦ ῥίζαν συγκοπεῖσαν ἅμα σύκοις δοῦναι φαγεῖν, ἢ ἀλφίτων κοτύλας δύο καὶ σίτου φρυγέντος τὸ ἴσον ἄλευρον οἴνῳ βραχὲν δοῦναι.

(2) *Ita MS.* Barocc. *prius*, ταῦτα.

CAP. XXIX.

De pediculoſo.

BOvem ſupinum proſternere oportet, & capite reclinato linguam contemplari, an bullas habeat. Hanc autem ferro acuto & ignito perurere oportet, deinde ſylveſtris oleæ foliis contuſis cum ſale ulcera illinere, aut ſale minuto cum oleo, aut butyro cum ſale: aut cucumeris ſylveſtris aridi radix contuſa ſimul cum ficubus præbeatur: aut polentæ heminæ duæ & frumenti toſti tantundem vino macerata exhibeantur.

LIBER XVIII.

ARGUMENTUM LIB. XVIII.

HÆC inſunt in hoc libro, qui decimus octavus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de eligendis & probandis ovibus, deque ineundis iiſdem, & earum partu, & de omnigena cura ac diligentia circa eas adhibenda.

ΒΙΒΛΙΟΝ ΙΗ'.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΗ'.

ΤΑδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, δεκαογδόῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ προβάτων ἐκλογῆς τε καὶ δοκιμασίας, καὶ ὀχείας, καὶ τοκετοῦ, καὶ παντοίας θεραπείας καὶ ἐπιμελείας αὐτῶν.

CAP. I.

De ovium electione, ac probatione tum marium, tum fœminarum. Florentini.

OPtimæ ſunt matrices, quæ lanas gerunt multas & molles, velleraque alta condenſata per totum quidem corpus, maxime vero circa collum & cervicem: & quæ habent alvum quoque totam lana denſam, & multa, & molli, & eodem colore præſtanti. Sint autem oculis magnis, cruribus longis, & longis caudis; tales enim optimæ ſunt ad agnorum educationem. At vero arietes bene compactos eſſe oportet, pulchro aſpectu, oculis ravis & pulchris, denſa lanis fronte, probe cornutos, modicis cornibus, auribus denſitate lanæ contectis, lato tergo, magnos teſtes habentes, & nihil varii coloris in toto corpore. Ætas probatur tum in arietibus, tum in matricibus trium annorum. Sufficit autem unus aries quinquaginta matricibus gravidis faciendis. Satiſque erit unus vir vi-

ΚΕΦ. Α.

Περὶ προβάτων ἐκλογῆς, καὶ δοκιμασίας ἀῤῥένων καὶ θηλειῶν. Φλωρεντίνου.

ΑΡΙΣΤΑΙ εἰσὶ τοκάδες, αἳ ἔρια φύουσι πολλὰ καὶ μαλακά, (1) τοὺς μαλλοὺς βαθεῖς πεπυκνωμένους καθ' ὅλον μὲν τὸ σῶμα, μάλιστα δὲ περὶ τὸν τράχηλον καὶ τοὺς αὐχένας· ἔχουσι δὲ καὶ τὴν κοιλίαν ὅλην δασεῖαν ἐρίων πλήθει καὶ μαλακότητι, καὶ ὁμοχροίᾳ. Εἶναι δὲ χρὴ αὐτὰς εὐοφθάλμους, καὶ μακροσκελεῖς, καὶ μακροκέρκους· ἄρισται γὰρ αὗται πρὸς ἀρνοτροφίαν. (a) Τοὺς δὲ κριοὺς εἶναι χρὴ εὐπαγεῖς, καλοὺς τῇ θέᾳ, χαροποὺς τοῖς ὄμμασι, δασυμετώπους, εὐκέρωτας, ὀλιγοκέρωτας, σκεπομένους τὰ ὦτα τῇ πυκνότητι τῶν ἐρίων, πλατυνώτους, ἔχοντας τοὺς διδύμους μεγάλους, μηδὲν ἑτερόχρουν ἐπὶ τοῦ σώματος ἔχοντας. Ἡλικίαν δοκιμαστέον κριῶν καὶ τοκάδων, ὅταν ὦσι τριετεῖς. ἱκανὸς δὲ εἷς κριὸς ν'. τοκάδας (2) ἐγκύους ποιεῖν. ἀρκέσει εἷς ἀνὴρ κ'. προβάτων εἰς ἐπιμέλειαν, ἔχων παιδίον εἰς ἐπικου-

(1) *Emend. & ſupplevi ex MSS. prius,* τοὺς πολλοὺς πεπυκν.

(a) Τοὺς δὲ κριούς-] *De Arietum electione vid.* Colum. *p.* 250. *&* Pallad. *in* Jul. *Tit.* 4.

(2) *Ita* Caſaub. *&* *MS.* Barocc. *Antea* ἐγγύους.

ρίαν.

ἔχειν. Κυοφορεῖ δὲ τὸ πρόβατον μῆνας ε'. ἄριστα δέ εἰσι πρόβατα, τὰ ἔχοντα ἔρια ἡπλωμένα, τὰ δὲ παρουλότριχα σαθρὰ εἶναι τῇ φύσει διαβεβαιοῦνται.

ginti ovibus curandis, ſi puerum habeat adjutorem. Ovis menſes quinque uterum gerit. Optimæ ſunt oves habentes lanas explanatas; criſpas vero lanas habentes natura debiles eſſe affirmant.

ΚΕΦ. Β.

Περὶ ἐπιμελείας καὶ διαμονῆς αὐτῶν. Τοῦ Αὐτοῦ.

Τοὺς σηκοὺς (1) πλείους καὶ μᾶλλον πλατυχώρους εἶναι δεῖ, θερμούς τε καὶ ξηροὺς κατασκευαστέον, καὶ τὰ ἐδάφη δὲ τούτων κεκλιμένα, λίθοις τε καταστορεσθέντας ὁμαλιστέον. πακτέον δὲ καὶ (2) πρὸς ὑψηλὸν τοῦ ἐδάφους τὰς φάτνας, κλίμακάς τε ὑπὲρ αὐτῶν ἐμπηκτέον, ὅπως τὰ πρόβατα τὴν τροφὴν λαμβάνοντα κωλύηται ὑπερπηδᾷν. Θέρους μὲν οὖν καὶ ὑπαίθρια τρέφονται, καὶ ἔξω αὐλίζονται· ἀλλ' ὅταν ὁ ἥλιος ὀξύτατος ᾖ, ὑπὸ σκιὰν (3) ἀγέσθω· οὐ μὴν τὸ ἀνάπαλιν· σφόδρα γὰρ βλάπτει τὸ ψῦχος αὐτά. Πρὸς δὲ τὸ μὴ ἕρπειν τὰ θηρία τὰ λυμαινόμενα, θυμιατέον ἐν τοῖς σηκοῖς τρίχας γυναικῶν, ἢ (a) χαλβάνην, ἢ κέρας ἐλάφειον, ἢ αἰγῶν ὁπλὰς ἢ τρίχας, καὶ ἄσφαλτον, καὶ κασσίαν, ἢ κόνυζαν, ἢ τι ἄλλο τῶν βαρυόσμων, καθ' ἑαυτά, ἢ καὶ (4) ἅμα πλείω κοπέντα. εἴς τε τὴν στρωμνὴν τῶν ποιμνίων χρηστέον (b) καλαμίνθῃ καὶ (c) ἀσφοδέλῳ, ἢ γλήχωνι, ἢ πο-

CAP. II.

De cura & duratione ovium. Ejuſdem.

Mandras plures & maxime capaces ac amplas eſſe oportet, calidæque ac ſiccæ conſtruantur, pavimenta quoque ipſarum declivia ſint, lapidibuſque inſtratis complanentur. Præſepia autem ad altitudinem pavimenti diſponantur, ſcalæque ſuper ipſa eminentes infigantur, ut oves pabulum capientes non tranſiliant. Æſtate equidem etiam ſub dio nutriuntur, ac foris manent: Verum quum ſol maxime urget, ſub umbram agantur; non tamen vice verſa; valde enim a frigore læduntur. Ut vero non adrepant beſtiæ quæ eis nocere ſolent, pili mulierum in ipſis mandris ſuffumigentur, aut galbanum, aut cornu cervinum, aut caprarum ungulæ ſive pili, & bitumen, & caſſia, aut conyza, aut aliud quippiam grave olens, ſingula per ſe, aut etiam plura ex his ſimul tuſa. Ad ſtrata ovilium calamintha utendum & aſphodelo, aut pulegio, aut polio, aut co-

(1) *Emend. ex MSS. ante* πλεῖον. (2) *Reſtitui ex* Bar. *prius* καὶ τὸ ὑψηλόν. (3) *Ex MSS. pr. Ed.* ἀγέσθω.

(a) *Reſpice ad* Notas *in* Cap. 48. Libri *V.*

(4) *Emend. ope MSS. prius* ἄλλα.

(b) Καλαμίνθῃ-] *Tria Calaminthæ genera enumerat* Dioſcor. *Lib.* 3. *Cap.* 43.

(c) Ἀσφοδέλῳ-] Dioſcor. *Lib.* 2. *Cap.* 199. Ἀσφόδελος φυτὸν τοῖς πλείστοις γνώριμον, φύλλα ἔχων πράσῳ μεγάλῳ ὅμοια, καυλὸν δὲ ἔχοντα ἐπ' ἄκρου ἄνθος, καλούμενον ἀνθέρικον· ῥίζαι δὲ ὕπεισιν ἐπιμήκεις, στρογγύλαι, βαλάνοις ὅμοιαι, ---. *Vid.* Theophr. *Lib.* 7. *Cap.* 12. Proclum *in* Heſiodum *Vs.* 41. Ἔργ. καὶ Ἡμ. *&* Plinium *Lib. XXI.* Sect. 68.

nyza,

nyza, aut abrotono; hujuſmodi enim herbas beſtiæ reptiles fugiunt. Pabulum objiciatur cytiſus & medica, fœnum græcum, avena, leguminumque ac hordei paleæ; quæ præſtantiores fiunt, ſi in area muria irrorentur. Quin & ficuum groſſi delapſi, foliaque arida, ovibus commodum alimentum præbent. Cæterum ad paſcua educendæ ſunt æſtate quidem ante ſolis exortum, rore adhuc in terra jacente, hyeme vero, & pruina & omni rore jam diſſolutis. Semper autem proſpiciendum eſt, ut oves ſolem a cauda habeant. Numerus gregis ſemper ſit impar, quod phyſicam quandam vim habeat, ad gregum ſalutem ac durationem.

λίῳ, ἢ κονύζῃ, ἢ ἀβροτόνῳ· καὶ γὰρ τὰ τοιαῦτα φεύγει τὰ θηρία. Τροφὴν δὲ παραβλητέον κύτισον καὶ μηδικὴν, ἢ τῆλιν, ἢ βρόμον, καὶ τῶν ὀσπρίων τὰ ἄχυρα, καὶ τῶν κριθῶν· καλλίω δὲ ταῦτα γίνεται ἐπὶ τῆς ἅλω (d) ἅλμῃ (5) ἐπιῤῥαινόμενα. καὶ τῶν συκῶν δὲ οἱ ἐκπεσόντες ὄλυνθοι, καὶ τὰ ξηρανθέντα φύλλα ἐπιτήδεια πρὸς τροφὴν προβάτων. Ἐπὶ δὲ τὴν νομὴν ἐξακτέον θέρους μὲν πρὶν ἥλιον ἀνασχεῖν, (6) ἔτι τῆς δρόσου κειμένης, (e) χειμῶνος δὲ, καὶ τῆς πάχνης ἤδη καὶ πάσης τῆς δρόσου διαλελυμένης. ἑκάστοτε δὲ τὸν ἥλιον κατ' οὐρὰν ἔχειν αὐτὰ προνοητέον. ἔστω δὲ ἀεὶ τῶν ποιμνίων ὁ ἀριθμὸς ἄνισος, ὡς φυσικὴν ἔχων τινὰ δύναμιν πρὸς διαμονὴν καὶ σωτηρίαν τῶν ἀγελῶν.

(d) Ἅλμῃ-] Colum. *p.* 255. "*Nulla ſunt tam blanda pabula, aut etiam paſcua, quorum gratia non exoleſcat uſu continuo, niſi pecudum faſtidio paſtor occurrerit præbito ſale, quod velut ad pabuli condimentum per æſtatem canalibus ligneis impoſitum, cum e paſtu redierint oves, lambunt, atque eo ſapore cupidinem bibendi paſcendique concipiunt.*

(5) *MSS.* ἐπιῤῥαινομένῃ. (6) *Inſignem hanc lacunam, ab* ἀναχεῖν *ad* διαλελυμένης, *ſupplevi ex opt. MS.* Barocc. *Notavit* Caſaub. *locum eſſe mutilum, ſed aqua hærebat.*

(e) Χειμῶνος δὲ,-] Colum. *p.* 256. "*Hyeme & vere matutinis temporibus intra ſepta contineantur, dum dies arvis gelicidia detrahat: nam pruinoſa iis diebus herba pecudi gravedinem creat, ventremque proluit.*

CAP. III.

De admiſſura & partu. Didymi.

ARietes duobus menſibus ante admiſſuram ſeparandi ſunt, eiſque largius pabulum exhibendum. Ubi vero pingue corpus & vires ſufficientes adepti fuerint, ad fœminas admittendi ſunt. Ætas autem arietum admiſſuræ idonea, ab annis duobus uſque ad octo: ſimiliter & in fœminis. Noſſe autem convenit, quod arietes magis oves ſeniores perſequuntur, ut quæ facilius citiuſque incantur, deinde etiam juvenes;

ΚΕΦ. Γ.

Περὶ ὀχείας καὶ τοκετοῦ. Διδύμου.

ΤΟὺς κριοὺς πρὸ δύο μηνῶν τῆς ὀχείας χωριστέον, καὶ δαψιλεστέρᾳ τροφῇ χρηστέον. ὅταν δὲ εὐσαρκίαν καὶ δύναμιν ἀθροίσωσι, ταῖς θηλείαις ἐπαφετέον. Ἡλικία δὲ πρὸς ὀχείαν χρήσιμος τῶν κριῶν, ἀπὸ δύο ἐτῶν ἕως η´. ὁμοίως δὲ καὶ ἐπὶ τῶν θηλειῶν. εἰδέναι δὲ χρὴ, ὡς οἱ κριοὶ μᾶλλον τὰς πρεσβυτέρας διώκουσι θᾶττον ὀχευομένας, καὶ ὕστερον τὰς

νέας· βραδύτερον δὲ οὐ χρὴ ὀχεύεσθαι, βλάπτει γάρ. Τινὲς δὲ διὰ παντὸς σχεδὸν τοῦ ἔτους ἔχειν ἀρνειοὺς καὶ γάλα βουλόμενοι, διαφόρως τὸν τῆς ὀχείας καιρὸν μεθαρμόζουσιν εἰς ἑκάστην τοῦ (1) ἔτους ὥραν. Εὔτονοι δὲ πρὸς ὀχείαν οἱ κριοὶ γίνονται, κρομμύων αὐτοῖς ἐν τῇ τροφῇ παραμιγνυμένων, τῆς τε πολυφόρου καὶ πολυγόνου βοτάνης, ὃ καὶ τὰ λοιπὰ βοσκήματα πρὸς ὀχείαν ἐγείρει. τοῖς αὐτοῖς δὲ καὶ μὴ ξενίζουσιν ὕδασι χρηστέον. Ἐὰν δὲ ἄῤῥενα πλείω τις βούληται τίκτεσθαι, καταντικρὺ τῶν (a) Ἀρκτῴων ἀνέμων νεμομένης τῆς ἀγέλης, ἡμέρας εὐδίου, τοὺς κριοὺς ἐναφιέτω· ἐὰν δὲ θηλυκὰ, Νότου ὄπισθεν πνέοντος. δοκεῖ δὲ καὶ ἐπὶ τούτων, καὶ ἐπὶ πάντων τῶν ζώων τὸ αὐτὸ ἁρμόζειν. καὶ εἰ ὁ δεξιὸς δὲ ὄρχις δεθῇ, ὡς ἐπὶ τῶν βοῶν εἴρηται, θῆλυ τεχθήσεται, ἄῤῥεν δὲ, εἰ ὁ ἀριστερός. Τὰ δὲ τεχθέντα, μετὰ τὸ πληρωθῆναι τοῦ γάλακτος, καταμόνας αὐλιστέον· συναυλιζόμενα γὰρ ταῖς τεκούσαις συμπατεῖται. Μέχρι δὲ μηνῶν δύο οὐκ ἀμελκτέον τοῦ γάλακτος· κάλλιον δὲ, εἰ μηδέποτε· εὐτραφέστεροι γὰρ ἔσονται οἱ ἄρνες. Τὰ δὲ ἐκ τῶν πρωτογόνων ἀπαλλοτριοῦν χρὴ, ὡς ἀνεπιτήδεια πρὸς διαμονήν.

At vero tardius ineundæ non ſunt; eſt enim nocivum. Quidam, quo per omnem fere annum agnos ac lac habeant, tempus admiſſuræ diverſimode in ſingula anni tempora diſponunt. Valide autem oves ineunt arietes, ſi cepæ ipſorum pabulo admiſceantur, & herba πολύγονος appellata; unde etiam reliqua pecora ad coitum excitantur. Iiſdem etiam aquis & non inſolitis eſt utendum. Quod ſi quis mares plures gigni velit, contra ſeptentrionales ventos obverſa & paſcente grege, die ſerena, arietes immittat: ſi fœminas, auſtro a tergo ſpirante. Hoc ipſum & in his, & in omnibus animalibus convenire videtur. Et ſi dexter teſtis obligetur, velut in bubus dictum eſt, fœmina gignetur; mas contra, ſi ſiniſter. Recens natæ oviculæ, ubi lacte impletæ ſunt, ſeorſim in ſtabulis claudendæ ſunt. Si enim ſimul cum matricibus ſtabulentur, proculcantur. Lac uſque ad duos menſes non emulgeatur; præſtiterit autem, id nunquam emulgeri; habitiores enim agni evadent. Oviculas ex primiparis natas abalienare oportet, ceu minime diuturnas.

(1) *MS.* Bar. ἔαρος.

(a) Ἀρκτῴων ἀνέμων-] *Vid. quæ notav. ad* Cap. 6. Libri *præcedentis ex* Ariſtotele, Columellam *p.* 253. *&* Palladium *p.* 181.

ΚΕΦ. Δ.

Περὶ προβάτων, ἵνα ἀκολουθῶσιν. Ἀφρικανοῦ.

Ἐρίῳ βύσον (1) αὐτῶν τὰ ὦτα.

(1) *Ex MS.* Bar. *prius* αὐτοῦ.

CAP. IV.

Ut oves ſequantur. Africani.

LAna aures ipſarum obturato.

CAP.

CAP. V.

Ut aries non impetat. Ejuſdem.

CORnua ipſius prope auriculas perforato.

ΚΕΦ. Ε.

Εἰς κριὸν, ἵνα μὴ ἐπιβρέχῃ. Τοῦ Αὐτοῦ.

(a) ΤΡύπησον αὐτοῦ τὰ κέρατα ἐγγὺς τῶν ὠτίων αὐτοῦ.

(a) Τρύπησον-] Columella *p.* 251. "*Epicharmus Syracuſanus, qui pecudum*
" *medicinas diligentiſſime conſcripſit, affirmat pugnacem arietem mitigari.*
" *terebra ſecundum auriculas foratis cornibus, qua curvantur in flexu.*
Et Plinius: " *Ferocia ejus cohibetur, cornu juxta aurem terebrato.*

CAP. VI.

Ut prægnante ove prænoſcas, quali colore ſit fœtus. Democriti.

APerito prægnantis os, & ſi quidem inveneris linguam ipſius nigram, nigrum fœtum pariet: ſi vero albam, album: ſi autem variam, varius erit & partus.

ΚΕΦ. Ϛ.

Προβάτου ἐγκύου ὄντος προγινώσκειν, ὁποῖον χρῶμα ἔχει τὸ ἔμβρυον. Δημοκρίτου.

(a) ΑΝοίξας αὐτοῦ τὸ στόμα ἐὰν εὕρῃς γλῶσσαν αὐτοῦ μέλαιναν, μέλαν τέξεται· (1) ἐὰν δὲ λευκὴν, γεννήσει λευκόν· ἐὰν δὲ ποικίλην, ποικίλον ἔσται τὸ τικτόμενον.

(a) Ἀνοίξας.... στόμα-] Plinius *Tom.* 2. *p.* 225. " *Maxime ſpectantur ora,*
" *quia cujus coloris ſub lingua habuere venas, ejus & lanicium eſt in fœ-*
" *tu: variumque, ſi plures fuere.*

(1) *Ita MS.* Eton. *prius* εἰ.

CAP. VII.

Ut agni non ægrotent. Didymi.

HEderam ad dies ſeptem edendam exhibe, & non ægrotabunt.

(1) *Adjeci ex MSS.*

ΚΕΦ. Ζ.

Ἄρνας μὴ νοσεῖν. (1) Διδύμου.

ΚΙσσὸν βόσκησον ἐπὶ ἡμέρας ζ΄. καὶ οὐ νοσεῖ.

ΚΕΦ. Η.

Πότε δεῖ καὶ πῶς ἀποκείρειν τὰ πρόβατα. Διδύμου.

ΜΗτε κρύους ἔτι ὄντος, μήτε θέρους ὥρᾳ, ἀλλὰ μεσοῦντος ἔαρος κείρειν χρὴ τὰ πρόβατα. τὰ δὲ ἐν τῷ κείρεσθαι συμβάντα τραύματα χριστέον ὑγροπίσσῃ, τὸ δὲ λοιπὸν σῶμα ἐλαίῳ μετὰ οἴνου, ἢ χυλῷ (a) πικρῶν θέρμων ἀφεψημένων. κάλλιον δὲ οἴνου καὶ ἀμόργης τὸ ἴσον, ἢ ἐλαίου καὶ οἴνου λευκοῦ, (1) κηροῦ καὶ στέατος μιχθέντων, συγχρίεσθαι. τοῦτο γὰρ καὶ τὸ ἔριον βλαβερὸν οὐ ποιεῖ, καὶ ψώραν οὐκ ἐᾷ, καὶ ἕλκωσιν γενέσθαι διακωλύει. τηρεῖν δὲ χρὴ, ὅπως (2) εὖ μεμαγμένα, μετὰ πρώτην ὥραν, ἀνεξηραμμένης τῆς ἐν τοῖς ἐρίοις διὰ νυκτὸς ἐπιπεσούσης δρόσου, κείρηται, μᾶλλον ἐν ἡλίῳ. συνιδροῦντος γὰρ τοῦ κειρομένου, ἀναλαμβάνεται ὁ ἱδρὼς ἐκ τῶν ἐρίων, καὶ εὐχρούστερα καὶ μαλακώτερα γίνεται.

CAP. VIII.

Quando & quomodo tondendæ oves. Didymi.

NEque frigore adhuc urgente, neque æſtatis tempore, ſed medio vere oves tondere oportet. Vulnera quæ inter tondendum contingunt pice liquida illinantur; reliquum vero corpus vino & oleo, aut ſucco lupinorum amarorum decoctorum. Præſtat tamen vinum pari amurca mixtum, aut oleum & vinum album, cera & adipe admixtis, illini. Hoc enim & lanam innocuam facit, & ſcabiem ingruere non permittit, & ulcerationem impedit. Obſervare autem oportet, ut probe deterſæ, poſt primam diei horam, reſiccato rore per noctem in lanas illapſo, tondeantur, potius utique in ſole. Exſudante enim dum tondetur ovicula, ſudor lanis excipitur, lanaque coloris præſtantioris & mollior redditur.

(a) Πικρῶν θέρμων.] *Ita* Colum. *p.* 259. " *Cum detonſa fuerit, ungi de-*
" *bet tali medicamine : ſuccus excocti lupini, veteriſque vini fæx, & a-*
" *murca pari menſura miſcentur, eoque liquamine tonſa ovis imbuitur,....*
" *hoc modo curatum pecus anno ſcabrum fieri non poſſe Celſus affirmat.*

(1) *Ita MSS. &* Interp. *prius* κηρῷ καὶ στέαρ συμμιχθέντων. (2) *Ex MSS. antea* ἐκμεμαγ. *In MS.* Bar.—— ὅπως εὔπλη καὶ κοινὰ εἴη πρόβατα, εὖ μεμαγμένα τε, μετὰ τὴν πρώτην ——

ΚΕΦ. Θ.

Περὶ αἰγῶν καὶ τράγων. Φλωρεντίνου.

ΑΙ αἶγες χαίρουσι τόποις ὀρεινοῖς· ἔστι δὲ παρεμφερὲς τῷ προβάτῳ κατὰ πολλά· βιβάζεται γὰρ ταῖς αὐταῖς ὥραις· κυοφορεῖ δὲ ε΄. μῆνας, ὥσπερ τὰ πρόβατα. (1) διδυμοτοκεῖ δὲ

CAP. IX.

De capris & hircis. Florentini.

CApræ montanis locis gaudent; eſtque hoc animal quam ſimillimum ovi; ſalitur enim iiſdem temporibus; geſtat in utero menſes, veluti oves, quinque. Parit autem fere

(1) *Emend. ex MSS. prius,* διδυμοτοκεῖς.

gemel-

gemellos, & natos nutrit, & reditus non modicos affert ex lacte & caſeo ac carne; inſuperque a pilo. Pilus ipſe neceſſarius ad funes torquendos, ac ſaccos, & his ſimilia, & ad nauticos uſus, quæ enim inde facta ſunt, neque facile inciduntur, neque putreſcunt naturaliter, niſi valde neglectui habeantur. Ex matricibus vero eligere oportet bene compactas, magnaſque ac muſculoſas, & quæ corpus læve habent, piloſque denſos, & ubera magna ac tumentia. Tales enim & ad durationem meliores ſunt: natura enim animal ægre frigus fert, nimirum naturaliter ſemper febricitat; & ſi quando defecerit febris, intereunt. Ex hircis præferunt magnos, bonis lateribus præditos, & coxendicibus magnis, denſoque ac longo & albo pilo, & qui cervicem brevem itemque collum breve & craſſum habent, gurgulionem vero longiorem. Optimum autem tempus horum admiſſuræ eſt ante ſolſtitium hyemale. Hircus vero non aufugiet, ſi barbam ejus præcideris.

ὡς ἐπὶ πολὺ, καὶ τρέφει τὰ γεννώμενα, καὶ προσόδους δίδωσιν οὐκ ὀλίγας, τὰς ἀπὸ γάλακτος καὶ τυροῦ καὶ (2) ἐρέας· πρὸς δὲ τούτοις τὰς ἀπὸ τοῦ τριχός. ἡ δὲ θρὶξ ἀναγκαία πρός τε σχοίνους καὶ σάκκους, καὶ τὰ τούτοις παραπλήσια, καὶ εἰς (a) ναυτικὰς ὑπηρεσίας, οὔτε κοπτόμενα ῥαδίως, οὔτε σηπόμενα φυσικῶς, ἐὰν μὴ λίαν καταλιγωρηθῇ. Δεῖ δὲ ἐκλέγειν ἀπὸ τῶν τοκάδων τὰς εὐπαγεῖς, μεγάλας τε καὶ μεμυωμένας, καὶ τὸ μὲν χρῶτα λεῖον ἐχούσας, δασύτριχας, τὰ οὔθατα μεγάλα καὶ ὀγκώδη ἐχούσας. αἱ δὲ τοιαῦται καὶ πρὸς ἐπιμονὴν κρείττους εἰσί· φύσει γὰρ δύσριγόν ἐστι τὸ ζῶον, ἀμέλει (b) φυσικῶς ἀεὶ πυρέττει· καὶ εἴ ποτε ἐπιλείψῃ ὁ πυρετὸς, διαφθείρονται. Τῶν δὲ τράγων ἐκκρίνουσι τοὺς μεγάλους καὶ εὐπλεύρους, ἰσχία τε μείζονα ἔχοντας, δασύτριχας, μακρότριχας, λευκότριχας, αὐχένα καὶ τράχηλον (3) βραχὺν καὶ παχὺν ἔχοντας, βρόγχον δὲ μακρότερον. Ἀρίστη δὲ ὥρα πρὸς τὴν τούτων ὀχείαν, ἡ πρὸ τροπῶν τῶν χειμερινῶν. τράγος δὲ οὐ φεύξεται, ἐὰν κείρῃς αὐτοῦ τὸν πώγωνα.

(2) *Hæc vox mihi ſuſpecta; de pilis enim caprinis, ne duriori quidem uſu, accipi nequit: quod de iis agatur in ſequ.* προσκοπῇ. Bar. *habet,* ἐρέας· Interp. *legebat* σαρκός.

(a) Ναυτικὰς ὑπηρεσίας,-] Varro *de* R.R. *Lib.* 2. *Cap. ult.* " *Capra pilos* " *miniſtrat ad uſum nauticum, & ad bellica tormenta, & fabrilia vaſa.* Colum. " *---pilus tondetur* " Uſum in caſtrorum & miſeris velamina " nautis.

(b) Φυσικῶς ἀεὶ πυρέττει-] Plinius *Tom.* 2. *p.* 235. " *Auribus capras* " *ſpirare, non naribus, nec unquam febri carere Archelaus auctor eſt;* " *ideo fortaſſis anima his, quam ovibus, ardentior, calidioreſque concubitus. Idem tradit* Varro *fol.* 80. *ſed refellunt* Ariſtot. *&* Ælianus.

(3) *Reſtitui ex MS.* Bar. Varr. *&* Interp. *In pr. Ed. & cætt. MSS.* βαρὺν, *peſſime. Emendationem noſtram firmat etiam* Columella pag. 264. " *Caper optimus habetur, ampliſſimi corporis, cruribus craſſis, plena &* " *brevi cervice.*

ΚΕΦ. Ι.

Ὥστε αἶγας πολὺ γάλα ποιεῖν. (1) Τοῦ Αὐτοῦ.

Βοτάνην πενταδάκτυλον, πρὸ τοῦ πίνειν, δίδου φαγεῖν ἐπὶ ἡμέρας ε΄. Αἶγες πολὺ γάλα ποιοῦσιν, ἐὰν δίκταμνον περὶ τὰς αὐτῶν γαστέρας περιάψῃς.

CAP. X.

Ut capræ multum lac præbeant. Ejuſdem.

Herbam quinquefolium, antequam bibant, ad dies quinque edendam porrige. Capræ multum lac præbent, ſi dictamnum circa alvos ipſarum ligaveris.

(1) *Adjeci ex MSS. &* Interp. *ſed* Bar. *in* Argum. γάλα ἔχειν.

ΚΕΦ. ΙΑ.

Ὥστε πρόβατα καὶ αἶγας λοιμικὴν νόσον μὴ ἀσθενεῖν. Τῶν Κυιντιλίων.

Ἐὰν πελαργοῦ κοιλίαν λειώσας ὕδατι ἐγχυματίσῃς ἀπὸ κοχλιαρίου ἑνὸς ἓν ἕκαστον.

CAP. XI.

Ut oves & capræ peſte non laborent. Quintiliorum.

Si ciconiæ ventriculum aqua contritum, ad cochlearii unius menſuram, ſingulis infuderis.

ΚΕΦ. ΙΒ.

Περὶ γάλακτος, καὶ ὥστε τὰ βοσκήματα πολὺ γάλα ποιεῖν. Ἀφρικανοῦ.

Ὅλα τὰ βοσκήματα ἄπειρον γάλα ποιεῖ, μετὰ τοῦ τρέφειν τὸ ἔμβρυον, ἐὰν κύτισον ἐσθίῃ, ἢ (1) δίκταμνον ταῖς γαστράσιν αὐτῶν περιάψῃς. Γάλα ἐπὶ πυρὸς χλιαινόμενον καὶ κλάδῳ συκῆς κινούμενον πήγνυται. τὸ δὲ ὀξύγαλα ἐμβαλλόμενον εἰς ἔλαιον, ἢ εἰς φύλλα τερμίνθου συντιθέμενον, μένει ἁπαλόν.

CAP. XII.

De lacte, & ut pecora multum lac præbeant. Africani.

Omnia pecora plurimum lac dabunt, unaque fœtum enutrient, ſi cytiſum comederint, aut dictamnum alvis ipſarum alligaveris. Lac ad ignem ſi tepefiat, & fici ramulo agitetur, coagulatur. Verum oxygala injectum in oleum, aut in terebinthi foliis conditum, molle permanet.

(1) *Emend. ex* Interp. *& MSS. Pr. Ed.* ἢ γάλα ἐν ταῖς γαστέραις.

CAP. XIII.

De medela ovium. *Leontini.*

PRovidere oportet, ut oves nullo modo peſtilenti morbo laborent. Vere itaque incipiente, ſalvia montana & marrubium ſimul tuſa in potu miſceantur, ad quatuordecim dies. Idem & autumno totidem diebus faciendum eſt. Si vero eas corripuerit morbus, iiſdem remediis utendum. Cytiſi quoque fœnum prodeſt in pabulo ſumptum, & arundinis duriſſimæ radices tenerrimæ in potu maceratæ. Ægrotantes inſuper in alium locum transferendæ ſunt, ut ſanæ ipſis non permiſceantur, & ipſæ aquæ & aeris alîus participes factæ convaleſcant.

ΚΕΦ. ΙΓ.

Περὶ ἰάσεως προβάτων. (1) Λεοντίνου.

ΠΡονοεῖν χρὴ, ὅπως μηδὲ τὴν ἀρχὴν νόσῳ λοιμώδει (2) περιπέσοι τὰ πρόβατα. ἔαρος τοίνυν ἀρχομένου, (3) ἐλελίσφακον ὄρειον καὶ τὴν πράσιον βοτάνην ἅμα κοπέντα τῷ ποτῷ μικτέον, ἐπὶ ιδ΄. ἡμέραις. τοῦτο δὲ καὶ μετοπώρῳ ἐπὶ τὰς ἴσας ἡμέρας ποιητέον. εἰ δὲ ἄρα καὶ παραλάβοιεν ἡ νόσος, τοῖς αὐτοῖς χρηστέον. Καὶ κυτίσου δὲ χόρτος ὠφελεῖ ἐσθιόμενος, καὶ καλάμου σκληροτάτου ῥίζαι ἁπαλώταται εἰς (4) τὸ ποτὸν διαβρεχόμεναι. Δεῖ δὲ τὰ νοσοῦντα εἰς ἕτερον χωρίον μετενεγκεῖν, ὅπως μὴ τὰ ὑγιαίνοντα ἀναφύρηται αὐτοῖς, καὶ αὐτὰ δὲ ὕδατος καὶ ἀέρος ἄλλου μεταλαβόντα ῥωννύηται.

(1) *Revocavi ex MSS.* F.L. Eton. *&* Interp. (2) *Ex MS.* Bar. *ante* περιπέσῃ. (3) *Emend. ope MSS. prius*, λιλίσφακον ὄρεων. (4) *Ita MS.* Bar. *antea* τόπον, *peſſime.*

CAP. XIV.

De lupis capiendis. *Diophanis.*

LUpos capies hoc modo. Blenni ſunt piſces parvi marini, quos aliqui lupos appellant: his capiuntur terreſtres lupi hoc modo. Vivos ipſos quam plurimos captos con-

ΚΕΦ. ΙΔ.

(1) Λύκων θηρατικόν. Διοφάνους.

ΛΥκους θηράσεις οὕτω. (2) βλέννοι (a) εἰσὶν ἰχθύες μικροὶ θαλάσσιοι, οὓς ἔνιοι προσαγορεύουσι λύκους· οὗτοι τὴν θήραν ἀπεργάζονται τῶν χερσαίων λύκων τῷ τρόπῳ τού-

(1) *Ex MSS. prius* λύκου——. (2) *Emend. ex* Oppiano *&* Athenæo; *ante*, βλέμμοι.

(a) Βλέννοι-] *Blennus piſcis minutus marinus, in herboſis litoribus vivens, teſte* Oppiano; *ab* Athenæo βέλεννος *dicitur, & Gobio figura ſimilis eſſe.* "*In mari Romano* (inquit Hippolytus Salvianus) *vix quotannis* "*deni Blenni capi ſolent; in Græco tamen frequentior habetur. Squillis* "*minutioribus & piſciculis veſcitur, his deficientibus, alga & maris purgamentis. Fuſe deſcribit* Hipp. Salv. *Hiſtoria* 79. *&* Athenæus *Lib.* 7. *pag.* 288.

τῳ. ζῶντας αὐτοὺς ἁλιεύσας πλείστους σύντριψον λεπτῶς ἐν ὅλμῳ ἢ θυΐᾳ, καὶ πλείστην ποιήσας ἀνθρακιὰν ἐν τῷ ὄρει ἐν ᾧ διάγουσιν, ἀνέμου δηλαδὴ πνέοντος, ἐκ (3) τούτων λαβὼν τῶν ἰχθύων ἐπίθες τῇ πυρᾷ, τόν τε ἰχῶρα καὶ ἄρνεια κρέα λεπτὰ μίξας σφόδρα συνεπίβαλλε τῷ τῶν ἰχθύων κόμματι, καὶ ἀποχώρει τῶν τόπων. τῆς γὰρ πυρᾶς βαρυόσμου γινομένης, οἱ ἐπιχώριοι συναχθήσονται πάντες λύκοι· μετασχόντες δὲ τῶν κρεῶν, ἤτοι τῆς ὀσμῆς, σκοτωθέντες ὑπνώσουσι· καὶ ὥσπερ ναρκήσαντας εὑρὼν κατάσφαξον.

tere in mortario aut pila, & prunarum ſtruem plurimam excitato in monte, in quo lupi verſantur, vento videlicet ſpirante, accipeque ex his piſcibus, & in ignem mitte; cruorem deinde & carnes agninas minutatim conciſas probe permiſce, & ad contuſos piſces adjice, ſecedeque ex illis locis. Poſtquam enim rogus graviter olere cœperit, lupi indigenæ omnes congregabuntur: ubi autem participes fuerint carnium, aut odoris, tenebris offuſis vertiginoſi redditi ſopore corripientur; eoſque velut torpentes reperiens mactato.

(3) *Auctor. MSS.* Pr. Ed. καὶ ἐκ τῶν ῥηθέντων ἰχθύων——.

ΚΕΦ. ΙΕ.

Περὶ ψώρας. Διδύμου.

Ψῶρα οὐδὲ τὴν ἀρχὴν προσπελάσειεν, εἰ οἷς προείπομεν, μετὰ τὸ κεῖραι τὰ πρόβατα, τις χρίσειεν. εἰ δὲ ἀμελήσαντός σου συμβῇ, θεραπεύσεις αὐτὴν οὕτως. (a) ἀμόργη ἄναλος διηθεῖται, καὶ ὕδωρ πικρῶν θέρμων ἀποβραχέντων, καὶ τρὺξ λευκοῦ οἴνου, τὸ ἴσον ἑκάστου (1) μιχθὲν ἐν ἀγγείῳ θερμαίνεται, καὶ τὸ πρόβατον τούτῳ χρισθὲν ἐπὶ β'. ἡμέρας μένει, (2) τῇ γ'. δὲ ὕδατι θαλαττίῳ ἢ ἅλμῃ θερμῇ λουτέον, καὶ μετὰ ταῦτα ὕδατι ποτίμῳ. Ἄλλοι δὲ κυπαρίσσου σφαιρία ἅμα ὕδατι ἐγχέουσιν. οἱ δὲ θεῖον καὶ κύπειρον μετὰ ψιμμυθίου καὶ βουτύρου κοπέντα καταχρίουσι. τινὲς, οὐρήσαντος ὄνου ἐν ταῖς ὁδοῖς, τὸ συστὰν πηλῶδες ἐπιχρίουσι. Κάλλιον δέ τινες ποιοῦντες, οὐ πρότερόν τι προσφέρουσι τῶν προειρημένων ἰαμάτων τῷ ψωριῶντι, πρὶν ἢ ἀποκεῖραι τὸ πεπονθὸς, καὶ προαποσμῆξαι οὔρῳ παλαιῷ. Ἐν μέντοι τῇ

CAP. XV.

De ſcabie. Didymi.

Scabies ne ab initio quidem oves occupaverit, ſi quis eas, poſt tonſuram, his quæ diximus illeverit. Si vero ex negligentia tua contingat, curabis ipſam hoc modo. Amurca inſulſa excolatur, & aqua in qua lupini amari macerati ſunt, & fæx vini albi, ſingula pari copia mixta in vaſculo calefiunt, & his illita ovis ad biduum permanet; tertia autem aqua marina aut muria calida lavatur, & poſtea etiam aqua potabili. Alii cupreſſi pilulas ſimul cum aqua infundunt. Alii ſulphur & cyperum cum ceruſſa & butyro tuſa illinunt. Quidam, mingente aſino in via, quod conſtitit lutoſum illinunt. Quidam autem melius faciunt, & non prius quicquam prædictorum remediorum ovi ſcabioſæ adhibent, quam pars affecta ſit detonſa, & urina veteri depurgata. In Arabia tamen cedriæ illitu conten-

(a) Ἀμόργη.] *Vid. quæ notavi ad* Cap. *octavum hujus* Libri.

(1) *Emend. & ſupplevi ex MSS. prius,* ἀφ' ἑκάστου ἐν ἀγγ. (2) *Apud* Columellam;——"*quarto die, ſi eſt vicinia maris, ad littus deducta* "*merſatur.*

tenti

ti ſunt, quemadmodum etiam ad camelos ac elephantos curandos. Scabiem porro ovium curabis etiam urina eas lavando, & ſulphur cum oleo illinendo.

Ἀρράβίᾳ τῇ χείρὶ τῇ (b) κεδρίας ἀρκῦνται, ὡς ἐ ἐπὶ τῶν καμήλων καὶ ἐλεφάντων. τὴν δὲ ψώραν τῶν προβάτων θεραπεύσεις ὄρῳ πλύνων, καὶ θεῖον μετ' ἐλαίου ἀλείφων.

(b) Κεδρίας-] *Reſpicias ad* Notas *noſtras in* Cap. *ſeptimum* Libri *decimi tertii.*

CAP. XVI.

De pediculari morbo. Ejuſdem.

SI pediculos aut ricinos habeant oves, aceris radices contundantur, & aqua addita coquantur, & poſtquam a capite uſque ad ſpinam lanam divulſeris, aqua iſta tepida infundatur, donec per totum corpus profluat. Quidam & cedria ſola utuntur. Alii mandragoræ radice ſimiliter utuntur. Cavendum autem, ne guſtent; periculum enim affert. Alii cyperi radicem decoquunt, & oves decocto lavant.

ΚΕΦ. ΙϚ.

Περὶ Φθειριάσεως. Τοῦ Αὐτοῦ.

ΕΑν φθεῖρας ἢ κρότωνας ἔχῃ, (1) σφενδάμνου ῥίζας κοπτέον, καὶ ὕδατι συνεμβληθέντι ἑψητέον, καὶ ἐπειδὰν ἀπὸ τῆς κεφαλῆς ἕως τῆς ῥάχεως τὸ ἔριον ἀναξάνῃς, ἐγχυτέον (2) τοῦτο χλιαρὸν, μέχρις ἂν δι' ὅλου τοῦ σώματος διέλθοι. Τινὲς καὶ ἐνταῦθα τῇ κεδρίᾳ μόνῃ χρῶνται. οἱ δὲ (a) μανδραγόρου ῥίζαν ποιοῦσι καθ' ὁμοιότητα. φυλακτέον δὲ, μὴ ἀπογεύσηται· κίνδυνον γὰρ φέρει. Οἱ δὲ κυπείρου ῥίζαν ἀφεψοῦσι, καὶ λούουσι τῷ ἀφεψήματι.

(1) *Ita legend. ante* σφενδάμνου .... ἐμβληθέντι. (2) *Ex MSS. &* Interp. *prius,* τὸ τοιοῦτον ὕδωρ———.

(a) Μανδραγόρου-] *Duo Mandragoræ genera deſcribunt* Dioſcorides *&* Plinius; *Quibuſdam* Ἀντίμηλον, *Aliis* Διρκαία *vel* Κιρκαία *vocatur. Candidus, mas; niger, fœmina, foliis anguſtioribus quam lactucæ, caulibus hirſutis, radicibus binis terniſve rufulis, intus albis, carnoſis teneriſque, pene cubitalibus. Albus, mas; quem alii* Μώριον, *alii* Ἱππόφλομον *vocant, foliis albis, quam alterius latioribus. Ferunt mala nucum avellanarum magnitudine, & in his ſemen ceu pyrorum.* Dioſcoridis *mandragoras nullum habet caulem, contra* Theophraſti *fidem, cujus mandragoras* Anguillara *judice* (inquit Harduinus) *alius non eſt a lethali ſolano, quod* Paduæ Bella Donna, *alibi apud* Italos Solatro maggiore *nuncupatur. A* Pythagora *mandragoras* Ἀνθρωπόμορφος *vocatur, quod radices humano modo ſint divaricatæ; &* Columella *in* Hortulo *canit*: " Quamvis ſemihominis veſano gramine fœta " Mandragoræ pariat flores,.... *Hinc ortum ſuum traxere ridicula iſta commenta, & aniles nugæ, de mare & fœmina in mandragora expreſſis, quæ Vulgi nimium creduli mentibus jamdiu inſederunt. Vid.* Dioſcor. *Lib.* 4. *Cap.* 76. Plinium *Lib. XXV. Sect.* 94. Theophr. *H. P. Lib.* 6. *Cap.* 2. Bodæum *a* Stapel, *&* Leon. Allat. *in* Euſtath. *pag.* 56. *Occurrit etiam (philtri loco exhibitus) in* Geneſeos *libro,* Cap. 30. Com. 14. *ubi* LXX. *&* Joſephus *habent* μῆλα μανδραγορῶν, *quod fructus malis figura non ſint diſſimiles. Plura volenti adeundus Doctiſſ.* Druſii *comment. in locum.*

ΚΕΦ.

ΚΕΦ. ΙΖ.

Περὶ διαφόρων νοσημάτων. Ἀνατολίου.

Ἐὰν ἥλιος ἐγκαύσας βλάψῃ τὰ πρόβατα, καὶ πίπτῃ συνεχῶς καὶ μὴ ἐσθίῃ, σεύτλου ἀγρίου τὸν χυλὸν ἐκθλιπτέον καὶ ἐγχυματιστέον· ἀναγκαστέον δὲ καὶ (1) οἷα σεῦτλα ἐσθίειν. Ἐὰν δὲ (a) δύσπνοιαν ἔχῃ, τὰ ὦτα σιδήρῳ τμητέον, καὶ μεταβακτέον αὐτὰ εἰς ἄλλους τόπους. Ἐὰν βήσσῃ, ἀμυγδαλὰς καθαρισθείσας καὶ κοπείσας, καὶ οἴνου κυάθοις τρισὶ μιχθείσας, διὰ τῆς ῥινὸς ἐγχυτέον. Ἐὰν δὲ ἐκ βλαβερωτέρας νομῆς διοιδήσῃ τὴν κοιλίαν, αἵματος ἀφαιρέσει θεραπεύσεις αὐτά, ἀμυχθεισῶν τῶν ἐπάνω τοῦ χείλους φλεβῶν, καὶ τῶν ὑπὸ τὴν οὐρὰν παρὰ τὴν ἕδραν· ἀλλὰ καὶ ἐγχυτέον οὔρου ἀνθρωπίνου κοτύλην α΄. ς. Ἐὰν δὲ καὶ σκώληκας σὺν τῇ χλόῃ φάγῃ, τὸ αὐτὸ ποιητέον. Ἐὰν δὲ βδέλλαν ἔχῃ, ὄξος δριμὺ θερμὸν ἢ ἔλαιον ἐγχυτέον. Ἐὰν δὲ ἀπόστημα ἐν τῇ ἐπιφανείᾳ σχῇ, διαιρετέον, καὶ εἰς τὸ τραῦμα πεφρυγμένους ἅλας λεπτοὺς μετὰ πίσσης ὑγρᾶς ἐπιθετέον. Ἐὰν δὲ ὑπό τινος ἑρπετοῦ δηχθῇ ἢ τυφθῇ, μελάνθιον σὺν οἴνῳ δοτέον, καὶ ὅσα ἐπὶ τῶν βοῶν καὶ τῶν λοιπῶν προείπομεν ποιητέον, καὶ παραβλητέον. Λύκοι δὲ θρέμμασιν οὐκ ἐπελεύσονται, εἰ σκίλλαν τῷ ὁδηγῷ καλουμένῳ περιάψῃς.

CAP. XVII.

De morbis diverſis. Anatolii.

SI ſolis ardor oves læſerit, cadantque aſſidue & non edant, betæ ſylveſtris ſuccus exprimatur & infundatur: Coganturque etiam ipſas betas edere. Si difficilem habeant reſpirationem, aures ferro incidantur, & in alios locos transferantur. Si tuſſis vexet, amygdalæ purgatæ & tuſæ, vinique cyathis tribus mixtæ, per nares infundantur. Si ex nocentiore pabulo venter intumeſcat, ſanguinis detractione curabis ipſas, lancinatis & apertis ſupra labra venis, & iis quæ ſub cauda ſunt juxta ſedem; ſed & humanæ urinæ heminam & dimidium infundere oportet. Si vermes cum herba comederint, idem faciendum eſt. Si hirudinem deglutiverint, acetum acre calidum aut oleum infundatur. Si abſceſſum manifeſtum habeant, incidatur, & vulneri ſal minutus torrefactus cum pice liquida imponatur. Si a reptili quopiam morſæ ſint aut ictæ, melanthium cum vino porrigatur, fiantque & objiciantur ea, quæ de bubus & reliquis ante diximus. Lupi pecora non invadent, ſi ſcillam ei, qui dux gregis appellatur, alligaveris.

(1) *Legend.* αὐτὰ *cum* Interp. *Vel* οἷα, *aut* τά.

(a) Δύσπνοιαν ἔχῃ] Colum. *p.* 263. "*Suſpirioſe laborantibus, auriculæ ferro reſcindendæ, mutandæque regiones, quod in omnibus morbis ac peſtibus fieri debere cenſemus.*"

KΕΦ.

CAP. XVIII.

De caprarum gregibus. Berytii.

CUram caprarum eandem agimus, quam ovium, tum in nutricatu, tum in morbis. Quod vero proprium ipſis eſt, non videtur prætermittendum: Non enim velut oves ſimul paſcuntur, ſed maxime ab invicem diſcedentes ſaltanteſque ac laſcivientes late paſcua perſequuntur; & præruptis locis gaudent. Quod vero plus ſenſus & intellectus habeat capra, quam reliqua bruta animalia, vel ex hoc maxime oſtenditur; quod ubi oculos hebetes ac obtuſos ſibi eſſe percipiat, in juncos acutos ingreditur, & ſeipſam illorum ſtimulis pungit.

ΚΕΦ. ΙΗ.

Περὶ αἰπολίων. Βηρυτίου.

Ἐπιμέλειαν τῶν αἰγῶν, ἥνπερ καὶ τῶν προβάτων, ποιησόμεθα τὴν αὐτήν, ἔν τε τῇ τροφῇ καὶ ταῖς νόσοις. ὃ δὲ (1) ἐστιν ἰδιάζον ἐπ' αὐτοῖς οὐ παραλειπτέον· οὐ γάρ, ὥσπερ τὰ πρόβατα, σύννομά ἐστιν ἀλλήλοις [(2) οὕτω καὶ] ταῦτα, ἀλλὰ νέμεται μάλιστα ἀποσκιρτῶντα καὶ ἀποπηδῶντα ἀλλήλων πλατείᾳ νομῇ, καὶ κατακρήμνοις χαίρουσι χωρίοις. Ὅτι δὲ πλείονα τῶν ἄλλων ἀλόγων ζώων ἔχει τὴν αἴσθησιν ἡ αἴξ, ἐντεῦθεν μάλιστα δείκνυται· ὅταν γὰρ τοὺς ὀφθαλμοὺς (a) ἀμβλυώσῃ, εἰς τὰς (3) ὀξυσχοίνους εἰσέρχεται, καὶ ἑαυτὴν παρακεντεῖ.

(1) *Emend. & ſupplevi ex MSS prius* ἐστιν διάζον ἐπ' αὐταῖς παραλ. Αὐτοῖς *referend. ad* αἰπολίοις. (2) *Hæc redundant: ſupplevi autem & emend. ex MS.* Bar. *prius* ταῦτα. νέμεται δὲ μάλιστα.

(a) Ἀμβλυώσῃ-] *Ita* Plinius *Tom.* 2. *p.* 235. " *Oculos ſuffuſos capra* " *junci punctu ſanguine exonerat; caper, rubi.*

(3) *Emend. ex MSS.* V. & Bar. *pr. Ed.* ὀξυχίνους.

CAP. XIX.

Caſei faciendi ratio. Ejuſdem.

PLerique caſeos coagulant, quod primum aliqui ὀῤῥὸν vocant, plurimi autem ex agricolis πιτύαν ipſum nominant: Præſtat ex hædis. Sal etiam torrefactus lac coagulat, & fici ſuccus, & teneri ipſius ramuli aut folia, & pili qui in verticulis cinaræ enaſcuntur, qui inepti ſunt ad cibum, & piper, & domeſticæ gallinæ pellicula, quæ in-

ΚΕΦ. ΙΘ.

Περὶ τυροποιίας. Τοῦ Αὐτοῦ.

Οἱ πολλοὶ πήσσουσι τοὺς τυρούς, ὃ πρῶτόν τινες ὀῤῥὸν καλοῦσιν, οἱ δὲ πλεῖστοι τῶν γεωργῶν πιτύαν αὐτὸ ὀνομάζουσι· κάλλιον δέ ἐστιν ἀπὸ τῶν ἐρίφων. καὶ ἅλες δὲ φρυκτοὶ (a) πήσσουσι γάλα, καὶ συκῆς ὀπός, καὶ ἁπαλὰ αὐτῆς κλωνία ἢ φύλλα, καὶ τῆς κινάρας αἱ ἐν τοῖς σπονδύλοις ἐκφυόμεναι τρίχες, αἱ πρὸς βρῶσιν ἀνεπιτήδειαι, καὶ πέπερι, καὶ τῆς ἐνοικιδίου

(a) Πήσσουσι γάλα-] Colum. *p.* 267. " *Lac plerumque cogitur agni aut* " *hœdi coagulo, quamvis poſſit & agreſtis cardui flore conduci, & ſeminibus* " *gneti, nec minus ficulneo lacte, quod emittit, ſi virentem ejus ſaucies cor-* " *ticem. Haud aliter* Varro *Lib.* 2. *Cap.* XI. *De Caſeorum generibus vid.* Plin. *Tom.* 2.

ὄρνιθος

ὄρνιθος ὁ ἐχῖνος, ὃς ἔνδοθεν τῆς κοιλίας ἀπόκειται τῇ κόπρῳ. (1) ὡς φλοιὸς νεμηθέντα τὰ θρέμματα στρυφνὸν καὶ κάλλιον γάλα ποιήσει, καὶ πολλῷ μᾶλλον, εἰ κύτισον. Τὸ γάλα μένει ἐπὶ ἡμέρας γ'. ἐὰν πρὸ μιᾶς τοῦ μετακομίζειν ἐγχέας εἰς ἀγγεῖον καὶ ζέσας μεταχέῃς εἰς ἄλλο, κινήσῃς τε νάρθηκι, ἢ καλάμῳ, μέχρις ἂν ψυγείη. (2) Ὀλίγους τε ἅλας ἐὰν ἐπιπάσῃς τυρῷ, ἁπαλὸς μένει ἐπὶ πλέον, (b) κνίκου σπέρματος ὕδατι χλιαρῷ (3) ἀναληφθέντος, ἢ καὶ μετὰ μέλιτος (4) χλιαροῦ ἐμβληθέντος. Τυρὸς (5) δὲ μένει πλυθεὶς ὕδατι ποτίμῳ καὶ ξηρανθεὶς ἐν ἡλίῳ, ἐν κεραμεοῖς τε συντεθεὶς μετὰ (6) θύμβρας ἢ θύμου, κεχωρισμένων ἀπ' ἀλλήλων κατὰ τὸ δυνατὸν τῶν τυρῶν, ἔπειτα ὄξους γλυκέος ἢ ὀξυμέλιτος ἐπιχυθέντος, ἕως τὸ ὑγρὸν (7) διὰ παντὸς χωρῆσαν ὑπερέχῃ. Τινὲς δὲ τυρὸν εἰς θαλάσσιον ὕδωρ βαλόντες διαφυλάττουσι. λευκὸς δὲ διαμένει ὁ τυρὸς εἰς ἅλμην ἐμβληθείς· στερρότερος δὲ καὶ δριμύτερος ὑπὲρ καπνοῦ τιθέμενος. δοκεῖ δὲ πᾶς τυρὸς, εἰ εἰς ὄσπριον, καὶ μάλιστα λάθυρον ἢ πίσον, ἐμβληθείη, μονιμώτερος γίνεσθαι. ἐὰν δὲ, διὰ τὸ παλαιὸν γενέσθαι, σκληρὸς ἢ πικρὸς ᾖ, διαβρεκτέον αὐτὸν τῇ ὠμῇ λύσει, (ἔστι δὲ ὠμὴ λύσις τὸ ἄλευρον, τὸ ἀπὸ τῶν κριθῶν μὴ πεφρυγμένων γινόμενον) καὶ τῷ ὕδατι (8) τὸν τυρὸν ἐνθετέον, εἶτα τὸ ἐπιπολάζον ἀφαιρετέον.

tra ventriculum ſtercori deſtinata eſt. Salicis cortice paſta pecora acerbum & præſtantius lac reddunt, & multo magis cytiſi pabulo ſaturata. Durat lac ad triduum, ſi, pridie quam reponas, in vas infuſum ac fervefactum rurſus in aliud tranſfuderis, & ferula aut arundine agitaveris, donec frigefiat. Modicumque ſalem ſi inſperſeris, tener & mollis diutius manet caſeus, cnici etiam ſemine aqua tepida excepto, aut eodem cum melle tepido adjecto. Perdurat vero integer aqua potabili lotus, & a ſole ſiccatus, & in fictilibus compoſitus cum thymbra aut thymo, ſeparatis ab invicem quantum fieri poteſt caſeis, deinde aceto dulci aut aceto mulſo affuſo, donec liquor per omnes penetrans ſupereminea. Quidam caſeum in aquam marinam conjectum aſſervant. Albus manet caſeus in muriam injectus: ſolidior vero & acrior ſuper fumum poſitus. Videtur autem omnis caſeus, ſi in legumen, & maxime cicerculam aut piſum, conjiciatur, durabilior fieri. Si vero ob vetuſtatem durus aut amarus ſit, in omelyſi permadeſcat, (eſt autem ὠμὴ λύσις farina ex hordeo non torrefacto) deinde in aquam caſeus mittatur, & poſtea quod in ſuperficie innatat tollatur.

(1) *Legend. cum* Interp. Ἰτέας φλοιὸν νεμ. ---. *MSS. ut in textu.* (2) *Totum hunc locum refinxi ex MSS. In pr. Ed. male,* —— ψυγείη, ὀλίγους ἅλας ἐπιπάσσων. τυρὸς ἁπαλὸς ---.

(b) Κνίκου-] *De Cnico* Dioſcor. *Lib.* 4. *Cap.* 190. Κνίκος φύλλα ἔχει ἐπιμήκη, ἐντετμημένα, τραχέα, ἀκανθώδη· Καυλοὺς δὲ πηχυαίους, ἐφ' ὧν κεφαλὴν κατὰ μέγεθος ἐλαίας· ἄνθος κρόκῳ ὅμοιον· σπέρμα λευκὸν καὶ πυῤῥὸν, ἐπιμήκες, καὶ γεγωνιωμένον..... πήσσει γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυτικώτερον ποιεῖ. *Plura vid. apud* Plin. *Lib.* 21. *Cap.* 16. *Obiter autem laudatus* Columellæ *locus emendandus eſt, ex* Noſtro, *& pro* gneti *legendum* cnici.

(3) *Hanc vocem revoc. ex MSS.* (4) *Præced. voc.* ὁμοίως *delevi, auctor. MSS.* (5) *Sic MSS. ante* διαμένει. (6) *Ita* Caſaub. *& MSS.* Bar. *&* Eton. *prius* θύμβρων. (7) *Supplevi & Emend. ex MSS. pr. Ed.* ὑγρὸν χωρῆσαν ὑπερέχει. (8) *Ita* Bar. *&* Interp. *antea* γύρον.

CAP.

CAP. XX.

De probatione lactis. Ejuſdem.

LAc probabis, an aquam habeat, junco acuto immiſſo & extracto, lacteque ungui inſtillato. Si enim cito ab ipſo defluxerit, aquam admixtam habet; ſi vero in ungue permanſerit, purum eſt.

(1) *Ex MSS. prius* ὀξύχινον.

ΚΕΦ. Κ.

Περὶ δοκιμασίας γάλακτος. Τοῦ Αὐτοῦ.

ΓΑλα δοκιμάσεις, εἰ ὕδωρ ἔχει, (1) ὀξύσχοινον καθεὶς καὶ ἀνασπάσας, καὶ τῷ ὄνυχι ἐπιστάξας. ἐὰν μὲν γὰρ ταχέως ἀπ' αὐτοῦ ἀποῤῥεύσῃ, ὕδατι μέμικται· ἐὰν δὲ ἐπιμένῃ, ἀκέραιόν ἐστιν.

CAP. XXI.

Melcæ præparatio compendiaria. Paxami.

PRæparatio melcæ extemporalis & præſtantior fiet, ſi in fictilia vaſa nova acetum acre injeceris, poſuerisque ipſa in calidum cinerem, aut lentum ignem, id eſt, prunarum ſtruem; & ubi paululum deferbuerit acetum, ne a vaſculis combibatur, vaſa de prunis detraxeris, & in eadem vaſcula lac miſeris, atque ipſa in arcula, aut ciſta, ubi immota maneant, repoſueris: ſequenti enim die melcas multo præſtantiores habebis iis, quæ multa arte parantur. Vaſcula tamen, poſtquam ſemel aut iterum ipſis uſus fueris, permuta.

ΚΕΦ. ΚΑ.

Μέλκης σκευασία σύντομος. (1) Παξάμου.

Ἡ Καλουμένη (a) μέλκη αὐτοσχέδιος καὶ καλλίων ἔσται, εἰ κεραμείοις ἀγγείοις καινοῖς ὄξος ἐμβάλῃς δριμὺ, καὶ ἐπιθῇς αὐτὰ θερμοσποδιᾷ, ἢ πυρὶ μαλθακῷ, τουτέστιν ἐπ' ἀνθρακιάν· καὶ ἐπὰν ὀλίγον ἀναζέσῃ τὸ ὄξος, ἑλκύσας ἀπὸ τῆς ἀνθρακιᾶς, ἵνα μὴ ἀπὸ τῶν σκευαρίων ἀναποθῇ, βάλλε γάλα εἰς τὰ αὐτὰ σκευάρια, καὶ θὲς αὐτὰ εἰς κιβωτάριον, ἢ (2) ἀρμάριον, ἢ ἔνθα ἂν ἀκίνητα μείνῃ· καὶ τῇ ὑστεραίᾳ ἕξεις πολλῷ καλλίους μέλκας τῶν πολλῇ τέχνῃ κατασκευαζομένων. τὰ μέντοι σκευάρια μετὰ πρώτην ἢ δευτέραν χρῆσιν ἄλλασσε.

(1) *MSS. non agnoſcunt.*

(a) Μέλκη·] " Μέλκα *vel* μέλκη (inquit H. Steph.) *Paulo Æginetæ* " *definitur* ὄψον τι διὰ γάλακτος, *itidemque Galeno* ἐν τῷ ἐν Ῥώμῃ εὐδοκιμούντων ἐδεσμάτων, *ut &* τὸ ἀφρόγαλα, *æſtate præcipue comedi ſoli-* " *tum, ſtomachi refrigerandi cauſa.* Alexander Trallianus *diſerte ſcribit, vocem* Latinam *eſſe* Lib. 7. Cap. 7. Καὶ ποῦσκα, καὶ ὀξύγαλα, καὶ ἡ καλουμένη Ῥωμαίοις Μέλκα.

(2) *Emend. ex MS.* Barocc. *&* Meurſii *Gloſſario; qui laudat* Baſilic. *Eclog. XLIV.* ---Κάψαι, καὶ ἀρμάρια, τὰ μὴ ἔνεκεν βίβλων, ἢ ἐσθῆτος, ἢ ὅπλων εὐτρεπισθέντα. Meurſio *autem ſuccinit* Du Freſne *in* Gloſſario. *In pr.* Edit. μαρμάριον.

ΒΙΒΛΙΟΝ ΙΘ'.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ ΙΘ'.

Τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ, ἐννεαδεκάτῃ μὲν οὔσῃ τῶν περὶ Γεωργίας ἐκλογῶν, περιεχούσῃ δὲ σύνταξιν περὶ θεραπείας κυνῶν καὶ ἐπιμελείας, καὶ περὶ λαγωῶν καὶ ἐλάφων, καὶ χοίρων, καὶ περὶ ταριχείας κρεῶν.

LIBER XIX.

ARGUMENTUM LIB. XIX.

HÆC inſunt in hoc libro, qui decimus nonus eſt ſelectarum de Agricultura præceptionum, & continet tractatum de cura ac ſtudio circa canes adhibendo, & de leporibus ac cervis, & de ſuibus, & de ſaliendis carnibus.

ΚΕΦ. Α.

Περὶ κυνῶν. Βάῤῥωνος.

ἘΠΙΣΤΗΣΟΜΕΝ τοῖς θρέμμασι φύλακας καὶ τῶν κυνῶν τοὺς εὐγενεῖς· οὐκ ἄγνωστοι δὲ οὗτοι, (a) μεγάλοι μὲν ὄντες τὰ σώματα, ἰσχυροὶ δὲ τὴν ἀλκὴν, καὶ τὰ φρονήματα οὐ ταπεινοὶ, βαρείᾳ τῇ ὑλακῇ καὶ καταπληκτικῇ χρώμενοι, καὶ, ἐν τῷ προσελθεῖν τινα, ταῖς ὁρμαῖς μὴ μάτην μηδὲ εἰκῇ κινούμενοι, ἀλλὰ ταμιευόμενοι ποῦ χρὴ ἐφορμᾶν. ἰσχυρότεροι γὰρ καὶ δυσαλωτότεροι οἱ τοιοῦτοί εἰσι. Φυλακτέον δὲ τοὺς τῶν (1) ποιμνίων φύλακας κύνας, ὠμὴν βύρσαν τοῖς τραχήλοις αὐτῶν περιθέντας, καὶ τὸν λαιμὸν καὶ πᾶσαν τὴν φάρυγγα ἀσφαλιζομένους, κέντρα τε σιδηρᾶ ἀπ' αὐτῆς ἀναστήσαντας. τούτων γάρ τι τῶν μερῶν εἰ θηρίον ἅψαιτο, ἀναιρήσει τὸν κύνα· ἐὰν δέ τι ἕτερον μέρος (2) δάκῃ, τραῦμα ποιήσει μόνον. Δεῖ δὲ ἰσάζειν τὴν φύσιν καὶ τὴν ἡλικίαν τοῦ τε ἄρρενος, καὶ τῆς θηλείας, φυλάττεσθαι δὲ, μή ποτε οἱ ἐκ τῆς αὐτῆς μητρὸς ὄντες κύνες τῇ πρὸς ἀλλήλους μίξει χρήσαιντο. Θρέψομεν δὲ τὰς κυούσας οὐ σιτίνοις, ἀλλὰ κριθίνοις ἄρτοις·

CAP. I.

De canibus. Varronis.

PEcoribus cuſtodes adhibebimus etiam canes generoſiores: Hi autem dignoſci queant; habent enim corpora magna, robore autem validi ſunt, & nihil humile ſpirant, latratu gravi & terribili, &, ſi quis accedat, non fruſtra neque temerario impetu concitantur, ſed deliberant ubi impetum facere oporteat. Fortiores enim ſunt tales, & ægre vinci poſſunt. Conſervandi autem ſunt paſtorales canes, crudo corio collis ipſorum circumdato, guttureque ac faucibus munitis, & ferrei aculei ab ipſo exurgant. Si enim aliqua harum partium a beſtia impetente lædatur, canis occidetur; ſi vero aliam quampiam partem momorderit, vulnus ſolum faciet. Oportet autem adæquare naturam ac ætatem & maſculi, & fœminæ, & cavere, ne canes ex eadem matre prognati invicem coeant. Prægnantes nutriemus non frumentaceis, ſed hordeaceis pa-

(a) Μεγάλοι... τὰ σώματα-] *Ita* Colum. *p.* 275. "*Canis eligendus eſt* "*ampliſſimi corporis, vaſti latratus canorique, ut prius auditu maleficum,* "*deinde etiam conſpectu terreat,*---.

(1) *MSS. habent* ποιμένων. (2) *Emend. ex MSS. antea* δηχθῇ.

nibus:

nibus: hi enim maxime nutriunt. Oſſa quoque ovium exuta carne objiciemus, ſed cocta, ut eorum medulla temperet ac pingue faciat ipſum jus; quod etiam pani comminuto infundentes, rurſuſque comminuentes apponemus. Ubi autem pepererint, farinam hordeaceam lacte bubulo aut caprino mixtam eis apponemus, & oſſa (ut diximus) cocta. Potus vero ſit aqua. Cæterum catulis recens editis opem feremus; non enim eis ſufficit matris papilla, ſed panem lacte bubulo & oſſium juſculo maceratos in cibum offeramus. Quin & ipſa oſſa eis apponenda ſunt, ut & firmos reddant & exacuant dentes.

θρεπτικώτατοι γάρ εἰσιν (3) οὗτοι. καὶ ὀστᾶ προβάτων ἄνευ τῆς σαρκὸς (4) ἑψήσαντες παραθήσομεν, ἵνα ὁ ἐκ τῶν ὀστέων μυελὸς κεράσῃ καὶ λιπαρὸν τὸν ζωμὸν ἀπεργάσηται, ὃν κατὰ τῶν ἄρτων θρυφθέντων ἐπιχέαντες, καὶ πάλιν ἐνθρύψαντες παραθήσομεν. Τεκούσαις δὲ ταύταις ἄλευρα κρίθινα γάλακτι βοὸς ἢ αἰγὸς μίξαντες παραθήσομεν, καὶ τῶν ὀστῶν, ὡς προείρηται, ἑψηθέντων. ἔστω ποτὸν τὸ ὕδωρ. Τοῖς δὲ νεογνοῖς σκύλαξι βοηθήσομεν· οὐ γὰρ ἀρκεῖ ἡ ἀπὸ τῆς μητρὸς θηλή, ἀλλὰ προσενέγκωμεν φαγεῖν (b) ἄρτους, γάλακτι βοείῳ καὶ τῷ ἀπὸ τῶν (c) ὀστῶν ζωμῷ βρέξαντες. παραθετέον δὲ αὐτοῖς καὶ τὰ ὀστᾶ, ἵνα στερεοποιῶσιν ἅμα καὶ ὀξύνωσι τοὺς ὀδόντας.

(3) *Ita MSS. prius,* οἱ τοιοῦτοι. (4) *Hanc vocem revocavi ex MSS.* Eton. *&* F. *ſuadente etiam* Noſtro *infra* ---- τῶν ὀστῶν, ὡς προείρηται, ἑψηθέντων.

(b) *Sic etiam Catulos alendos ſuadet* Nemeſianus *in* Cyneget. *Vs.* 161, 2, 3. " Interdumque cibo Cererem cum lacte miniſtra, " Fortibus ut ſuccis teneras complere medullas " Poſſint, & validas jam tunc promittere vires.

(c) Ὀστῶν ζωμῷ-] M. Varro *Lib.* 2. *Cap.* 9. " *Dant etiam jus ex* " *oſſibus, & ea ipſa oſſa contuſa: dentes enim faciunt firmiores, & os ma-* " *gis patulum.*

CAP. II.

Aliud de canibus. Frontonis.

EX canibus probantur, mares quidem qui auribus ſunt promiſſis, ac corporis mole magna, o-

ΚΕΦ. Β.

Ἄλλο περὶ κυνῶν. Φρόντωνος.

(a) ΤΩν κυνῶν ἐγκρίνουσι, τῶν μὲν ἀρρένων τοὺς μεγαλοφυεῖς τοῖς ὠσὶ καὶ τοῖς ὄγκοις, (1) μελα-

(a) Τῶν κυνῶν ἐγκρίνουσι,-] *Hæc pene* αὐτολεξεὶ *habet* Varro *Lib.* 2. *Cap.* 9. " *Canes debent eſſe facie formoſi, magnitudine ampla, oculis nigrantibus* " *aut ravis, naribus congruentibus, labris ſubnigris aut rubicundis,....acutos dentes habeant, labro tectos: capitibus & auriculis magnis & flaccis: craſſis cervicibus ac collo; internodiis articulorum longis; cruribus* " *rectis, & potius varis quam vatiis; pedibus magnis & altis, qui ingredienti diſplodantur; digitis diſcretis; unguibus duris & curvis,....ſpina* " *neque eminula nec curva; cauda craſſa; latratu gravi; hiatu magno;* " *Colore potiſſimum albo, quòd in tenebris ſpecie leonina. Huic ſuffragatur* Columella *Lib.* 7. *Cap.* 12.

(1) *MSS.* F. L. *&* Bod. μεγαλοφθάλμους, *ſed* Varro *&* Colum. *ut in textu.*

νοφθάλμους,

νοφθάλμους, μυκτῆρα ὁμόχροιον ἔχοντας, χείλη μελανοῦντα ἢ ὑπέρυθρα, καὶ ὀδόντας ὀξεῖς, (2) μεγαλοκεφάλους, πλατυστέρνους, μακροκώλους, βραχίονας στερεοὺς καὶ παχεῖς ἔχοντας, σκέλη ὀρθὰ, εἰ δὲ μὴ, σκαμβότερα μᾶλλον ἢ (3) βλαισὰ, πόδας μεγάλους, ἐν δὲ τῷ ἐπιβαίνειν πλατυνομένους, δακτύλους διηρθρωμένους, ῥάχιν εὐθεῖαν ἕως τῆς οὐρᾶς· τὴν δὲ οὐρὰν παχεῖαν, ἀπὸ τῆς ἐκφύσεως μειουρίζουσαν ὅλην, ὕλαγμα ἔχοντας βαρύτατον, χρώμασι λευκοὺς, καὶ μάλιστα τοὺς ἀκολουθοῦντας τοῖς ποιμνίοις, χαροποὺς τοῖς ὄμμασι, καὶ λεοντοειδεῖς, ἄν τε δασεῖς τυγχάνωσιν ὄντες, ἄν τε ψιλοί. ἐγκρίνουσι δὲ καὶ τοὺς μέγα τὸ χάσμα ἔχοντας, ὁμοίως δὲ καὶ τοὺς πολυαύχενας, καὶ (4) παχυτραχήλους. (Μάθε δὲ, ὅτι ἡ προσηγορία τοῦ τραχήλου (5) ὅλην κύκλῳ τὴν περιοχὴν τοῦ τραχήλου δηλοῖ. αὐχὴν δέ ἐστιν ἐπὶ μὲν τῶν ἀνθρώπων τὸ ὀπίσω μέρος τοῦ τραχήλου· ὀρθὸς γὰρ ἵσταται ὁ ἄνθρωπος· ἐπὶ δὲ τῶν ζώων τὸ ἄνω μέρος· κέκυφε γὰρ τὰ ζῶα. ὅταν δὲ ἀκούσῃς δειρὴν, ἐπὶ μὲν τῶν ἀνθρώπων νόει τὸ ἔμπροσθεν μέρος, ἐπὶ δὲ τῶν ζώων, τὸ ὑποκάτω (6) μέρος τοῦ τραχήλου.) Τῶν δὲ θηλειῶν δοκιμάζουσι τὰς κεκοσμημένας τοῖς προειρημένοις πλεονεκτήμασι· προσέτι δὲ καὶ μεγαλομάστους, τάς τε ἐπ' αὐτῶν θηλὰς ἰσομεγέθεις ἐχούσας. εἰσὶ γάρ τινες κύνες ἀτρόφους αὐτὰς καὶ ἀπεξυλωμένας ἔχουσαι, ἐάν τε δασὺ, ἐάν τε ψιλὸν ᾖ τὸ σῶμα. δοκεῖ δὲ ἡ δασύτης ἱκανὴν κατάπληξιν ἐμποιεῖν. Βιβάζειν δὲ χρὴ ἔαρος ἀρχομένου, ὅπως ὁ το-

culos nigros & naſum concolorem habentes, labra nigricantia aut ſubrubentia, & dentes acutos, caput magnum, pectus latum, artus longos, armos firmos & craſſos habentes, crura recta, ſin minus, vara magis quam vatia, pedes magnos, & qui inter eundum diſplodantur, digitos in articulos probe diſcretos, ungues incurvatos, ſpinam rectam uſque ad caudam: Caudam vero craſſam, eamque a radice paulatim in acutum deſinentem habentes, & qui latratum graviſſimum edunt, coloris albi, maxime qui ovium greges ſequuntur, oculis ravis, & leonini adſpectus, ſive pilis hirti ſint, ſive nudi. Probantur item, qui magnum oris rictum habent; ſimiliter & qui cervicem amplam, & collum latum. (Diſce autem τραχήλου appellatione totum ambitum colli circumcirca indigitari. Αὐχὴν autem eſt in homine quidem poſterior pars colli; erectus enim ſtat homo: In animalibus vero ſuperior; prona enim animalia incedunt. Quum autem δειρὴν vocem audieris, in hominibus quidem anteriorem colli partem intellige, in animalibus autem, inferiorem.) At vero fœminas canes præferunt, quæ prædictis inſignibus ſunt ornatæ; inſuperque magnas mammas habentes, & papillas pari magnitudine. Sunt enim aliquæ canes, quæ ipſas marcidas & inſtar ligni induratas habent, ſive hirtum, ſive nudum ſit corpus. Videtur autem hirſutia multum terroris incutere. Admiſſura facienda eſt ſub veris initium, quo partus cir-

(2) *Emend. ex MSS.* Bar. Eton. Varr. *&* Interp. *Prius* μελανοκεφάλους.

(3) *Revocavi hanc vocem, & ſupplevi lacunam, ex noſtris MSS. & pervetuſto Cod. in* Bibliotheca Medicæa, *a* Petro Victorio *laudato; in quibus omnibus exaratur* βλαισὰ, ---. *Vid.* Notam *primam.* (4) *MSS. &* Interp. πλατυτραχήλους· *ſed* Varro *ut in textu.* (5) *Ita rectius* Caſaub. *& MSS. ante,* ὅλως. (6) *Revocavi ex MSS.*

ca

ca ſolſtitium æſtivum in lucem emittatur; geſtat enim canis fœtum menſes tres. Statim vero ut editi ſunt catuli, degeneres, aut alias labem aliquam habentes, abjiciantur; & ex ſeptem relinquendi ſunt tres aut quatuor, ex tribus vero, duo. Subſternunt ipſis paleas, ut molliter cubent, & concalefiant; frigus enim & hoc animal ægre fert. Suſpicere & oculos aperire videntur catuli octavo die. Verum cum matribus ſinere ipſos per duos menſes oportet, deinde ſenſim ipſos deſuefacere. Illinunt porro catulos amygdala amara cum aqua trita circa aures, & inter digitos, ut neque muſcæ aſſideant, & ulcera faciant, neque ricini aut pediculi premant. Quin & plauſu ad pugnam mutuam eos incitant, & opprimi non ſinunt, ne timidi & formidoloſi evadant, ſed & audaces fiant in laboribus, & nunquam cedant. Vinculis præterea ipſos adſuefaciunt, primum quidem loro, deinde ſenſim ferro. Cæterum mortua pecora ipſos vorare non ſinunt, ne adſueſcant etiam viva impetere: ægre enim hunc morem dedoceri poſſunt, ubi ſemel crudas carnes voraverint. Simul educandi ſunt canes juxta cognationem; naturaliter enim mutuam opem ferunt. Oportet autem ad beſtiarum impetus, hyænarum ſcilicet & luporum, guttura ac colla ipſorum velut loricis quibuſdam ferreis contegere, qui cla-

κετὸς περὶ τροπὰς γένηται θερινάς· φέρει γὰρ ἡ κύων τὸ κυούμενον μῆνας γ'. Ἅμα δὲ τῷ τεκεῖν, χρὴ ἀποῤῥιπτεῖν τῶν σκυλάκων τοὺς ἀγεννεῖς, ἤ τι σίνος ἔχοντας. ἐκ μὲν τῶν ζ'. δεῖ καταλιμπάνειν γ'. ἢ δ'. ἐκ δὲ τῶν γ'. β'. στρωννύουσι δὲ αὐτοῖς ἄχυρα, ὥστε κοίτην μαλακὴν ἔχειν, καὶ συνθάλπεσθαι· δυσχείμερον (7) γάρ ἐστι καὶ τοῦτο τὸ ζῶον. Ἀναβλέπειν δὲ δοκοῦσιν οἱ σκύλακες ἐν ἡμέραις † κ'. δεῖ δὲ αὐτοὺς ἐᾷν μετὰ τῶν μητέρων διμῆνον, εἶτα ἀπεθίζειν ἐκ προσαγωγῆς. Περιχρίουσι δὲ τοὺς σκύλακας (b) ἀμυγδάλης πικρᾶς μετὰ ὕδατος τετριμμένης (8) περὶ τὰ ὦτα, καὶ τὰ μεταξὺ τῶν δακτύλων, ἵνα μήτε μυῖαι προσκαθίζωσιν ἑλκοποιοῦσαι, μήτε κρότωνες, ἢ φθεῖρες θλίβωσι. Καὶ (9) συγκροτοῦσιν εἰς μάχην πρὸς ἀλλήλους, καταβαρεῖσθαι δὲ οὐκ ἐῶσι, χάριν τοῦ μὴ δειλιᾷν, μηδὲ καταπτώσσειν, ἀλλὰ κατατολμᾷν ἐν τοῖς πόνοις, μηδὲ ὑπείκειν κατὰ μηδέν. Δεσμοῖς δὲ συνεθίζουσι, τὸ μὲν πρῶτον ἱμάντι, εἶτα κατὰ μέρος σιδήρῳ. Τῶν δὲ (c) ἀποθνησκόντων θρεμμάτων οὐκ ἐῶσιν ἅπτεσθαι, ἵνα μὴ (10) συνεθισθῶσι καὶ τοῖς ζῶσιν ἐπιτίθεσθαι· δυσμετάκλητοι γὰρ ἐκβαίνουσιν, ὅταν ἅπαξ ὠμοφαγήσωσι. Θρεπτέον δὲ τοὺς κύνας κατὰ συγγένειαν· (11) ἀμύνουσι γὰρ ἀλλήλοις φυσικῶς. Δεῖ δὲ, διὰ τὸ μὴ ἐπιτίθεσθαι αὐτοῖς θηρία, οἷον ὑαίνας καὶ λύκους, περισκέπειν αὐτῶν τοὺς λαιμοὺς καὶ τοὺς τραχήλους ὥσπερ

(7) *Ita MS.* Bar. *prius,* δέ. † *Malim cum* Interp. η'.

(b) Ἀμυγδάλης πικρᾶς-] *Ita* Colum. *p.* 278. " *Fere autem per æſtatem ſic muſcis aures canum exulcerantur, ſæpe ut totas amittant: quod ne fiat, amaris nucibus linendæ ſunt. Ita* Varro *loco citato.*

(8) *Ex MSS.* F. L. Bar. & Bod. *ante* παρά. (9) *Ita MSS. pr. Ed.* συγκροτῶσιν.

(c) Ἀποθνησκόντων θρεμμάτων-] Varro *loco cit.* " *Morticinæ ovis non patiuntur veſci carne, ne ducti ſapore minus ſe abſtineant.*

(10) *Reſtitui ope MSS. antea* συνεθιῶσι. (11) *Ita MSS. prius* ἀμμύουσι.

(d) θώραξι σεσιδηρωμένοις (12) καθηλωμένοις κέντροις δύο δακτύλοις ἀπ' ἀλλήλων διεστῶσιν. Εἰ δὲ θέλῃς κύνα μὴ φεύγειν, χρίσον (13) ἄρτον βουτύρῳ, καὶ δὸς αὐτῷ λείχειν· ἢ (e) καλάμῳ ὑγρῷ μέτρησον αὐτὸν ἀπὸ κεφαλῆς ἕως τῆς οὐρᾶς. Κύων δέ σοι ἀκολουθήσει, ἐὰν κυνὸς ἑτέρου (14) χόριον εἰς πανίον ἐνδήσας προσοσφρένῃς αὐτόν.

vos acutos, duorum digitorum ſpatio inter ſe diſtantes, infixos habeant. Quod ſi velis retinere canem, ut non aufugiat, butyrum pani illinito, eique lingendum dato: aut viridi arundine ipſum a capite uſque ad caudam metire. Sequetur autem te canis, ſi alîus canis ſecundas panniculo illigatas ipſi olfaciendas obtuleris.

(d) Θώραξι σεσιδηρωμένοις-] Varro *folio* 91. "*Ne vulnerentur a beſtiis, imponuntur his collaria, quæ vocantur malium, id eſt, cingulum circum collum ex corio firmo cum clavulis capitatis; quæ intra capita inſuitur pellis mollis, ne noceat collo duritia ferri.*

(12) *Præced. vocem* καὶ *delevi, auctor. MSS.* (13) *Emend. ex MS.* Barocc. *prius* αὐτὸν, *nullo cum ſenſu.*

(e) *Huic Loco lucem affert* Κυνοσοφίου Caput XLIII. Τὴν οὐρὰν κυνὸς μέτρησον καλάμῳ, καὶ κατὰ τὸ μέτρον τῆς οὐρᾶς τὸν κάλαμον κόψον, καὶ μικρόν τι τῆς οὐρᾶς καὶ τριχῶν ἐν τῷ καλάμῳ ἐναπόθου, καὶ στέγῃ ὑπόθες, καὶ οὐδέποτε ὁ κύων τῆς στέγης τῆς σῆς ὑποχωρήσει.

(14) *Emendavi ex MSS. In pr. Ed. peſſime* χωρίον (*quamvis ita ſcribatur apud* Hippocr. *de* Nat. Infantium) εἰς πανίον ἐνδύσας, προσοσφρ.

ΚΕΦ. Γ.

Περὶ θεραπείας κυνῶν. Θεομνήστου.

(1) Τὰς λυττώσας ἐγκατακλειστέον, καὶ τροφὴν οὐ δοτέον ἐπὶ μίαν ἡμέραν, εἶτα ἐλλεβόρου τι εἰς τὸ ποτὸν μικτέον, ὅταν δὲ καθαρθῶσι, κριθίνῳ ἄρτῳ θρεπτέον. ὁμοίως δὲ καὶ τοὺς δηχθέντας ὑπὸ λυττώντων κυνῶν θεραπεύσεις. Τὰς δὲ (a) ψύλλας διαφθερεῖς θαλαττίῳ ὕδατι καὶ ἅλμῃ, ἔπειτα ἀλείψας (b) κυπρίνῳ

CAP. III.

De cura canum. Theomneſti.

Rabidi canes concludantur, cibuſque non porrigatur ad diem unum, deinde veratri modicum in potu miſceatur; cum autem fuerint purgati, hordeaceo pane nutriantur. Eodem modo etiam morſos a rabioſis canibus curabis. Pulices caninos perdes aqua marina & muria, deinde cyprino illito cum

(1) *In MS.* Bar. Κύνας νοσοῦντας κατακλειστέον---.

(a) Ψύλλας διαφθερεῖς-] Colum. *p.* 278. "*Pulicoſæ cani remedia ſunt: ſume cyminum tritum pari pondere, cum veratro, aquaque miſtum & illitum, ſeu cucumeris anguinei ſuccum; vel ſi hæc non ſunt, vetus amurca per totum corpus infuſa.*

(b) Κυπρίνῳ-] "*Cyprinum oleum* (inquit Plinius) *ex cypro fit, omphacio, cardamomo, calamo, aſpalatho, abrotono. Aliqui addunt myrrham & panacem.* Κύπρινον δὲ (Athenæi verba) προκέκριται τὸ ἐν Αἰγύπτῳ· δεύτερον δέ ἐστι τὸ Κυπριακὸν, καὶ τὸ ἐν Φοινίκῃ, καὶ ταύτης τὸ ἀπὸ Σιδῶνος. *Longam Cyprini olei conficiendi methodum tradunt* Dioſcor. Paulus Ægineta *&* Ætius, *ſed a* Dioſcoridea *diverſam. Vid.* Athenæum *p.* 688.

veratro

veratro aquaque & cumino & uva acerba; aut cucumeris radice illita cum aqua. Præſtat autem amurca corpus illinere; ſcabioſis enim medebitur. Ricinos vero & alios morbos canum, corpus pejus affectum habentium, curabunt ea, quæ ad oves ſanandas ſunt relata.

μετ' ἐλλεβόρου καὶ ὕδατος καὶ κυμίνου καὶ ὄμφακος σταφυλῆς, ἢ σικύου ῥίζαν μεθ' ὕδατος. κάλλιον δὲ ἀμόργῃ χρίειν τὸ σῶμα· τοὺς γὰρ ψωριῶντας ἰᾶσθαι. Κρότωνας δὲ καὶ τὰς ἄλλας νόσους τῶν (2) κτηνῶν, δυσπαθέστερον τὸ σῶμα ἐχόντων, θεραπεύσει τὰ ἐπὶ τῶν προβάτων εἰρημένα.

(2) Geſnerus Interp. *&* *MS.* Barocc. *habent* κυνῶν· *Quos refellit* Janus Ulitius *in Notis ad* Gratii Faliſci *Cyneget. Vs.* 362. *& vulgarem Lectionem defendit, auctoritate* Xenophontis, *qui* Cyropæd. *Lib. VIII.* Cyri *equos & canes* βοσκήματα *vocat*; *MSS.* V. F. L. *&* Bod. *ut in textu*: Mihi *tamen prior lectio arridet.*

CAP. IV. — ΚΕΦ. Δ.

De leporibus. Democriti. — Περὶ λαγωῶν. Δημοκρίτου.

QUod idem lepus aliquando quidem mas, quandoque vero fœmina fit, & naturas tranſmutat, & quandoque ut maſculus generat, quandoque vero ut fœmina parit, auctor eſt Democritus.

ΟΤι ὁ αὐτὸς (a) ποτὲ μὲν ἄρρην, ποτὲ δὲ θῆλυς γίνεται, καὶ μεταβάλλει τὰς φύσεις, καὶ ποτὲ μὲν ὡς ἄρρην γονοποιεῖ, ποτὲ δὲ ὡς θῆλυς τίκτει.

(a) Ποτὲ μὲν ἄρρην-] *Idem ex* Democrito *ſumpſiſſe videtur* Archelaus *apud* Plinium *Tom.* 2. *p.* 244. " *Archelaus auctor eſt, utramque vim ſingulis ineſſe, ac ſine mare æque gignere. Hunc errorem merito refutat* Ariſtoteles.

CAP. V. — ΚΕΦ. Ε.

De cervis. Xenophontis. — Περὶ ἐλάφων. Ξενοφῶντος.

CErvi formidant funiculum extenſum, qui pennas quaſdam appenſas habet, nimirum pennarum motus imagine territi. Contemnunt autem ejuſmodi terricula, ubi homines ipſis adſtantes viderint. Tibias vero & fiſtulas modulatas au-

ΔΕδοίκασιν ἔλαφοι σχοῖνον παρακειμένον, τινὰ ἔχουσαν πτερὰ ἠρτημένα, τὴν τῶν πτερῶν κίνησιν φανταζόμεναι. καταφρονοῦσι δὲ τοῦ ἐξ αὐτῆς φόβου, ὅταν ἀνθρώπους αὐταῖς ἐπιστάντας ἴδωσιν. (a) αὐλῶν δὲ καὶ συρίγγων ἐμμελῶν ἐπακούουσαι οὐκ

(a) Αὐλῶν δὲ-] Xenophonti *ſuffragatur* Plinius *Tom.* 2. *p.* 188. " *Mulcentur fiſtula paſtorali & cantu,* ——. *Et* Plutarchus *de* Solert. Animal. Κηλοῦνται μὲν ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ αὐλοῖς, καὶ τοὺς παγούρους ἐκ τῶν χηραμῶν ἀνακαλοῦνται βιαζόμενοι ταῖς φώτιγξι, καὶ τὴν θρίσσαν ᾀδόντων καὶ κροτούντων ἀναδύεσθαι καὶ προϊέναι λέγουσι. Quorum ſenſus: *Deliniuntur enim cervi & equi fiſtulis ac tibiis; & paguros e ſaxorum cavernis eli-*

ἀποφεύγουσιν, ἀλλ᾽ ἡδόμεναι παραμένουσι, καὶ οὕτω θηρῶνται. Ἔλαφος ἀνιμωμένη καὶ ἐφελκομένη τῷ πνεύματι (b) σκοτοῖ τὸν ὄφιν, καὶ καθέλκει πρὸς ἑαυτήν. Εἴ τις (c) ἐλάφου κέρκον καυθεῖσαν καὶ λειωθεῖσαν μετ᾽ οἴνου ἀλείψῃ τοὺς ὄρχεις καὶ τὸ αἰδοῖον τοῦ βιβάζοντος ζώου, (1) ἐντατικώτερον αὐτὸ πρὸς τὴν μίξιν ποιεῖ· λύσις δὲ τούτου ἔλαιον περιχρισθέν. καὶ ἐπὶ ἀνθρώπων δὲ τοῦτο αὐτὸ ποιεῖ.

dientes non aufugiunt, ſed jucunditate ſonorum capti permanent, atque ſic capiuntur. Cervus adducendo & attrahendo ſpiritu ſuo ſerpentem vertigine afficit, & ad ſe attrahit. Si quis cervi caudam uſtam & tritam cum vino teſtibus ac pudendo animalis ſalientis illinat, intenſiorem venerem in ipſo excitabit: ſolvetur contra hic impetus oleo inuncto. Atque in hominibus etiam idem efficit.

ciunt lotinæ fiſtulæ cantu: atque thriſſam cantando plaudendoque protrahi aiunt. De V. Φώπυγξ *hæc habet* Heſychius; Φώπυγξ· αὐγὴ, σύριγξ, φλογὴ, αὐλός. *Cui lucem affert* Athenæus *Lib. IV.* Οἱ δὲ καλούμενοι λώτινοι αὐλοὶ, οὗτοί εἰσιν οἱ ὑπὸ Ἀλεξανδρέων καλούμενοι φώτιγγες.

(b) Σκοτοῖ τὸν ὄφιν,-] Plinius *loco cit.* "*Cervis eſt cum ſerpentibus* "*pugna. Veſtigant cavernas, nariumque ſpiritu extrahunt renitentes. Idem tradit* Ælianus *Hiſt. Anim. Lib.* 2. *Cap.* 9.

(c) Ἐλάφου κέρκον-] *Idem præcipiunt* Quintilii *Lib.* 17. *Cap. quinto.*

(1) *Ita MSS.* Bar. L. *&* Bod. *prius* ἐνστατικώτερον.

ΚΕΦ. ϛ'.

CAP. VI.

Περὶ χοίρων. Φλωρεντίνου.

De ſuibus. Florentini.

Τὰς μὲν θηλείας (a) χοίρους δοκιμάζουσι, τὰς παραμηκεστέρας, καὶ περιοχὴν ἐχούσας, καὶ μεγάλας τοῖς σώμασιν, ἐκτὸς τῆς κεφαλῆς καὶ τῶν ποδῶν. αἱ γὰρ μικροκέφαλοι καὶ βραχυσκελεῖς ἀμείνους εἰσὶ, καὶ αἱ ὁμόχροοι τῶν ποικίλων αἱρετώτεραι. τούτῳ τῷ τρόπῳ καὶ τοὺς κάπρους ἐκκρίνουσι. Πρὸς δὲ τοῖς εἰρημένοις, ὅταν τὰ περὶ τὸν αὐχένα καὶ τὰς συνωμίας ἔχωσι μεγάλα, τήν τε λοφιὰν δασεῖαν, (Λοφιὰν δὲ καλοῦμεν, τὰς κατὰ τοῦ αὐχένος ἐγειρομένας τρίχας) καὶ ὅταν ἔχωσι τὸ λεγόμενον

FOEminas ſues probant longiores, & ambitum habentes, & corpore grandes, capite ac pedibus exceptis. Quæ enim parva capita & crura brevia habent, præſtantiores habentur, ſed & quæ unius ſunt coloris, variis præferuntur. Eodem modo & verres probant. Et cum, præter prædicta, cervicem & ſcapulas habuerint magnas, & λοφιὰν denſam, (Λοφιὰν autem appellamus, pilos in cervice erectos) & cum multum durioris corii in cervicibus habuerint (Κόλλοπα autem vocamus,

(a) Χοίρους δοκιμάζουσι-] Colum. *p.* 269. "*In ſuillo pecore probandi* "*ſunt totius corporis amplitudine eximii, & qui quadrati potius, quam* "*qui longi, aut rotundi ſunt; ventre promiſſo, clunibus vaſtis, nec per*"*inde cruribus aut ungulis proceris, amplæ & glanduloſæ cervicis, ro*"*ſtris brevibus & reſupinis.*

quod

quod vulgo dicitur καλλωσόν, i. e. *calloſum*). Expetit hoc animal ſæpe potum agi, & præſertim æſtate; ægreque frigus ſuſtinet, & facile ab eo male afficitur, ob quam cauſam haras ipſis claudendis conſtruunt, unde hyeme non prius educunt, quam glacies ſit diſcuſſa. Qui ipſos emunt, ex pilis de juba evulſis ſanitatis ipſorum notas ſumunt: Si enim fuerint cruentati, morbum indicare aiunt; puros contrarium. Optimum tempus admiſſuræ eſt a favonii flatu, uſque ad æquinoctium vernum, ut partus æſtate in lucem emittatur; quatuor enim menſes ſus in utero geſtat. Poſtquam autem conceperint, verres ab ipſis ſeparant: impetum enim in ipſas facientes, & lacerantes, abortire ipſas faciunt. Sufficit autem unus verres decem fœminis implendis. Editæ ſuculæ per hyemem animo deficiunt, ob aeris intemperiem, & quod lacte ſufficienter non fruantur, repellentibus ipſas matribus, propterea quod papillæ mammarum ob inopiam lactis violenter a ſuculis comprimantur, & a dentibus exulcerentur. Poſt partum, duo menſes ſuculæ cum matribus eſſe ſinantur, poſtea ſeparentur. Matrem vero ita admiſſario ſubdunt, ut ex toto anno octo quidem menſes ad ferendum partum ipſi tribuantur, quatuor vero menſes, ad educationem editorum. Singulæ autem ſcrofæ in propriis haris includendæ ſunt, ut non miſceantur

κόλλοπα πολύν ((b) κόλλοπα δὲ καλοῦμεν, τὸ ἐν τῇ χρήσει λεγόμενον καλλωσόν). Ποτίζεσθαι δὲ βούλεται τοῦτο τὸ ζῶον πλεονάκις, καὶ μάλιστα τοῦ θέρους· δυσχείμερον δέ ἐστι, καὶ ῥᾳδίως ὑπὸ ψύχους κακοῦται, δι' ἣν αἰτίαν συφεοὺς αὐτοῖς κατασκευάζουσιν· ὅθεν χειμῶνος οὐ πρότερον ἐξάγουσι, πρὶν διαφορηθῆναι τὸν πάγον. Οἱ δὲ ὠνούμενοι αὐτοὺς ἐπιγινώσκουσιν ἐκ τῶν ἀποσπωμένων ἐκ τῆς λοφιᾶς τριχῶν· ᾑμαγμένας γὰρ αὐτὰς ὁρῶντες, νοσεῖν φασι· καθαρὰς δὲ, τοὐναντίον. Ἀρίστη δὲ ὥρα εἰς τὴν τούτων ὀχείαν ἀπὸ ζεφύρου πνοῆς, ἕως ἐαρινῆς ἰσημερίας, ὥστε γίνεσθαι κατὰ τὸ θέρος τὸν τοκετόν· κυοφορεῖ γὰρ τὸ ζῶον τετράμηνον. ἡνίκα δὲ συλλάβωσι, χωρίζουσιν ἐξ αὐτῶν τοὺς κάπρους· ὁρμῶντες γὰρ ἐπ' αὐτὰς, καὶ σπαράττοντες, ἐκτιτρώσκειν αὐτὰς ποιοῦσιν. ἱκανὸς δὲ κάπρος εἰς δέκα ποιεῖν ὗς ἐγκύους. Τὰ δὲ (c) τικτόμενα διὰ χειμῶνος (1) λειπόθηλα γίνεται, διὰ τὴν δυσκρασίαν τοῦ ἀέρος, καὶ τὸ μὴ μεταλαμβάνειν γάλακτος ἱκανῶς, τῶν μητέρων αὐτὰ διωθουμένων, διὰ τὸ τὰς θηλὰς σπανιζούσας γάλακτος βίᾳ θλιβομένας ὑπὸ τῶν ὀδόντων ἑλκοῦσθαι. Ἐπειδὰν δὲ μετὰ τὴν σύλληψιν τέκωσιν, ἐάσαντες ταῦτα μετὰ τῶν μητέρων δίμηνον, μετὰ ταῦτα χωρίζουσι. τὴν δὲ μητέρα βιβάζουσιν, ὥστε τοῦ παντὸς ἔτους τὴν μὲν ὀκτάμηνον εἰς κύησιν αὐτῆς μερίζεσθαι, τὴν δὲ τετράμηνον, εἰς ἐκτροφὴν γεννηθέντων. Καὶ (d) ἑκάστην δὲ χοῖρον τίκτουσαν ἰδιάζοντι συφεῷ ἐμ-

(b) Κόλλοπα.... καλλωσόν.] *Vid.* Etymol. & H. Steph. V. Κόλλοψ, *ubi teſtes adducit* Euſtath. & Pauſan. *corium durius in tergis & cervicibus Boum, & Suum, & Ovium* Κόλλοπα *dici, quoniam* ἐξ αὐτοῦ ἀναβραττομένου *fiat* ἡ κόλλα. *Vid.* Du Freſne *V.* Καλλωσός.

(c) Τικτόμενα διὰ χειμῶνος-] Varro *fol.* 82. " *Porci qui nati ſunt* " *hyeme fiunt exiles propter frigora, & quod matres aſpernantur, pro-* " *pter exiguitatem lactis, & quod dentibus ſauciantur propterea mammæ.*

(1) Interp. *legit* λειπόθυμα, *ſed MSS. ut in textu.*

(d) Ἑκάστην δὲ χοῖρον-] *Eadem ſuadent* Colum. *p.* 271. Varro *fol.* 83. & Palladius *p.* 79, 80.

βλητέον, ὥστε μὴ μίγνυσθαι ἀλλήλοις τὰ παρὰ διαφόρων τικτόμενα, πρός τε τὰς μητέρας (2) τὴν γονὴν, καὶ τὰ χοιρίδια συνεθίζεσθαι ταῖς τεκούσαις. ἐὰν γὰρ ἀλλήλοις συναναμιγῇ, ἀδύνατον διαγνῶναι αὐτὰ τὰς τεκούσας· βέλτιον δὲ, εἰ ἑκάστη τρέφῃ τὰ ἴδια. Τρέφεται δὲ τὸ ζῶον τοῦτο μάλιστα (3) βαλάνοις. πιαίνεται δὲ καὶ πιτύροις σιτίνοις, καὶ σκυβάλοις τοῖς ἀπὸ τῆς ἅλω, καὶ τῷ σίτῳ. αἱ δὲ κριθαὶ, πρὸς τὸ πιαίνειν, καὶ κατὰ τὴν γέννησιν εὐδιαφορεῖν ποιοῦσι τὸ ζῶον. Οἱ δὲ χοῖροι λοιμικοῖς οὐ περιπίπτουσι πάθεσι, ἢ ἐμπεσόντες ἰαθήσονται, ἐὰν εἰς ὃ πίνωσιν ὕδωρ ἀσφοδέλου ῥίζας βάλλῃς, ἢ ἔνθα πυκνῶς λούονται.

inter ſe porcelli ex diverſis editi, & ut ſoboli matrices adſueſcant, & viciſſim porcelli a matribus dignoſcantur. Si enim inter ſe fuerint permixti, impoſſibile eſt matrem ſuos dignoſcere. Melius autem ſingulæ ſcrofæ ſuos alunt. Nutritur hoc animal maxime glandibus. Pingueſcit etiam furfuribus frumentaceis, & quiſquiliis arearum, & frumento ſaginatum. Hordeum autem & pinguefacit, & ad generationem idoneum animal facit. Porci in peſtem non incidunt, aut affecti ſanabuntur, ſi in aquam unde bibunt aſphodeli radices injeceris, aut etiam ubi frequenter lavantur.

(2) *Malim* τῇ γονῇ, *ſed MSS. ut in textu.* (3) *Emend. ex MSS. ante* βαλανείοις.

ΚΕΦ. Ζ.

Περὶ ἰάσεως συῶν. Διδύμου.

Χοῖροι οὐ νοσήσουσιν, ἐὰν θ'. καρκίνους ποταμίους δώσῃς φαγεῖν. ἐπιγινώσκονται δὲ αἱ νοσοῦσαι σύες, ἐκ τοῦ αὐχένος ἀνασπασθεισῶν τριχῶν. εἰ μὲν (1) γὰρ αἱ τρίχες καθαραὶ εἶεν, ὑγιαίνουσιν· εἰ δὲ ᾑμαγμέναι, ἢ ἔχουσαί τινα ἰχῶρα παχύτερον περὶ τὴν τρίχα, νοσοῦσι. Δημόκριτος οὖν ὁ Φυσικὸς ἀσφοδέλου ῥίζης ἐπ' ὀλίγον θλασθείσης μνᾶς γ'. κελεύει καθ' ἕκαστον σῦν εἰς τὴν τροφὴν μιγνύναι, καὶ περὶ ζ'. ἡμερῶν τὸ βέβαιον τῆς ὑγιείας κομιεῖσθαι. Ἐὰν πυρεταίνωσιν, αἷμα ἐκ τῆς οὐρᾶς ἀφαιρετέον. ἐὰν δὲ παρισθμίοις ἐνοχλῶνται, ἐκ τῶν ὤμων τὸ αἷμα ληπτέον. Ἐὰν δὲ (a) ἀδήλῳ νόσῳ συνέχωνται, ἐγκλειστέον δι' ὅλης ἡμέ-

CAP. VII.

De ſanandis ſuibus. Didymi.

